εἰρημένον τρόπον βοηθεῖν, ὥστε καὶ εἰς κοιτῶνα, [ἐπὶ πλευρᾶς κεῖσθαι] κάλλιον τῆς κλίσεως· οὐ γὰρ συμφέρει ὕπτιον ἀναπαύεσθαι· καὶ γὰρ ὀν[ειρωγμῶν κινη]τικὸν, αἰδοίων τῇ θέρμῃ. Ἀποδιδράσκειν 27
δὲ καὶ λόγους, καὶ ἐνθυμή[ματα, καὶ ἐλ]πίδας ἀφροδισιαστικὰς, καὶ πρὸ τούτων τὰς ὄψεις, εἰδότα ὅτι καὶ ἐν [ὀνείροις], μήτι γε τὰ ἐναργῆ,

substances énumérées, en les mêlant une à une, ou deux à deux; il faut délayer tous ces médicaments dans du vinaigre ou dans l'eau, ou dans du vin d'un goût sucré, ou dans du vin nouveau cuit. Ce qui échauffe ne 25
convient, en aucune façon, ni au pénis, ni aux lombes; car on doit repousser ce qui remplit ces parties et ce qui se porte vers elles, que ce soit du sang, du pneuma, ou l'une et l'autre chose; c'est là, en effet, vraisemblablement ce qui constitue le principe des palpitations, le froid les repousse très-bien. Il est évident, par la tuméfaction du pénis, qu'il 26
faut recourir à ce genre de traitement; et qu'en conséquence, eu égard à la manière de se tenir au lit, mieux vaut être couché sur le côté que sur le dos; car il ne convient pas de se coucher sur le dos: cette position produit des rêves érotiques par l'échauffement des parties génitales. On évitera 27
les discours, les pensées, les convoitises vénériennes, et, par-dessus tout, on se défendra de ce que les yeux voient, sachant bien que toutes ces choses,

2. *συμφέροι* ex em.; *συμφέρῃ* A Ma. — 3. *διιέναι* ex em. Ma; *ἰέναι* A; *διῆναι* conj. E. — Ib. *σιραίῳ* conj. Ma; *συραίῳ* A. — 9-10. *εἰς κοιτῶνα, κ. τ. ἑ.*] Voy. notes. *κοιτῶνα..... κάλλιον* Ma; *κοιτῶνα* [*π* ou *ἐπ*, puis débris d'une lettre indéterminée; puis lac. 6-7 l.] *κάλλιον* A. — 11. *ὀν... τικόν* Ma; *ὀνειρ* [lac. 6-7 l.] *τικόν* A; *ειρ* est un peu effacé. — 12. *ἐνθυμή..... πίδας* Ma; *ἐνθυμήμ* [lac. 5-6 l.] *πίδας* A. — 13. *ἐν* [4-5 l.] *μήτοιγε* (lis. *μήτι γε*) A Ma. — Ib. *ἐνεργῆ* Ma, sans doute par suite d'une faute d'impression.

ταῦτα ϖροτρέπει μίσγεσθαι, εἰ μ[ὲν λαβρῶς] διαιτώμενός τις καὶ
σίτῳ δαψιλεῖ ἀπέχοιτο τῶν ἀφροδισίων, ἀνιαρῶς [τε] αὐτὸ δρά-
σαι, καὶ ἄνευ τοῦ ἐπιθυμεῖν, ὅπερ οὐχ ἥκισ7α ϖαροξυντικόν· εἰ δὲ
ὡς εἴρηται διαιτώμενος, ἀπέχοιτο, ῥᾷσ7ον οὕτω γίγνοιτο ἂν καὶ
28 εὐφορώτατον. Ἔχει δέ τι χρήσιμον ἐν ϖοτῷ ϖοτε ϖληρωθῆναι ϖέρα
τοῦ μετρίου, καὶ τοῖς ἐμέτοις κενῶσαι [τὴν] ϖλησμονήν· Φυλάσσε-
σθαι δὲ ἐν τῇ ϖροσφορᾷ τὰ ἄγαν τρόφιμα, οἷον ϖλῆθος κρεῶν, καὶ
τὰ ἄγαν φλεγματώδη· ταῦτα δὲ τὰ γλυκέα τὸ ἐπίπαν ἐσ7ίν· καὶ τὰ
140 φυσώδη ὥσπερ τὸ γάλα καὶ τὸν τυρὸν, καὶ τῶν ὀσπρίων | κυάμους,
καὶ τῶν τραγημάτων τὰς σαρδιανὰς βαλάνους· βολβοὺς δὲ, καὶ ϖο-
λυπόδια, καὶ ὅλως τὸ τῶν σελαχίων γένος, καὶ ϖαντελῶς ἐξαίρειν
29 τῆς διαίτης· δοκεῖ γὰρ ϖαρορμᾷν ϖρὸς ἀφροδίσια. Πίνειν δὲ φάρ-
μακα, τὸν τοῦ ϖερικλυμένου καρπὸν, καὶ τὴν τῆς νυμφαίας ῥίζαν

même en songe, encore qu'elles ne soient pas alors très-évidentes, excitent
à la copulation, si on s'est abstenu du coït après avoir mangé des mets
succulents et en abondance; n'accomplissez pas non plus l'acte à contre-
cœur et sans en éprouver un vif désir; car cela cause une vive excitation;
si, au contraire, on s'abstient du coït après avoir suivi le régime sévère
que j'ai prescrit plus haut, la continence sera très-facile et très-aisément
28 supportée. Il y a quelque utilité à boire de temps en temps outre mesure,
et à évacuer le surplus par des vomissements; on évitera, dans les repas, les
aliments trop nutritifs, par exemple, une trop grande quantité de viande,
les mets qui engendrent beaucoup de phlegme (or les substances qui
sont douces sont particulièrement dans ce cas) et ceux qui procurent
des vents, comme le font le lait et le fromage; parmi les légumes secs,
les fèves, et parmi les objets de dessert, les châtaignes; il faut éviter ab-
solument dans les repas les bulbes de vaccet, les poulpes et toute es-
pèce de poissons cartilagineux; car cela paraît porter aux plaisirs vé-
29 nériens. Comme médicaments internes, on prendra des semences de
chèvrefeuille, de la racine de nénuphar; cela remédie aux rêves éro-

1. ἐὰν (lis. εἰ) μ [lac. 4-5 l.] διαιτώμ. A Ma; dans A, après le μ, on voit les débris du λ et de l'α. — 2. ἀνιαρῶς... αὐτό Ma; ἀνιαρῶς τε αὐτό A. — 3. ἄνευ ex em.; οὐκ ἄνευ A Ma. — 6. [τὴν] om. A Ma. — 8. τοιαῦτα conj. Ma. — 9. ὥσπερ τό ex em.; ὡσπερεί A Ma. — 11. ἐξαιρεῖν conj. Ma. — 13. τὸν τῆς ν. ῥίζης Ma, sans doute par faute d'impression; τὴν τῆς ν. ῥίζαν A.

καὶ ὀνειρωγμοῖς βοηθεῖ, καὶ τῶν ἀληθινῶν ἀποτρέπει μίξεων. Εἴτε 30
οὖν ὁ ϖαλμὸς ϖροκαλεῖται τὰ ἀφροδίσια, [εἴτε τὰ ἀφροδίσια] ἀνα-
κινεῖ τὸν ϖαλμὸν, συμφέροι ἂν ϖοιεῖν ἐπὶ ἑκάσῖῳ, ὡς εἴρηται. Μέ- 31
γισῖον δὲ κεφάλαιον ἡ δίαιτα εἰσφέρεται σωφρονοῦσα καὶ ἐγκρα-
τὴς, τά τε ἄλλα, καὶ ϖερὶ τὴν ϖροσφοράν. Ἀλλὰ ἂν μὲν ἐπὶ τούτοις 32
κἀνταῦθα ϖαύηται τὸ σύμπῖωμα, εἴη ἂν τὸ δέον ἅπαν γεγονός· ἵνα
δὲ μηδέποτε ὑπο|σῖρέψῃ, χρόνῳ τε ϖοιητέον ταῦτα, καὶ ταῖς φλεϐο- 141
τομίαις συνεχέσῖερον χρησῖέον, μάλισῖα δὲ τοῦ ἔαρος· τότε γὰρ
καὶ ϖνευματωδέσῖερον, καὶ ϖλεῖσῖον τὸ αἷμα.

Ῥέποντος δὲ εἰς μὲν γονόῤῥοιαν, ϖροθυμότερον ϖίνειν τοῦ ϖε- 33
ρικλυμένου, καὶ τῆς νυμφαίας, καὶ | [τοῦ ἀδιάντου], καὶ τῆς ἴριδος, 163 r°
καὶ καταψύχειν τοῖς ἐπιχρίσμασι ϖροθυμ[οτέρως, καὶ τὴν] ἄλλην
δίαιταν μὴ ϖάνυ μὲν ϖλήσμιον διαιτᾶσθαι, ὥσῖε καὶ διαπονεῖν

tiques et éloigne de la véritable copulation. Soit donc que la palpitation 30
provoque ces désirs vénériens, ou que les désirs vénériens augmentent
la palpitation, on réussira en agissant contre l'un et l'autre, comme il a
été dit. Le point important, c'est la sobriété et la tempérance dans le ré- 31
gime, aussi bien pour ce qui regarde l'alimentation que pour les autres
parties de l'hygiène. Si la palpitation cède à ces mesures, on obtiendra 32
tout le résultat qu'on peut en attendre; mais, si l'on veut que la mala-
die ne revienne plus, il faut insister longtemps sur ce traitement, et
recourir fréquemment à la saignée, surtout pendant le printemps; car
alors le sang est plus chargé de pneuma et plus abondant.

Si la maladie tourne à la gonorrhée on se hâtera de boire des infu- 33
sions de chèvrefeuille, de nénuphar, de capillaire et d'iris; on fera
promptement des onctions froides [sur les lombes]; quant au reste du
régime, on évitera la réplétion; en conséquence on s'exposera fréquem-

2. [εἴτε τὰ ἀφροδίσια] ex em.; om. A Ma qui conj. ϖ. ϖροκαλεῖται, εἴτε τὰ ἀφρ. ἀνακ. — 3. συμφέροιαν A. — 5. καὶ ϖερί] τὰ ϖερί, conj. Ma. — 8. ἔαρος ex em. Ma; ἀέρος A. — 11. καὶ..... καί Ma; après καί, dernier mot de la dernière ligne du fol. 162, vient le fol. 163, qui commence par une lac. de 5-6 l. puis on lit του καὶ τῆς ἴριδος qui est en partie décalqué sur le fol. 162 v°. — 12. ϖροθυμ... ἄλλην Ma; ϖροθυμο [lac. 5-6 l.] ἄλλην A. — 13. ϖλήσμη Ma; ϖλήσμιον A. — Ib. et p. 77, l. 1, διαπονεῖν [lac. 4-5 l.] συμφέρει A Ma.

[συνεχῶς]· συμφέρει γάρ, εἴπερ τι, καὶ στερρὸν ταῖς ταλαιπωρίαις
34 [καὶ] ἰσχυρότερον ἀποδεῖ[ξαι τὸ σῶ]μα. Τὴν μὲν οὖν ὀσφὺν τῇ διὰ τῶν
ἀλειμμάτων τρίψει, καὶ ταῖς ἐπι[κύψεσι] γυμνάζειν· τὰ δὲ ἄνω ταῖς
χειρονομίαις, καὶ ταῖς τῶν κωρύκων ἀφέσεσι, καὶ τοῖς ϖυκτικοῖς
142 ϖόνοις· ἄμεινον δὲ | τὰ ἄνω ϖλεονεκτεῖν, ἵνα ἀντισπῷτο ἡ τροφή,
35 εἴ γε μὴν δύναιτο φέρειν. Οἷς δέ, ϖρὶν καταλεπτυνθῆναι, καὶ ψυ-
χρολουτεῖν ἄμεινον, ὅσα τε ἄλλα τοῖς ὁτιοῦν ϖαρειμένοις συμφέρει,
ταῦτα καὶ νῦν συνοίσει, καταπλάσσειν μὲν τῷ νάπυϊ τὰ ϖερὶ τὴν
36 ὀσφὺν, καὶ τὸ ἦτρον, ϖίνειν δὲ τοῦ καστορίου. Ἀλλὰ φήσει τις
37 ὑπεναντία ταῦτα εἶναι τῷ ψύχειν. Τὶς δὲ ἂν λέγοι· ἀλλὰ εἰ τὸν
καιρὸν ἐπὶ ἑκάστῳ λογίζοιο, εἰδείης ἂν ὡς ἀμφότερα [κα]λῶς ϖαρή-
38 νηται. Περὶ μέν γε τὰς ἀρχὰς καὶ τὴν ϖρώτην ϖεῖραν τῆς νόσου

ment à la fatigue, car il convient surtout d'endurcir et de renforcer le
34 corps par des exercices pénibles. Il faut donc à la fois exercer les lombes
par des frictions avec des matières grasses et par des mouvements de
flexion, et les parties supérieures par des gesticulations, par le jeu du *co-
rycos* et par le pugilat; il est meilleur, si on peut le supporter, de faire
prédominer [dans les mouvements] les parties supérieures, afin que la
35 nourriture soit retirée des parties inférieures. D'un autre côté, il est
bon encore de recourir aux bains froids chez certains individus avant
qu'ils soient amaigris; ce qui convient dans toute autre espèce de pa-
ralysie convient aussi dans le cas présent : par exemple, placer sur les
lombes et le bas-ventre des cataplasmes à la moutarde et boire du casto-
36 réum. Ces choses, dira-t-on, sont en opposition avec l'idée de refroidir.
37 Cependant on pourrait répondre : si vous considérez l'opportunité eu
égard à l'emploi de chacun de ces remèdes, vous reconnaîtrez qu'on a
38 recommandé à juste titre ces deux moyens thérapeutiques. Au commence-
ment et à la première atteinte de la maladie, il est préférable de recourir

2. *ἀποδεῖ* [lacune 4-5 l.] *μα* A Ma qui conjecture *στερραῖς ταλαιπωρίαις ἰσχυρότερον ἀποδεῖξαι ἅμα*. J'ai seulement ajouté [*καὶ*] devant *ἰσχυρ*. — 3. *ἐπι* [lac. 3-4 l.] *γυμνάζειν* A Ma. — 4. *τοῖς* à moitié effacé à la marge de fond; même remarque pour les premières lettres des 4 lig. suiv. du ms. — 6. Οἷς Ma (qui conj. Τοῖς); A porte Οἷσι. — 10. Entre *ψύχειν* et Τίς Ma suppose à tort une lac. dans A. — Ib. *Λέγοι δὲ ἄν τις* conj. E. — 11. *εἰδείης ἂν* ex em. E; *εἰ δὲ ἦσαν* A Ma. — Ib. *ἀμφότερα... λως* Ma; *ἀμφότερα καλῶς* A (*κα* très-pâle).

ψύχειν ἄμεινον· καὶ γὰρ τὸ ψυχρὸν ἰσχὺν ἐντίθησιν· ὅταν δὲ ναρ-
κήσαντα καὶ παρεθέντα εἰς τέλος ἀκρατῆ σφῶν αὐτῶν καὶ πάνυ
ῥοώδη γένηται, τότε θερμαντέα τοῖς τε εἰρημένοις, καὶ ἄλλως πως·
εἴθε γὰρ τῷ γονοῤ|ῥοϊκῷ γενέσθαι ἔντασιν, καὶ ἐπιθυμίαν μίξεως 143
ἀληθινῆς, καὶ ἔτι αὐτὸν κορεσθῆναι μισγόμενον, καὶ χρόνῳ ἀπαλ-
λάξαι· τοῦτο γὰρ σαφεῖς καὶ χρησΊὰς ἐλπίδας παρέχει τῇ ἰάσει.
Τό γε μὴν χλιαροῖς θερμαίνειν ἐκλυτικὸν, τὸ δὲ μειζόνως ξηραντι- 39
κόν· δέονται δὲ καὶ ἐπιξηραίνεσθαι, ὅπερ νᾶπυ καὶ κασΊόριον ἄρισΊα
ἐξεργάζονται.

Τοὺς δὲ σατυριασμοὺς θεραπεύειν ταῖς φλεβοτομίαις, τῷ ἐνδεεῖ 40
τῆς διαίτης, ὑδροπο|σίαις, τοῖς ψύχουσι φαρμάκοις. Ἀγαθὸν δὲ αὐ- 144 41
τοῖς ἐπίβρεγμα, οἶνος γλυκὺς καὶ ῥόδινον· εἰ δὲ βούλει ποιεῖν ἰσχυ-
ρότερον, μίσγειν καὶ τῶν ψυκτικῶν χυλῶν· εἴρηται δὲ τοιαῦτα πολλὰ
ὀλίγον ἔμπροσθεν, ἐξ ὧν αἱρεῖσθαι τὸ σύμμετρον τῇ νόσῳ δύναται ὁ

aux réfrigérants, car le refroidissement augmente les forces; mais, quand les membres engourdis et paralysés sont dans une impossibilité absolue de se diriger et se laissent complétement aller, alors il importe de réchauffer avec les substances prescrites, ou de quelque autre manière; combien il est à souhaiter que l'individu affecté de gonorrhée ait une érection et le désir d'une vraie copulation, qu'il puisse satisfaire ce désir et qu'il soit soulagé pour un temps! cela donne en effet de légitimes
espérances de guérison. Échauffer avec des substances tièdes produit 39
une action affaiblissante; avec des substances plus chaudes, une action dessiccative; or il convient de dessécher : la moutarde et le castoréum remplissent très-bien cet office.

Il faut traiter le satyriasis par la saignée, par un régime sévère, par 40
l'usage de l'eau, par des médicaments refroidissants. Le vin d'un goût 41
sucré ou l'huile aux roses sont, dans ce cas, une bonne embrocation; si on veut la rendre plus forte, on ajoute des sucs réfrigérants; j'en ai énuméré plusieurs un peu plus haut; le bon médecin pourra choisir celui qui est

3. πως ex em.; ὅπως A Ma. — 4. Prim. ἔνσΊασιν A; mais le σ a été gratté, ce dont Ma ne s'est pas aperçu. — 9. ἐξεργάζεται Ma sans avertir; ἐξεργάζονται A. Après ce mot, A donne le signe de la fin d'un chapitre : ∽.

Ms. 163 v°. Matth. 144-145.

42 ἀγαθὸς ἰατρός. Ὑποτιθεὶς δὲ ἔριον ἐξαμμένον οἰσυπηρὸν, χρῆσθαι τοῖς
163 v°. ἐπιβρέγμασι | κατά τε τοῦ ἤτρου καὶ αὐτῶν [τῶν] αἰδοίων· οὐ κάκιον
δὲ [καὶ αὐτὰ τοῖς ψυκτηρίοις διὰ] τῶν ἐρίων ἐπιχρίειν, καὶ τὴν ὀσφὺν
δὲ [ἀναψύχειν τοῖς αὐτοῖς· ἀγαθὸν δὲ καὶ ψύλλιον] μετὰ τῆς πάλης·
ἕψειν δὲ ἐν γλυκεῖ τὸ ψύλλιον, καὶ οὕτ[ως δεύσας, τὰ μόρια κα]τα-
43 145 πλάσσειν· ἀναψύχει γὰρ πλέον. Προνοεῖσθαι δὲ καὶ γασ||[τρὸς δια-
χωρήσεως], μηδενὶ μέντοι τῶν πυρούντων καὶ δακνόντων φαρμάκων·
ταῦτα [γὰρ χο.....]βης, καὶ παρεντείνει τὰς ἐντάσεις· ἀλλὰ ὥστε τὰ
μέτρια διαχωρ[εῖν ἐπὶ ἡμέ]ρας· ἐξαρκεῖ δὲ εἰς τοῦτο ἡ τῶν λαχάνων
προσφορά· εἰ δὲ δοκοῖ καὶ ἰσχ[υροτέρου] τινὸς δεῖσθαι, τῆς ἀλόης
οὐδὲν ἂν εἴη βέλτιον ἡσυχῇ κενῶσαι· δύναται δὲ καὶ τὰ ἁπαλὰ κλύ-

42 en harmonie avec la maladie. Pratiquez les embrocations en plaçant une compresse de laine en suint, cardée, sur le bas-ventre et sur les organes génitaux; il n'est pas mauvais non plus d'y faire des onctions avec de la laine trempée dans des médicaments froids, et aussi de refroidir les lombes de la même manière; le pulicaire uni à de la farine fine est également bon; on fait cuire le pulicaire dans du vin d'un goût sucré; on y trempe la laine qu'on met en cataplasme sur les parties; de cette façon on refroidit davan-
43 tage. Ayez soin de ne procurer d'évacuation par aucun remède incendiaire ou irritant, car ces remèdes excitent... et augmentent les érections; mais tâchez d'obtenir, pendant plusieurs jours, des selles modérées; il suffit pour cela de manger des légumes verts; si on croit devoir recourir à un remède plus énergique, aucun n'est préférable à l'aloès pour produire des évacua-

1. Ὑποτιθείς ex em. E; Ὑποτιθέν A Ma. — 2. τε ex em.; δέ A Ma. — Ib. [τῶν] ex em.; om. AMa. — 2-3. κάκιον δὲ... τῶν Ma; κάκιον δὲ [καὶ αὐτὰ τοῖς ψυ en transp. puis lac. 7-8 l.] τῶν A. — 3-4. ὀσφῦν δὲ... λ... μετά Ma; dans A, après ὀσφῦν δὲ, on voit, en dehors du papier collé, les débris manifestes d'ἀναψύχειν, puis le mot τοῖς et la lettre α, puis ὑτοῖς ἀγαθόν, puis lac. de 4-5 l. puis, à la marge externe, non pas seul. un λ, mais λιον. — 5-6. καὶ οὔτ... ταπλάσσειν Ma (qui conj. ὄτῳ καταπλ.); καὶ οὔτ[ως δεύσας, τ en transp. puis lac. 5-6 l.] ταπλάσσειν. A. — 6-7. καὶ γασ... μηδενί Ma; καὶ γασ[τρος, puis διεγεί? en transp. puis lacune 5-6 l.] μηδενί A. — 8. ταῦτα..... βει καί Ma; ταῦτα [γὰρ χο ou χα, puis lac. 3-4 l. puis à la marge ext. βης] καί A. — Ib. ἀλλὰ ὥστε ex em. ἄλλως τε AMa. — 9. διαχωρ... ρας Ma; διαχωρ[εῖν ἐφ, ἡ en transp. lac. 2 l.] ρας A. — 10. εἰ δὲ δοκοῖ ex em. Ma; εἰ δεδοίκει A. — Ib. ἰσχ..... τινός Ma (qui conjecture ἰσχυροτέρου); ἰσχ[υροτέρου en transp.] τινος A. — 11. καί est à moitié effacé à la marge de fond.

σματα παρέχειν τὸ δέον· πάνυ γὰρ προνοεῖσθαι μηδὲ θλίβειν τὴν
ὀσφὺν καὶ τὴν κύστιν, ὡς τοῦτο οὐδενὸς ἧσσον [ὂν] ἐρεθιστικόν· αἱ
δὲ κενώσεις ἐκλύουσι τὰς ἐντάσεις. Εἰ μὲν οὖν πρὸς ταῦτα χαλῷεν, 44
εὖ ἂν ἔχοι· [μενόντων] δὲ καὶ παροξυνόντων ἔτι τῶν παθῶν, σι-
κύας μὲν προσθετέον ἤτρῳ καὶ ὀσφύϊ, καὶ ὅσον πλεῖστον δι' αὐτῶν
κενωτέον. Ἐπιβρεκτέον δὲ, μετὰ τὰς σικύας, τῷ τοῦ πηγάνου ἀφε- 45
ψήματι· μετὰ δὲ τῇ ῥίζῃ τῆς ἀλθαίας, ἐν μελικράτῳ ἑφθῇ καταπλα-
στέον· μίσγειν δὲ τῇ ῥίζῃ, ἢ βουκέρως ἄλευρον, | ἢ λινοσπέρμα- 146
τος, ἢ ἄρτον ξηρὸν κεκομμένον καὶ διηθημένον, ἢ τὰ ἁπαλὰ τοῦ
ἰπνίτου ἄρτου· καὶ αὐτὸ δὲ τὸ βούκερας ἐν μελικράτῳ ἑφθὸν, καὶ
τὸ σπέρμα τοῦ λίνου ἐπιτήδεια. Παρασκευάζειν δὲ καὶ πυρίας, ἕψων 46
ἐν τῷ ὕδατι τῆς μαλάχης, ἢ τοῦ λευκοΐου, ἢ τῆς ἀρτεμισίας, ἢ τοῦ
πηγάνου, ἢ τοῦ | βουκέρως, καὶ τούτῳ πυριᾶν, ἐγχέων εἰς κρα- 147
τῆρα καὶ κελεύειν βρέχειν μέχρι τοῦ ἤτρου· πολλάκις γὰρ ἐκλύει
τὰς εὐτονίας. Ἐν δὲ τούτῳ τῷ τρόπῳ τῆς θεραπείας, καὶ ὅσα ἄλλα 47

tions douces; les lavements adoucissants peuvent aussi produire l'effet dé-
siré; on évitera surtout de fatiguer les lombes et la vessie, car rien n'est
plus excitant, tandis que les évacuations affaiblissent les érections. Si, sous 44
l'influence de ces moyens, il y a du relâchement, c'est bien; mais, si la ma-
ladie persiste et s'aggrave encore, il faut placer les ventouses sur les lombes
et sur le bas-ventre et tirer le plus de sang possible. Après cela on fomente 45
avec une décoction de rue, ensuite on applique un cataplasme fait avec de
la racine de guimauve cuite dans du mélicrat; on mêle à la guimauve soit
de la farine de fenugrec, soit de la farine de lin ou du pain séché, broyé
et tamisé, ou de la mie d'un pain cuit dans un grand four; la semence
entière de fenugrec ou la graine de lin, cuites dans du mélicrat, sont
également convenables. On peut aussi préparer des fomentations avec 46
une décoction aqueuse de mauve, ou de giroflée, ou d'armoise, ou de
rue, ou de fenugrec; on verse la décoction dans un cratère et on fait
baigner le malade jusqu'au bas-ventre, car souvent on fait disparaître
la tension. Dans le traitement de cette maladie, tous les moyens dirigés 47

2. [ὂν] ex em.; om. A Ma. — 4. ἔχοι ex em.; ἔχῃ A Ma.— Ib. ἔχῃ... τῶν Ma; ἔχῃ μενόντων A.— 10. τό Ma sans avertir; τοῦ A.— 14. ἐκλύει ex em.; ἐκλύειν A Ma.

τῶν σπασμῶν ἴαματά ἐστι, συμφέρει· θάλψις τε ὅλου τοῦ σώματος, καὶ τὸ διὰ τοῦ σικυωνίου, καὶ τοῦ καστορίου χρίσμα, καὶ ὁ τοῦ καστορίου τρόπος· ταῦτα γὰρ πρὸς ἄμφω τῇ πολλῇ πείρᾳ πεπίστευται ἁρμόζειν, τὰς μὲν παραλύσεις [εἰς] αἴσθησιν καὶ ἰσχὺν
165 r° 48 *ἄγοντα, τοὺς δὲ σπασμοὺς μαλάσσοντα καὶ ἀνιέντα. | — [Ἐπὶ δὲ*
154-155 *τῇ προσφο]|ρᾷ τὰ | μὲν ἄγαν τρόφιμα, καὶ τὰ [δύσ]πεπτα, καὶ τὰ φυσώ[δη, καὶ τὰ λυ]τικὰ τῆς γαστρὸς, καὶ τὰ οὐρητικὴν δύναμιν ἔχοντα, πάντα [ἄχρηστα]· ἐσθίειν δὲ τὰ μὲν πρῶτα λεπτῶν ῥοφημάτων, καὶ λαχάνων [μαλάχην,] καὶ λάπαθον, καὶ τεῦτλον, καὶ κολοκύνθην, καὶ θριδακίνης [καυλ]οὺς ἡψημένης, καὶ βλίτον, καὶ ἀνδράφαξιν· δριμὺ δὲ μηδὲν προσφέρεσθαι, οἷον εὔζωμον, ἢ ῥαφανῖδα, ἢ γογγυλίδα, ἢ ὅρμενον, ἢ πράσον· δοκεῖ γὰρ παρορμᾷν*

contre les spasmes sont également applicables : les fomentations générales, les onctions avec le concombre sauvage ou le castoréum et le traitement par le castoréum; car une longue expérience a démontré que ces remèdes conviennent aux deux états en rendant le sentiment et la force dans la paralysie, en adoucissant et en relâchant les parties prises de
48 spasme. En ce qui touche la nourriture, toute substance très-nourrissante, de digestion difficile, flatulente, possédant une propriété laxative ou diurétique est mauvaise; on donnera d'abord des bouillies légères, et, parmi les légumes verts, de la mauve, de la patience, de la bette, de la courge, des tiges de laitue cuite, de la blète, de l'arroche; il ne faut rien manger d'âcre, ni roquette, ni raifort, ni navet, ni tige de choux, ni poireau, car toutes ces plantes semblent exciter aux plaisirs vénériens.

3. *ὀπός* pro *τρόπος* conj. Ma. — 4. [*εἰς*] ex em. Ma; om. A. — 5. Après *ἀνιέντα* (*ἀνιόντα* A; *ἀνιῶντα* Ma) viennent les mots *ἐπὶ δέ* en transp. derrière une bande de papier au bas du fol. 163 v°. Ces deux mots terminent la dernière ligne, puis vient le fol. 164. (Voy. p. 61, var. de la ligne 5.) La suite du sens, la forme des déchirures et la correspondance des autres avaries, prouvent qu'il faut passer au fol. 165 qui commence par une lac. de 6-7 l., puis *ορᾷ* (*ρα* Ma p. 154). — 6. *τὰ..... πεπτα* Ma (il conj. *δύσπεπτα*); mais *ύς* est très-lisible; le *δ* seul est un peu gratté. — 6-7. *φυσώ* [lac. 6-7 l.] *τικά* A Ma qui conj. *φυσώδη καὶ τὰ ἐντατικά*. — 8. *πάντα* [lac. 6-7 l.] *ἐσθίειν* A Ma qui conj. *ἄχρηστα*. — 9. *λαχάνων* [lac. 4-5 l.] *καί* A Ma. — 10. *θριδακίνας..... οὺς* Ma; *θριδακίνης* [lac. 2-3 l. et débris d'un *λ*]*οὺς* Ma.

ϖρὸς ἀφροδίσια.— [Πήγανον μὲν] συμφέροι ἂν καὶ τῷ γονορρο|ïκῷ, 49 156
καὶ τῷ σατυριῶντι· ἥκισῖα γὰρ ὂν φυσῶδες, τὰς ὁρμὰς ἐκλύει, καὶ
τὸ σπέρμα ἐλατΊοῖ· [ἡ δὲ] μίνθη τῷ γονοῤῥοϊκῷ μέγισῖον βλάϐος·
διαλύει γὰρ καὶ λεπῖὸν τὸ σπέρμα ϖοιεῖ, ὥς γε καὶ τῷ μὴ ϖά-
σχοντι τὰς ϖέψεις εὐπετεῖς ϖαρέχει· τῷ δὲ σατυριῶντι τάχα ἂν
συνενέγκαι, κατὰ τὴν ὑγρότητα τοῦ σπέρματος ἐπανιεῖσα τὸ σφό-
δρα σύντονον, ἀλλὰ μικρόν· ϖεφυλάχθαι γὰρ κἀνταῦθα μὴ κατα-
σκήψῃ εἰς γονόῤῥοιαν ὁ σατυριασμός· εἰ δὲ μὴ, δέχοιτο τις τὴν
ἀπόσκηψιν, ἡγούμενος | ὁπωσοῦν ἄμεινον εἶναι, φυγόντα τὸν ὀξὺν 157
κίνδυνον, κατὰ σχολὴν μετὰ ἀσφαλείας ἰᾶσθαι τὸ ἀπόσκημμα· οἷον
δὴ γίγνεται καὶ ἐπὶ τῶν ἄλλων, ὅταν ἐν ὀξέσι κατάῤῥους ἀποσῖῇ,
ἑτέρωθι δὲ ἄλλο τι διαδέξηται, ἢ ἄρθρων ϖόνος, ἢ δυσεντερία, ἢ

La rue pourrait convenir aux individus affectés de gonorrhée ou de 49
satyriasis; en effet, n'étant pas du tout venteuse, elle émousse les désirs et diminue le sperme; la menthe, au contraire, est extrêmement nuisible dans la gonorrhée, car elle dissout et atténue le sperme; du moins elle procure aux personnes qui ne sont pas malades des digestions faciles; elle est peut-être avantageuse dans le satyriasis, parce qu'elle apaise l'excès de tension en liquéfiant le sperme; en tout cas, il faut en donner peu; on doit, en effet, éviter que le satyriasis ne se change en gonorrhée; cependant, si on ne pouvait pas prévenir cette brusque transformation, il faudrait en prendre son parti, pensant qu'il est, de toute façon, préférable de fuir un danger immédiat et d'avoir à traiter à son aise et avec sécurité une maladie substituée. C'est ce qui arrive aussi dans d'autres circonstances, lorsque, dans une maladie aiguë, un flux forme un dépôt, et qu'un autre symptôme succède ailleurs à cette maladie, par exemple une douleur aux articulations, la dyssenterie ou la

1. ἀφροδίσια. Περὶ δὲ τῆς μίνθης καὶ τοῦ ϖηγάνου συμφέροι ἂν A Ma. Περὶ.... ϖηγάνου est un titre marginal passé dans le texte; par suite on aura introduit δέ dans ce titre, lequel titre, à son tour, aura fait disparaître les mots Πήγανον μέν, par lesquels devait commencer le vrai texte de Rufus. — 3. ἐλατῖοῖ..... μίνθη Ma; dans A, avant μίνθη, il y a les traces de deux ou trois lettres que je ne puis déterminer avec certitude, à cause du mauvais état de la marge de fond; je suppose ἡ δέ. — 4. λεπόν A; λεπῖόν Ma sans avertir. — Ib. ὥσῖε conj. Ma. — 8. δέχοιτο τις ex em.; δέχοιτο τι A.

Ms. 165 v°. Matth. 157-158.

διάῤῥοια· τὰ γὰρ τοιαῦτα ἄλλως οὐχ αἱρετά ἐσ7ι, τότε δὲ χρησ7ῶς
50 ἐπιγίνεται τοῖς κινδυνώδεσιν. Περὶ μὲν τῆς μίνθης σκεπ7έον ϖότερα
χρησ7έον, ἢ μή· τῶν δὲ ὑπολοίπων κατὰ τὴν ϖροσφορὰν, κατὰ ὅσον
ἐνδίδωσι τὰ ϖάθη, κατὰ τοσοῦτον ἐφιέναι, καὶ ἰχθυδίων ϖετραίων
51 ἁπαλοσάρκων γεύεσθαι, καὶ κρεῶν ὀρνιθείων. Ὅταν δὲ ἐν ἀσφαλείᾳ
δοκῶσιν εἶναι, καὶ τῶν ἄλλων κρεῶν ϖροσφέ[ρεσθαι, καὶ τούτων
165 v° δὲ] ϖόδας, καὶ ὦτα, καὶ ῥυγχία, καὶ τὴν ἀνακομιδὴν ϖοιεῖσθαι | διὰ
158 52 τρίψεων, καὶ ϖεριπάτων, | καὶ λουτρῶν. Ἄρ[τι μὲν οὖν ϖεπεμμένου]
τοῦ ϖάθους αἱ θερμολουσίαι καὶ ἀναγ[καῖαι καὶ λυτικαί· ϖροϊόντι]
δὲ τῷ χρόνῳ τολμητέον καὶ ψυχρολουτεῖν· μέγ[ισ7ον δὲ εἰς τὴν ἴασιν]
τοῦτο· μὴ ταχὺ δὲ ἐφίεναι μίσγεσθαι, καὶ τὰς ὄψεις [καὶ τὰς ὑπο-
νοίας], καὶ ϖᾶσαν ἔννοιαν ἀφροδισιασ7ικὴν, καὶ ἀκολασ7[ίαν ἐκ-

diarrhée; autrement, en effet, ces accidents ne sont pas désirables; mais, dans ce cas, ils surviennent heureusement pour combattre le dan-
50 ger. Quant à la menthe, considérez s'il est utile de l'employer ou non; du reste, en ce qui touche aux aliments et aux boissons, on doit en accorder au fur et à mesure que la maladie diminue; on mangera des poissons de roche, qui ont la chair tendre, et de la chair de poule.
51 Lorsque les malades paraissent hors de danger, on leur permet d'autres viandes, et, parmi ces viandes, on choisira les pieds, les oreilles, le museau; pour reconforter on a recours aux frictions, aux promenades, aux
52 bains. C'est quand la maladie vient d'arriver à maturité que les bains chauds sont nécessaires et résolvent l'affection; avec le temps on peut hasarder les bains froids, car c'est un moyen énergique; il ne faut pas se hâter de permettre le coït; on doit, au contraire, éloigner les regards, les allusions licencieuses, toute pensée d'amour, tout libertinage, afin

6-7. ϖροσφέ..... ϖόδας Ma; ϖροσφέ [traces très-faibles de ρεσθαι, plus sensibles de καὶ τούτων δὲ] ϖόδας A. — 8-9. Ἀρ..... τοῦ Ma; Ἀρ[τι μὲν οὖν ϖε en transp.; lac. 5-6 l.] τοῦ A. L'esprit et l'accent de Ἄρτι ont aujourd'hui disparu du Ms.; Ma a écrit ἀρ., soit qu'il ait encore vu l'esprit, soit qu'il ait songé à ἀρτίως.— 9-10. ἀναγ..... δὲ τῷ Ma; ἀναγ[καῖαι καὶ λυ en transp.; lac. 6-7 l.] δὲ τῷ A.—10-11. μέγ.... τοῦτο Ma; μέγ[ισ7ον δὲ εἰς en transp.; lac. 5-6 l.] τοῦτο A. — 11-12. ὄψεις..... καί Ma; ὄψεις [καὶ τὰς ὑπ en transp.; lac. 4-5 l.] καί A. — 12-p. 84, l. 1. ἀκολασ7..... ὅπως Ma; ἀκολασ7[ίαν ἐκκλίνειν en transp.] ὅπως A.

Ms 155 v°. Matth. 158.

κλίνειν], ὅπως διὰ σωφροσύνης καταστήσωσιν αὑτοὺς [εἰς τὸ παν-] τελῶς ὑγιαίνειν.

que, par la retenue, les malades arrivent eux-mêmes à se guérir complétement.

1-2. αὑτοὺς..... τελῶς Ma; αὑτοὺς [εἰ en dehors du papier collé et σ τὸ ou τὲ πὰν en transp.] τελῶς A. Après ὑγιαίνειν vient en titre : Περὶ σατυριασμοῦ ἢ γονοῤῥίας (ας est sous le papier collé); à ce mot finit le manuscrit.

ΑΕΤΙΟΥ ΤΟΥ ΑΜΙΔΗΝΟΥ

ΒΙΒΛΙΟΝ ΙΑ'.

Κεφ. α' (ϛ') [1]. Περὶ διαβήτου. Ἐκ τῶν Γαληνοῦ.

Ὁ διαβήτης χρόνιόν ἐσʼ7ι ϖάθος ϖερὶ τοὺς νεφροὺς συνισʼ7άμενον, ϖολυποσίας ἐμποιητικὸν μετὰ τοῦ καὶ τὸ ϖινόμενον ἅμα νοήματι ἐξουρεῖσθαι· τινὲς δὲ τὸ ϖάθος ὕδερον εἰς ἀμίδα καλοῦσιν, ἕτεροι δὲ λειουρίαν, ἄλλοι δὲ διψακόν. Παρακολουθεῖ *δὲ τοῖς ϖάσχουσι δίψος σύντονον, καὶ οὐδεὶς κόρος ἐξ οὐδενὸς ὑγροῦ ϖροσφορᾶς γίνεται· ἐνίοτε δὲ καὶ δίχα δίψους ἀπληρώτως ἔχουσιν ὑγροῦ οἱ ϖεπονθότες, τουτέσʼ7ι συνεχῶς ϖροσφερόμενοι τὸ ϖοτὸν, οὐ μὴν ϖληρούμενοι διὰ τὸ ἐν τάχει ἐξουρεῖσθαι τὸ ϖοθέν.* Αὐτῶν *δὲ τῶν νεφρῶν ἴδιόν ἐσʼ7ι ϖάθος ὁ διαβήτης ὀρεγομένων μὲν ἀμέτρως τὸ ὑγρὸν, κατέχειν δὲ αὐτὸ οὐ δυναμένων διὰ τὴν ἀσθένειαν τῆς καθεκτικῆς ἐν αὐτοῖς δυνάμεως· ὥσπερ γὰρ* (*γε*?) *ἐπὶ τῶν κυνωδῶν ὀρέξεων καὶ ἐπί τινων λειεντεριῶν ὀρέξεις μὲν σφοδρόταται γίνονται αἵ τινες ἀναγκάζουσι ϖολλὰ μὲν καὶ λαύρως ϖροσφέρεσθαι σιτία, οὐδὲν δὲ σχεδὸν τῶν εἰσφερομένων κατέχεται· ἀλλὰ ἐπὶ μὲν τῶν κυνωδῶν ὀρέξεων διὰ τὸ βάρος ἀπεμεῖται, ἐπὶ δὲ τῶν λειεντεριῶν, καὶ διὰ τὸ βάρος, καὶ διὰ τὴν ὑποκειμένην ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως κάτω διαχωρεῖται ἄπεπʼ7α.* Κατὰ *τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς νεφροῖς σφοδροτάτη μὲν γίνεται τῆς ὀῤῥώδους ὑγρότητος ὄρεξις, διὰ δὲ τὴν ἀσθένειαν τῆς καθεκτικῆς ἐν αὐτοῖς δυνάμεως ἀθρόον ἐπὶ τὴν κύσʼ7ιν τὴν ἔκκρισιν αὐτῆς ϖοιοῦνται.* — Ἀρεταῖος (*Chronic. Sig.* II, 2) *δὲ ϖροσʼ7ίθησι καὶ ταῦτα·* Τὰ *σπλάγχνα αὐτοῖς καίεσθαι δοκοῦσιν, ἀσώδεις, ἄποροι, οὐκ εἰς μακρὸν θνήσκουσιν· ϖυριφλεγέες δίψαι· καὶ ἀπούρησις ταχεῖα, ἀλλὰ κἂν εἰς μικρὸν κατάσχωσι τὸ οὖρον, ϖαροιδέουσι ὀσφὺν, ὄρχεις καὶ ἰσχία* (p. 114-115 éd. Ermerins). Ἢν *δὲ ἐπὶ μᾶλλον αὔξηται, θερμασία δακνώδης ἐν τοῖς σπλάγχνοις, τὸ ἐπιγάσʼ7ριον ῥυτιδοῦται, καὶ φλέβες ἐν αὐτῷ ἐπαίρονται, ἰσχνοὶ δὲ τὴν ὅλην ἕξιν* (p. 115), *τηκεδὼν δὲ τοῦ σώματος γίγνεται δεινή* (p. 115). Ἄλλοι *δὲ οὐκ οὐ-*

Ch. 1, l. 1-2. *ϖοιητικόν* BCV. — 2. *τό* om. C. — Ib. *νοήματι* (et en interligne *ῥοφήματι*) B; *una cum hoc potu* Corn. — 3. *λειεντερίαν* BCMOV; Corn. a la leçon de AU, et il ajoute : *et siphonem a fusorii instrumenti similitudine appellant.* — 4-5. *ϖροσφορᾶς..... ὑγροῦ* om. U. — 4. *ϖροσφορά* A. — 4-5. *γίγνεται* A et ainsi presque toujours. — 6. *μέν* BC; *μίν* A. — 7. *τὸ ϖάθος* BV. — 9-12. *ὀρέξεων.... κυνωδῶν* om. U. — 10. *μέν* avant *σφ.* om. AX. — 11. *τὰ σιτία* BC. — 15. *δέ* om. V. — Ib. *ἐν αὐτοῖς* om. BC. — Ib. *ἀθρόως* BUX. — 16. *αὐτοῦ* U; *αὐτῶν* V. — 17. *ἀσώδεις γὰρ οὗτοι καὶ ἄποροι* BC. — 18. *θνήσκουσι· ϖυριφλεγέες δίψαι καὶ ἀπόρυσι* (et en correction *ἀποροῦσι*) *τάχια* A; *θνήσκουσι· ϖυρὶ φλέγεσθαι δίψα καὶ ἀπούρησιν ταχεῖαν* V; *θνήσκουσι* (*ὡς ἐν* ou *ὡσάν* Corn.) *ϖυρὶ φλέγεσθαι δίψαι* (*δίψα* Corn.) *καὶ ἀπούρησις ταχεῖα* U Corn.; *θνήσκουσι ὡς ἐν ϖυρὶ φλέγονται δίψει καὶ ἀπούρ. αὐτοῖς ταχεῖα* BC. — 19. *ϖαροιδοῦνται* BC. — 20. *εἰ δὲ ἔτι μᾶλλον αὔξεται* BC (qui a le texte de A et U à la marge) V. — 21. *καὶ αἱ φλέβες αἱ ἐν αὐτῷ κ. τ. ἑ.* BCX. — Ib. *ἄλλην* BC. — 22. *καὶ τηκεδὼν τοῦ σ.* BC. — Ib. *γίγνονται* A.

[1] Le chiffre mis entre parenthèses indique le numéro du chapitre correspondant de Rufus.

ροῦσιν, οὐδέ τις ἄλλη τοῦ πινομένου διαπνοή· τοιγαροῦν ἀκορίη μὲν τοῦ ποτοῦ, πλημμύρη δὲ τοῦ ὑγροῦ, περιτάσει δὲ τῆς κοιλίης ἐξεῤῥάγησαν ἀθρόοι (p. 116), χυμοὶ δὲ μοχθηροὶ ἀναποθέντες ἐν αὐτῷ τῷ σώματι τῶν νεφρῶν τὸ πάθος ἐργάζονται. Σκοπὸς οὖν ἡμῖν ἐν ταῖς θεραπείαις γινέσθω ἀμαυρῶσαι τὴν δριμύτητα τῶν ὑγρῶν, καὶ δυσκινητότερον τό τε αἷμα καὶ τὴν σὺν αὐτῷ ἀναμεμιγμένην ὀῤῥώδη ὑγρότητα ἐργάσασθαι, καὶ τὴν δυσκρασίαν τῶν νεφρῶν ἀνακαλέσασθαι. Ἀρχομένου τοίνυν τοῦ πάθους εὐθέως, μηδέπω τελειωθέντος, ἄρισΊον τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα, καὶ σύμμετρον ἀφαιρεῖν, κεχρῆσθαι δὲ καὶ τοῖς μετρίοις τῶν διουρητικῶν διαῤῥύπΊειν δυναμένοις τὴν ἀναπεπωμένην ἐν τοῖς νεφροῖς κακοχυμίαν. — Χρονίσαντος δὲ τοῦ πάθους, μήτε φλεβοτομίαν παραλαμβάνειν, μήτε διουρητικὸν μηδὲν προσφέρειν· καταπίπΊει γὰρ ἡ δύναμις ἐπὶ τῶν χρονιζόντων, καὶ δριμύτερον ἀποτελεῖται τὸ πᾶν σῶμα ἐν ταῖς φλεβοτομίαις, καὶ τὰ διουρητικὰ δὲ διδόμενα ἐπὶ τῶν χρονιζόντων πολλαπλασιάζει τὸ πάθος. Μέγισ7ον δὲ ἴαμα τῷ πάθει τούτῳ πιόντα ἐξεμεῖν αὐτίκα, πίνειν δὲ ὡς ὅτι ψυχρότατον καὶ τῇ ἄλλῃ διαίτῃ ψυχροτέρᾳ κεχρῆσθαι, τῶν τε ψυχόντων λάχανων ἐσθίοντα τῶν μὴ διουρητικῶν καὶ πΊισάνης χυλὸν ψυχρὸν ῥοφοῦντα, ἀντισπᾷν δὲ καὶ εἰς ἱδρῶτας τὴν ὕλην. — ἌρισΊον δὲ, φησὶν Ἀρεταῖος, καὶ ἡ ἐν πίθῳ γινομένη πυρία, ὥσΊε ὑπερέχειν ἄνω τοῦ πίθου τὴν κεφαλὴν, ἵνα τὸ μὲν πᾶν σῶμα θερμαίνηται, ψυχρὸν δὲ ἕλκῃ ἀέρα, τὰ δὲ ἄλλα ὥσπερ καῦσον θεραπεύειν, ἵνα ταχὺ ἄδιψος γένηται. Τήν τε οὖν πάλην τοῦ ἀλφίτου φυράσας ὀξεῖ καὶ ῥοδίνῳ κατάπλατΊε τὸ ὑποχόνδριον, καὶ φύλλα ἀμπελοῦ τρίψας ἁπαλὰ, ἢ κοτυληδόνος, ἢ ἀνδρά-

1. οὐχί B. — Ib. ἀκορεῖς BCUVX. — Ib. ποτοῦ] τόπου A. — 2. πλημμυρίη δὲ τοῦ ὑγροῦ A (πλημμύρη ex em.); πλημμυρεῖ δὲ τὸ ὑγρόν BC; πλημμυρεῖ (-ροι V) δὲ τοῦ ὑγροῦ UV. — Ib. περίτασις δὲ τῆς κύσΊεως τῆς κοιλ. ἐῤῥάγ. U; περίτασις τῆς κύσΊεως καὶ τῆς κοιλίας ὅθεν (om. V) ἐῤῥάγ. BCV. — Ib. κοιλίης] κοινῆς A. — Voici les passages correspondants d'Arétée; on verra que A se rapproche beaucoup plus que les autres mss. du texte original : Τὰ δὲ σπλάγχνα καίεσθαι δοκέουσι· ἀσώδεες, ἄποροι, οὐκ ἐς μακρὸν θνήσκουσι· πυριφλέγεες δίψαι. Ἀπουρέειν δὲ τίς ἂν ἐπίσχοι τρόπος, ἢ τίς αἰσχύνη πόνου κρέσσων; ἀλλὰ κἢν ἐς σμικρὸν ἐγκρατέες γένωνται, παροιδέουσι ὀσφὺν, ὄρχιας καὶ ἰσχία. — Ἢν δὲ ἐπὶ μᾶλλον αὔξηται, θέρμανσις σμικρὴ μὲν, δακνώδης δὲ, ἐνίζουσα τοῖσι σπλάγχνοισι· ἐπιγάσΊριον ῥυσοὶ, ἐπίφλεβοι, ἰσχνοὶ δὲ τὴν ὅλην ἕξιν. — Τηκεδὼν δὲ γίγνεται δεινή. — Ἄλλοι δὲ (Ἀλλὰ οἵδε Erm.) οὐκ οὐρέουσι, οὐδέ τις ἄλλη τοῦ πινομένου διαπνοή. Τοιγαροῦν ἀκορίη μὲν τοῦ ποτοῦ, πλημμύρη δὲ τοῦ ὑγροῦ, περιτάσι δὲ τῆς κοιλίης, ἐξεῤῥάγησαν ἀθρόως. Le ms. sur lequel Cornarius a traduit Aëtius avait, à de très-légères différences près, le texte de A. — 4. τινέσθω (sic) A. — 5. τό τε αἷμα] ex em.; θεμα (sic) A; τὸ αἷμα cet. codd. — 6. ἀνακαλέσασθαι.] Ce qui suit, jusqu'à τὴν ὕλην, l. 16, serait tiré d'Archigène, d'après le manuscrit de Cornarius et d'après les manuscrits de Florence. Voyez les notes. — 8. δέ om. ACV. — 10. μηδέν] τι BC. On constate très-souvent, dans ces manuscrits, l'omission d'une des négations quand il y en a deux. — 11-12. ἀποτελεῖ τε τό A. — 12. δὲ om. UV. — 13. πολυπλ. BCOU; ἐπὶ πολυπλ. V. — 14. ψυχρότατον ex emend.; ψυχρότερον codd.; *perquam frigidus* Cornarius. — Ib. τῶν δέ U. — 14-15. τά τε ψύχοντα λάχανα τὰ μὴ διουρητικὰ ἐσθίειν καὶ πΊισάνης χυλὸν ψυχρὸν ῥοφᾷν BC. — 16. Ἀρεταῖος] Voyez les notes du chapitre 6 de Rufus.

χνης, καὶ σέρεως, καὶ ὅσα ἄλλα τοιαῦτα. Προπότιζε δὲ καὶ πολυγόνου χυλὸν συνεχῶς ἐν οἴνῳ μέλανι, καὶ σύμφυτον, καὶ φοινίκων ἀπόβρεγμα, καὶ μύρτων, καὶ ἀπίων, καὶ γῆς ἔντερα ἑφθὰ, μετὰ χυλοῦ τινος τῶν προειρημένων. Σιτία δὲ προσφέρεσθαι τὰ εὔχυμα, καὶ ἄδηκτα, καὶ ἀμβλύνειν τὴν δριμύτητα δυνάμενα, οἷά ἐσῖιν ᾠὰ ῥοφητὰ, καὶ σεμίδαλις, καὶ χόνδρος ἐσκευασμένος ἐν ῥοφήματος ἰδέᾳ, καὶ χοίρεια κρέα ἀπίμελα λίαν ἑφθά· οἶνος δὲ ἐρυθρὸς παχύτερος, ψυχρῷ μᾶλλον κεραννύμενος εἰς διάνιψιν τῶν ἁλμωδῶν χυμῶν τῶν ποιητικῶν τῆς δίψης· μεταβάλλει γὰρ ὁ οἶνος τὴν σύγκρισιν ἐπὶ τὸ γλυκύ. Οὐκ ἄθετον δὲ διδόναι καὶ τυρὸν νεοπαγῆ ἄναλον, καὶ γάλα διὰ κοχλάκων ἢ σιδήρων διαπύρων ἐσχισμένον, ἀρθέντος τοῦ ὀῤῥώδους. Ἀπρακτούντων δὲ τῶν προειρημένων βοηθημάτων, καὶ ἐπιτεινομένης τῆς διαθέσεως, οὐκ ἄτοπον καὶ τοῖς ναρκωτικοῖς κεχρῆσθαι προσφέροντας τὴν διὰ κωδυῶν ἀντίδοτον ὑπνωτικὴν, ἤ τινα τῶν ἀνωδύνων τροχίσκων, καὶ ἐνέματι ὑπνωτικῷ κεχρῆσθαι, οἷόν ἐσῖιν ὄπιον ὀροβιαῖον μέγεθος μετὰ ἴσου ἢ πλείονος κασῖορίου· διαλυέσθω δὲ γλυκεῖ κρητικῷ ταῦτα, οὐχ ὥσπερ ἐπὶ κωλικῶν μετὰ πηγανίνου ἐλαίου· ἐμψύχειν γὰρ ἐπὶ τούτων βουλόμεθα. Ἐνίεται χρησίμως καὶ ἔλαιον ἐν ᾧ γῆς ἔντερα ἐναφήψηται, καὶ ἔξωθεν δὲ προσκομισῖέον ταῖς λαγόσιν ὄπισθεν καὶ τῷ ἤτρῳ καταπλάσματα, καὶ ψύγματα καὶ χρίσματα ψύχοντα, οἷον θριδακίνης, κοτυληδόνος, φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων, περδικίου, καὶ τὰ παραπλήσια, κηρωτὰς δὲ ἐπιτιθέναι τοῖς τόποις διὰ ῥοδίνου ἐσκευασμένας, ἢ χαμαιμηλίνου, προσλαβούσας χυλοῦ τῶν προειρημένων τινός. Ἐπὶ ὧν δὲ σφόδρα ναρκῶσαι βουλόμεθα τὴν αἴσθησιν καὶ μανδραγόρου χυλοῦ προσπλέκειν τῇ κηρωτῇ, καὶ μήκωνος φύλλων χυλοῦ, καὶ τὰ παραπλήσια· ἐκ διαλειμμάτων δέ τινων διδόναι καὶ τῶν πρὸς τὰ θανάσιμα πεποιημένων ἀντιδότων, καὶ μάλισῖα τῆς διὰ ἐχιδνῶν θηριακῆς Ἀνδρομάχου προσφάτως ἐσκευασμένης, καὶ τῆς τοῦ Ἐσδρᾶ.

β' (ε'). Περὶ ἀτονίας νεφρῶν αἱματώδη οὖρα ἐκκρινόντων. Ἐκ τῶν Ῥούφου.

Νεφρῶν γε μὴν ἐσῖι καὶ ἄλλο πάθος, ἐπὶ οὗ λεπῖὸς ἰχὼρ αἵματος οὐρεῖται, συμβαίνει δὲ τοῦτο καὶ διὰ ἀτονίαν τῶν νεφρῶν, ὥσπερ ἐπὶ ἥπατι ἔφαμεν γίνεσθαι, καὶ διὰ τὴν εὐρύτητα τῶν ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς τὸ οὖρον διηθούντων σῖομάτων· εὐρύτεροι γὰρ οἱ πόροι τυγχάνοντες χαλῶσί τι καὶ τοῦ αἵματος ἐκ τῆς φλεβὸς, καὶ ἄλλας παχύτητας, ὥσῖε μετὰ τὴν τῶν οὐρουμένων κατάσῖασιν ὑποσῖά-

1. *καί* devant *ὅσα* om. A. — Ib. *καί*] *τό* B. — 2. *σὺν οἴνῳ* BC. — Ib. *συμφύτου* B (en corr.) C. — 3. *ἔντ. ἑπῖά* B; *ἔντ. ζ'* AX; *ἔντερα ἑφθά* (in ora *ζ'*) C; *ἔντ. ἑφθά* Corn. — 3-4. *Σιτία δὲ προσδυνάμενα οἷα* BV. — 5. *ἐσκευασμένος* U; *σκευασμένος* AX (faute constante dans AX); *σκευαζόμενος* BCV. — 6. *δέ* om. AX. — 7. *ἐξάλειψιν*, et en interligne *διάνιψιν* B. — 8. *δέ*] *γάρ* X. — 9. *σιδήρων διαπύρου* U; *σιδήρου διαπύρου* BCV. — 10. *οὖν* pro *δέ* B dans une rature. — 11. *προσφέρεσθαι διὰ τῶν κωδ.* V. — 15. *ἀφεψεῖται* BC (qui a en interl. *ἐναφ.*) UV. — 16. *προκομ.* AU. — 16-17. *καὶ ψύγματα* om. ACUX. — 17. *θριδακίνην* BC; et ainsi les autres mots à l'accusatif. Il en est de même pour les lignes 20 à 23. — 18. *καὶ κηρωτὰς δέ* BCUVX. — 19. *τινά* A; l'abréviation étant, dans A, la même pour *χυλοῦ* et *χυλόν*, on ne peut savoir quelle est, ici, la leçon de ce manuscrit. — Ch. 2, l. 26. *τῶν* om. U. — Ib. *ὥσπερ καὶ ἐπί* BCMO. — 27. *διηθεῖται* U.

σεις ἐν τῷ ἀγγείῳ εὑρίσκεσθαι καὶ ἐπιπάγους ἄνωθεν θαλασσίῳ πνεύμονι μάλισῖα ἐοικότας. Πεφθέντος μὲν οὖν τοῦ σιτίου καὶ παρελθόντος εἰς τὰς φλέβας, οὐρεῖται ὁποῖα εἴρηται· νεαροῦ δὲ ἔτι ὄντος καὶ ἀπέπῖου τοῦ σιτίου, καθαρὰ καὶ ὑδατώδη καὶ ἀνυπόσῖατα ἐκκρίνεται τὰ οὖρα. Πονοῦσι δὲ οὐδὲν, ἢ βραχὺ παντελῶς, καὶ κουφίζονται ἐπὶ ταῖς οὐρήσεσι, λεπῖύνονταί γε μὴν τῷ χρόνῳ πάντες, καὶ μᾶλλον ὅσοις αἷμα πλεῖον οὐρεῖται. Ἡσυχάζειν μὲν οὖν κατὰ ἀρχὰς τούτοις συμφέρει, καὶ σιτία σῖύφοντα καὶ οἴνους μέλανας προσφέρεσθαι, τῶν δὲ διουρητικῶν ἀπέχεσθαι καὶ συνουσίας παντάπασιν, πίνειν δὲ τὰ τῶν αἱμοπῖοϊκῶν φάρμακα, καὶ μάλισῖα πολυγόνου χυλὸν καὶ συμφύτου ῥίζης ἀφέψημα, καὶ τραγάκανθαν ἐν οἴνῳ μέλανι βεβρεγμένην. Ἵσῖησι δὲ τὰς ἐκ νεφρῶν αἱμοῤῥαγίας καὶ σῖρατιώτου τοῦ ἐπὶ τῶν ὑδάτων νηχομένου ὁ χυλὸς πινόμενος, καὶ τὸ ἀφέψημα τῆς ῥίζης τῆς μεγάλης κροκοδειλιάδος τῆς παρὰ τὰ ὕδατα φυομένης, ἣν οἱ Σύροι ὀρόφην καλοῦσι, γλυκυσίδης ἤτοι παιωνίας κόκκοι πυῤῥοὶ δώδεκα σὺν οἴνῳ, ἐλαφείου κέρατος κεκομμένου ∠α' σὺν οἴνῳ, ἰτέας φύλλα λεῖα σὺν οἴνῳ, λυσιμαχίου χυλὸς, λίθου αἱματίτου ∠α', λωτοῦ τοῦ δένδρου τῶν πρισμάτων τὸ ἀπόβρεγμα, λευκῆς ἀκάνθης ῥίζης τὸ ἀφέψημα καὶ τὰ παραπλήσια, ἅ τινα ἐν τῷ Περὶ αἱμοπῖοϊκῶν λόγῳ προείρηται. Ἐπιτιθέναι δὲ καὶ τοῖς νεφροῖς καὶ τῇ ὀσφύϊ ἔξωθεν τὰ πρὸς ῥοῦν γυναικεῖον ἀναγραφησόμενα ἐπιθέματα, καὶ τὰ πρὸς τὰς τοῦ αἵματος πῖύσεις, καὶ ὅσα τῇ σῖύψει καὶ τῇ ξηρότητι τόνον παρασχεῖν δύναται, οἷά ἐσῖι βάτου φύλλα, καὶ δρυὸς φύλλα καὶ βάλανοι, καὶ μυρσίνης φύλλα καὶ ὁ καρπὸς, σίδια καὶ βαλαύσῖια, καὶ τοῦ περδικίου τὰ φύλλα, καὶ τὰ παραπλήσια, ἀναλαμβανόμενα φοίνιξι πατητοῖς καὶ ἐπιτιθέμενα. Μετὰ δὲ ταῦτα ἀνατρέφειν τὴν ἕξιν γάλακτι καὶ σιτίοις, κρέασιν ὀρνιθείοις, καὶ ὑείοις ἀπιμέλοις, ὡς ἂν καὶ τὸ σύμπαν σῶμα ἄγειν (ἄγηται?) εἰς ἰσχὺν, καὶ οἱ νεφροὶ ῥωσθέντες τὸ οἰκεῖον ἔργον ἐπιτελῶσιν, οἰκεῖον δὲ τοῖς νεφροῖς ἐσῖι τὸ διακρίνειν καὶ διηθεῖν τὸ ὀῤῥῶδες ὑγρὸν ἀπὸ τοῦ αἵματος.

γ'. Περὶ τῶν κατὰ περίοδόν τινα αἷμα οὐρούντων. Ἐκ τῶν Ἀρχιγένους.

Ἐκκρίνεται δὲ ἀπὸ τῶν νεφρῶν κατὰ περιόδους τινὰς ἐπί τινων αἷμα παραπλησίως

2. μέν] γάρ M. — 4-5. Πονοῦσι δὲ οἱ πάσχοντες καὶ οὐδὲν βραχὺ παντελῶς κουφίζονται ἐπὶ ταῖς οὐρήσεσι, et à la marge : ἐν ἄλλῳ οὕτως· πονοῦσι δὲ οὐδέν, et le reste comme le texte que j'ai imprimé C; B n'a que le mauvais texte; A n'a que la bonne leçon, comme Corn. et UV, à cette seule différence près que ces deux derniers manuscrits ont οὐδὲ βραχύ, et que V omet καί avant κουφίζ. — 6. τούτους BCUV. — Ib. συμφέρειν M; συμφέρον C. — 7. προσφέρειν O. — 11. ὁ om. BCOUV. — 12. οἱ om. BCMOUV. — 14. λεῖα om. M. — 14. χυλόν MUV. — Ib. λίθου αἱμ. ∠α' après ἀπόβρεγμα (l. 15) C. — 15. ἀκάνθης om. M. — 15-16. ἅ τινα....... προείρηται om. U. — 16. ἐν τῷ τρίτῳ λόγῳ MO. — Ib. δὲ τοῖς BCMOU. — 18. δυνάμενα AUVX; δύνανται BCMO, et A en surcharge d'une autre main. — 19. οἷα τὰ β. MV; οἷον τὰ β. BO. — Ib. καὶ δρυὸς φύλλα om. BMOV. — 19-20. φύλλα καὶ ὁ καρπός om. BMOV et U qui remplace ces mots par καὶ δρυὸς φύλλα transposés. — 20. τοῦ ex em.; τῆς codd. Le texte portait peut-être primit. τῆς περδικιάδος. Corn. a *perdicii*. — 22. καὶ σιτίοις καὶ κρ. BCMO. — Ib. καὶ ὑείοις καί U (qui omet καί après ἄν) V. — 24. ν. ἔργον ἐστι X. — Ch. 3, l. 26. παραπλήσιον BC.

τῷ ἀπὸ τῶν αἱμοῤῥοΐδων ἐν ἕδρᾳ, καὶ κατὰ ἀρχὰς μὲν διὰ τὸ χωρίς τινος ὀδύνης ἐκκρίνεσθαι οὐδὲ ὅλως οὐ δοκεῖ ἐπίφοβον εἶναι τοῖς πεπονθόσι, χρονισθὲν δὲ, εἰ ἐπισχεθείη ποτὲ τὸ ἐκκρίνεσθαι ἔθος ἔχον, βάρος ἐπιφέρει καὶ ἑτέρων κακίστων νοσημάτων αἴτιον γίνεται, εἰς ἕτερα μόρια ῥέψαντος τοῦ αἵματος· ἀρθριτικαὶ γὰρ διαθέσεις ἐπὶ ἐνίων ἐκ τῆς ἐποχῆς συμβαίνουσιν, ἢ σκοτώματα, ἢ μελαγχολικαὶ παράνοιαι, ἢ μανίαι, ἢ ὄψεων πηρώσεις, ὥσπερ κἀκ τῆς τῶν αἱμοῤῥοΐδων ἐποχῆς· τὰ πολλὰ δὲ εἰς καχεξίαν καὶ ὕδρωπα ἐντεῦθεν ἐπιτηδειότης γίνεται. Δήλη δὲ γίνεται ἡ ἐκ τῶν νεφρῶν τοῦ αἵματος ἔκκρισις, συναισθανομένων αὐτῶν τῶν πασχόντων τῆς παρόδου τοῦ ἐκκρινομένου αἵματος κατὰ τὸν τόπον τῶν νεφρῶν πολλάκις, καὶ μάλιστα ἐπειδὰν ἀνεπίμικτον οὔρου ἐκκρίνηται. Γίνεται δὲ τὸ πάθος μᾶλλον ἐπὶ ἀκμαζόντων καὶ νέων, καὶ μάλιστα ἐπὶ τῶν ἀκολάστως κεχρημένων τοῖς ἀφροδισίοις. Ἐκκρίνεται δὲ ἐπί τινων ἐκ τῶν νεφρῶν αἷμα, καὶ ῥήξεως ἀγγείου ἐν τοῖς νεφροῖς γινομένης, ὡς ἐπὶ τῶν φορτίον βαρὺ ἀραμένων, ἢ μέγα πηδησάντων, ἢ ἐξ ὑψηλοῦ πεσόντων, ἤ τι τοιοῦτο ἕτερον βίαιον ὑπομεινάντων, ἐνίοτε καὶ διὰ δριμέων ἄνωθεν ἐπιῤῥυέντων χυμῶν ἀνάβρωσις γίνεται τῶν ἀγγείων. Πειρατέον μὲν οὖν εὐθὺς κατὰ ἀρχὰς ἐπισχεῖν τὴν φορὰν τοῦ αἵματος, μάλιστα ἐπὶ τῶν κατὰ περίοδον ἐκκρινόντων· μελετῆς γὰρ γινομένης, ὡς προείρηται, οὐδὲ ἡ ἐποχή ἐστιν ἀσφαλής. Φλεβοτομία τοίνυν ἀπὸ ἀγκῶνος εὐτεθήσει, ἐπὶ μὲν τῶν κατὰ περίοδον ἐκκρινόντων τὸ αἷμα ὀλίγον πρότερον τῆς περιόδου παραλαμβανομένη, ἐπὶ δὲ τῶν διὰ ῥῆξιν ἀγγείου εὐθὺς ἐξ ἀρχῆς, μεμερίσθαι δὲ τὴν ἀφαίρεσιν ἄμεινον, ἵνα ἀντίσπασις κατὰ βραχὺ γένηται. Σκέπειν δὲ τὰ περὶ τοὺς νεφροὺς σπόγγοις ὀξυκράτῳ δεδευμένοις, ἢ ἐρίοις οἰσυπηροῖς σὺν ῥοδίνῳ καὶ ὄξει, μετὰ δὲ ταῦτα καὶ ἐμπλάστρους ἐπιτιθέναι ἐναίμους κολλητικάς. Ἐπιτήδειος δὲ καὶ σικύα προστιθεμένη, καὶ μάλιστα εἰ φλεγμονὴ ὑποπτεύοιτο εἶναι ἐπὶ τῶν διὰ ῥῆξιν ἀγγείου αἷμα οὐρησάντων. Ἁρμόσει δὲ καὶ τούτοις ποτήματα τὰ τοῖς αἱμοπτοϊκοῖς διδόμενα, μετὰ δὲ τὸ παύσασθαι τὴν τοῦ αἵματος ἔκκρισιν διαιτᾶν ὥστε αἷμα πολὺ μὴ γίνεσθαι, καὶ μάλιστα ἐπὶ τῶν κατὰ περίοδον ἐκκρινόντων, καὶ γυμνάζειν συνεχῶς τὰ ἄνω μέρη τοῦ σώματος· ἐπὶ δὲ τῶν διὰ ῥῆξιν ἀγγείου αἷμα οὐρησάντων, εἰ ἕλκωσις ὑπολειφθείη ἐν τοῖς τόποις μετὰ τὴν ἐποχὴν τοῦ αἵματος, θεραπευθήσεται διὰ τῶν ῥηθησομένων ἐν τῷ Περὶ ἑλκώσεων τόπῳ. — * Ἔμπλαστρος νεφριτική· κηροῦ

1. τῷ] τόν A. — Ib. τινος om. BCMO. — 2. οὐ om. BCMOU. — 4. ῥεύσαντος BCMOUV. — 5-6. παρ. καὶ μανίαι BCMO. — 6. πυρώσεις AU. — Ib. τῶν om. V. — 7. ἐπιτηδειότερον B. — Ib. δῆλοι δὲ γίνονται U; om. MV. — 9-10. ἀνεπιμίκτου C; ἀνεπίμικτα M; ἀνεπίδηκτον U. — 10. οὔρου εὑρίσκεται U. — 10-11. ἀκμαζόντων τε καὶ νέων τῶν ἀκολ. BCO; ἀκμ. μάλιστα [καί V] νέων ἐπὶ τῶν ἀκολ. MV; ἀκμ. καὶ νέων ἐπὶ τῶν ἀκολ. U. — 13. ἤ ante ἐξ om. A. — Ib. ὕψους BCMOUV. — Ib. τοιοῦτον ABCMOX; les manuscrits de Vienne, si j'en juge par la collation de M. Wahrmund, ont τοιοῦτο. — 14. ὑπομενόντων BC; ὑπομέντων A. — Ib. ἐν. δὲ καί BCMO. — Ib. ἐπιῤῥεόντων AU. — 15. Πειρατέον οὖν μὴ εὐθύς B; πειρ. μὴ (μέν X) εὐθύς VX. — 17. ὥσπερ BMOV. — Ib. ἡ om. MO. — 18. μέν om. B. — 19. ἀγγείων BOUV. — 20. τε τά X. — 22. Ἐπιτήδειον BMO. — 23. καί avant μάλιστα om. BMOV. — 24-27. Ἁρμόσει.... οὐρησάντων om. O. — 26-27. καὶ γυμν. καὶ συνεχῶς A. — 29. ἑλκώσεως BCMOU. — p. 89, l. 29-p. 90, l. 2. Ἔμπλαστρος..... ἀρκοῦν om. AX. Cette recette est sans doute une addition récente.

οὐγγ. α', κρόκου ἑξάγ. α', λεκίθων (l. λεκίθοι) ᾠῶν δύο, Φοινίκων (l. Φοίνικες) ι', καὶ ῥοδίνου τὸ ἀρκοῦν.

δ' (γ'). Περὶ λιθιώντων νεφρῶν. Ἐκ τῶν Ἀρχιγένους καὶ Φιλαγρίου.

Ταῖς ἐν νεφροῖς λιθιάσεσιν οἱ προβεβηκότες ἁλίσκονται μᾶλλον τῶν παίδων, ὥσπερ ταῖς ἐν κύστει οἱ παῖδες συνεχέστερον τῶν προβεβηκότων· αἰτίαι δὲ τῆς τούτων γενέσεως ἀπεψίαι συνεχεῖς, διὰ ὧν πλῆθος ὕλης ἀπέπτου ἀθροίζεται, καὶ πύρωσις περὶ τοὺς νεφροὺς καὶ τὴν κύστιν ἀποτελεῖται, ἥ τις κατοπτῶσα τὰ ὑγρὰ συνίστησι καὶ ἀπολιθοῖ ὁμοιοτρόπως τοῖς ἐν τοῖς ἑψομένοις ὕδασι, κατὰ τὰ χαλκεῖα μάλιστα τῶν βαλανείων εὑρισκομένοις πώροις. Συνίστανται δὲ ἐν τοῖς νεφροῖς οἱ λίθοι κατὰ τὰς κοιλίας αὐτῶν, ἢ μικροὶ, ἢ μείζονες, καί ποτε μὲν εἷς, ποτὲ δὲ πλείονες, διαφέροντες δὲ τῷ μεγέθει, καὶ τῷ σχήματι, καὶ τῇ χρόᾳ, καὶ τῇ τραχύτητι, καὶ τῷ πλήθει· καὶ γὰρ μέλανες εὑρίσκονται, καὶ ὑπόλευκοι, καὶ ὠχροί· καὶ οἱ μὲν περιφερεῖς καὶ λεῖοι εὐέκκριτοι· οἱ δὲ ἄλλως πως ἐσχηματισμένοι, καὶ μάλιστα οἱ ἐπιμήκεις καὶ οἱ τραχεῖς, δυσέκκριτοι. Παρέπεται δὲ τοῖς πάσχουσι βάρος ἐντόπιον, ὄγκου μηδαμοῦ προφαινομένου ἐκτὸς, εἰ μὴ καὶ Φλεγμονὴ διὰ τὸν λίθον ἀποτελεσθείη, δυσκαμπής τε αὐτοῖς ἡ ῥάχις γίνεται, καὶ τὸ ὅλον σῶμα δυσκίνητον, νάρκη τε περὶ τὰ σκέλη, καὶ μάλιστα τοῦ καταλλήλου σκέλους, οὖρά τε ὀλίγα μὲν κατὰ ἀρχὰς τῆς σφηνώσεως ἐκκρίνεται καὶ ὑδατώδη, ὕστερον δὲ καὶ ἐποχὴ τελεία γίνεται, καὶ ἡ κοιλία ἀδιαχώρητος μὲν μένει, προθυμίας δὲ πρὸς ἐκκρίσεις ποιεῖ πολλὰς, ἐκκρίνεται δὲ ἐνίοτε καὶ αἷμα ὑπὸ τῆς βίας τῶν λίθων, καὶ μάλιστα τραχυτέρων ὄντων. Μετακινηθέντος δὲ τοῦ λίθου ἐκ τῶν νεφρῶν καὶ καταφερομένου ἐπὶ τὴν κύστιν, οὖρά τε πολλὰ ἐκκρίνεται ὑπόστασιν ψαμμώδη ἔχοντα, καὶ ἡ κοιλία ἐκδίδωσι δαψιλῆ, συναίσθησίς τε γίνεται τῷ πεπονθότι, ὡς παροδεύοντος ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν τοῦ λίθου.

ε' (γ'). Θεραπεία τῶν λιθιώντων νεφρῶν.

Σφηνωθέντος δὲ ἐν τοῖς νεφροῖς λίθου καὶ σφοδροτάτας ὀδύνας ἐπιφέροντος, καὶ πλήθους αἵματος κίνδυνον ἀπειλοῦντος, ἐπὶ τὸ τεινόμενον μέρος προσκαλεῖται τὰς ὕλας διὰ τὰς ὀξείας ὀδύνας. Τέμνειν μὲν οὖν προσήκει τὴν ἐν ἀγκῶνι τῆς καταλλήλου

2. ὄξους καὶ ῥοδίνου U V Corn. — Ch. 4, titre Ἀρχ. καί om. A. — 3. οἱ ex V; om. cet. codd. — Ib. παιδίων BCUV. — 5. διὰ πλῆθος δὲ (γάρ M) ὕλης B M; διὰ πλῆθος (σπλῆθος A) ὕλης AUV. — Ib. ἀθροίζονται BO; ἀθροιζομένης M. — 5-6. πύρωσιν MV. — 7. ἐν τοῖς om. AX. — Ib. ἐψημένοις MOV; ἡψημ. B. — 8. δὲ καὶ ἐν BMO. — 9. ποτε μὲν ἐλάττονες, ποτὲ δὲ (δέ om. C) καὶ (om. U) πλ. BCMOUV. — 10. χροιᾷ BCMO. — 11. τῷ om. X. — 12. καὶ λ. καὶ εὐέκκρ. BCMOV. — 12-13. μαλ. δὲ οἱ ἐπιμ. BCO. — 13. οἱ ante τραχεῖς om. BMUV. — 14. καί om. X. — Ib. τοὺς λίθους BCMO. — 15. τε] δέ AM. — 17. καί avant ὑδατ. om. BCMOUV. — 18. ἐκδόσεις BCMOUV. — 20. Μετακινηθέντων et les autres mots corresp. au gén. plur. BC. — 21. δέ BCMO. — 22-23. παροδευόντων..... τῶν λίθων BC. — Ch. 5, l. 24. προκαλεῖται A. — P. 90, l. 25-p. 91, l. 1. τῆς καταλλήλου χειρός om. A.

χειρὸς Φλέβα κατὰ τὸ πληθωρικῶς διακείμενον σῶμα, κενοῦν δὲ ἐλάτλω πολλῷ ἤπερ ἀπαιτεῖ τὸ πλῆθος· οὐ γὰρ πάντως διὰ ταχέων ἐλπίζομεν ἐκπεσεῖσθαι τῶν νεφρῶν τὸν λίθον, καὶ μάλισλα εἰ μέγας· τηρεῖν οὖν χρὴ τὴν τοῦ αἵματος κένωσιν εἰς τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ σώματι τῷ χρόνῳ δαπάνην. Τοῖς μὲν οὖν αἵματος πλῆθος ἀθροίζουσι Φλεβοτομία χρήσιμος, τοῖς δὲ κακοχυμίαν κάθαρσις ἐπιτηδεία ἢ τῷ πλεονάζοντι χυμῷ κατάλληλος· καὶ δεῖ ταύτην παραλαμβάνειν, εἰ μηδὲν ἕτερον κωλύοι. Μετὰ δὲ τὴν τοῦ αἵματος κένωσιν ἢ τὴν κάθαρσιν παραλαμβάνειν ἐπὶ αὐτῶν τὴν ὑποτεταγμένην κοινὴν ἐπιμέλειαν πάντων τῶν λιθιώντων. Ἀλγηδόνων μὲν οὖν ἐξαίφνης, ἢ κατὰ ὀλίγον εἰσβαλλουσῶν, καὶ αὐξανομένων ἐπὶ ψαμμίοις προκεκενωμένοις σὺν τοῖς οὔροις, εἶτα καὶ ὑδατωδῶν οὔρων ἐκκριθέντων, καὶ τῶν προῤῥηθέντων σημείων παρεπομένων, κλύζειν αὐτίκα τὴν κοιλίαν διὰ ἀφεψήματος πιτύρων, ἰσχάδων, τήλεως καὶ ἀρισλολοχίας· καὶ εἰ μὲν κενωθεῖεν δεόντως, ἀρκεῖσθαι· εἰ δὲ μὴ, καὶ δὶς, καὶ τρὶς κλύζειν, καὶ μάλισλα εἰ παρελείφθη τὸ τῆς Φλεβοτομίας, ἢ τὸ τῆς καθάρσεως βοήθημα. Μετὰ δὲ τὸ ἱκανὸν ἐκκρῖναι τὴν κοιλίαν ἐνιέναι χρή τι τῶν πραΰνειν καὶ χαλᾷν τὰς Φλεγμονὰς δυναμένων τῶν περὶ τὸν λίθον σωμάτων, τοῦτο δὲ ποιεῖν δυνήσεται ἀνήθινον ἔλαιον, ἐντακέντος αὐτῷ σλέατος ὀρνιθείου προσφάτου, καὶ μάλισλα χηνὸς καὶ Φασιανικοῦ, ἢ βουτύρου. Μὴ παρόντων δὲ τούτων, τῆλιν καὶ τῆς ἀλθαίας τὴν ῥίζαν ἑψήσαντας τῷ ἐλαίῳ ἐνιέναι, καὶ ἐγκαθίσματα δὲ παραλαμβάνειν διὰ ἀφεψήματος τήλεως, ἀλθαίας, ἀνήθου, ἀρτεμισίας, ἰσχάδων, καὶ ἐλαίου. Μάλισλα δὲ τὰ ἐγκαθίσματα παραλαμβάνειν χρὴ ἐν τοῖς βαλανείοις καὶ μετὰ τοῦτο εὐθέως ἐμβιβάζειν χλιαρωτέρᾳ ἐμβάσει, καὶ τοῦτο συνεχῶς ποιεῖν. Καὶ πυρίαι τοῖς τόποις προσαγόμεναι ὠφελιμώταται διὰ πιτύρων ἡψημένων τοῖς προῤῥηθεῖσιν ἀφεψήμασι, καὶ μετὰ τὰς πυρίας καταπλάσσειν ἀλεύρῳ πυρίνῳ μετὰ λινοσπέρμου καὶ τήλεως, μέλιτός τε καὶ ἐλαίου ἀνηθίνου ἢ γλευκίνου, ἐπιπάσσοντας ἐν τῇ ἑψήσει τῷ καταπλάσματι καὶ

1. ἔλαττον BCUVX. — Ib. πολλῷ om. A. — 3. εἰ om. A; ἂν ᾖ X. — Ib. μέγας εἴη· τ. BCOUV. — Ib. τήν et κένωσιν om. AU; κέν. om. V. — 4. Καὶ τοῖς C. — Ib. οὖν om. BCMO. — 6. δεῖ] διά A. — Ib. περιλαμβ. B. It. l. 7. — 9. μέν εἰσβ. X. — Ib. εἰσβαλουσῶν A. — Ib. σύν] ἐν BCMOUV. — 11. κλύζειν αὐτοῦ κατὰ τὴν κ. U. — Ib. Entre αὐτίκα et τὴν κοιλίαν A (fol. 122 r°) donne la recette suiv. qui, si on considère le style et la place qu'elle occupe, ne vient pas d'Aëtius. Je la reproduis avec ses fautes : Ἔνεμα νεφριτικοῖς τοῦ χάρτου, νίτρου, ἀφρονίτρου, ἁλατίου, ἀνὰ ἑξάγ. α΄, ἐλατηρίου κε. β΄ εἰς ἀφέψημα σεύτλων ἢ ἀγρίου σικύου, ἢ ἐντεριώνης, καὶ μέλιτος· τὸ δὲ νεφριτικὸν βοήθημα αὐτὸν ἀρισλολοχίας σλρογγυλῆς καὶ μακρᾶς ἀνὰ ἑξάγ. ζ΄ σὺν οἴνῳ εἰς λουτρὸν πρόσβαλε δὲ καὶ σλάχυος κηκίν, ἄμωμον καὶ καρεοφύλλων. — 12. κενωθείη ἐνδεόντως A; M et O ont à la marge γρ. κενωθῇ ἐνδ. — Ib. ἀρκεῖσθαι om. AMUVX. — 13. εἴπερ μὴ ἐλήφθη BCMOUV; on a d'abord changé εἰ παρ en εἴπερ, puis ἐλείφθη par iotacisme en ἐλήφθη, puis on a intercalé μή voyant que le texte ainsi altéré donnait un contre-sens. — Ib. ἢ τῆς AUV. — 14. ἱκανῶς BC. — 16. ἐκτακέντος MOV. — 17. Φασιάνου BCMOU. — 18. τὰς ῥίζας CO. — Ib. ἑψήσαντες ABMX. — 18-20. διὰ ἀφεψήματος... παραλ. om. U. — 19. τά om. BV. — 20. ταῦτα BCO. — 21. δὲ τοῖς BCO. — 22. ὠφελοῦσι τά τε διά BCMOUV. — 23. καταπλάσμασιν ABMOUX. — Ib. διὰ ἀλεύρου πυρίνου B en correction. — Ib. λινοσπέρματος BCOUV. — Ib. καὶ τήλεως om. U. — 24. ἢ] καί BCO. — Ib. τοῖς καταπλάσμασιν COX.

ἀλθαίας ῥίζης κεκομμένης καὶ σεσησμένης· ἐπὶ τέλει δὲ τῆς ἑψήσεως καὶ τερεϐινθίνη ἐμϐαλλέσθω. Κάλλισῖον δὲ γίνεται κατάπλασμα καὶ ἐξ ἀλεύρων θερμίνων ἡψημένων ἐν γλυκεῖ· μίσγειν δὲ τῷ ἀλεύρῳ καὶ ϖευκεδάνου ῥίζας ὡς λειοτάτας, καὶ χαμαιμήλου λειοτάτου. Ἄγαθον δὲ καὶ ἄρτον ἕψοντας ἐν γλυκεῖ καταπλάσσειν ὀσφὺν καὶ κενεῶνας· οὐ μὴν οὐδὲ κύσῖιν καὶ ἦτρον καταπλάσσειν ἄθετον· ϖυκνὰ δὲ ἄλλα καὶ ἄλλα ἐπιφέρειν καταπλάσματα, ϖρὶν ψυχρὸν γενέσθαι τὸ ϖρῶτον· εἰ δὲ μὴ, θερμάσματί γε ἔξωθεν ἑτέρῳ σκέπειν, ὡς μὴ καταψύχεσθαι, τοῦτο δὲ γενήσεται σακέλλων ἐπιτιθεμένων τῷ καταπλάσματι, ἢ ϖυριατηρίων. Πολλοῖς μὲν δὴ εἰς τὸ οὐρηθῆναι τὸν λίθον ἤρκεσε καὶ ταῦτα μόνα· σὺ δὲ καὶ τῶν διουρητικῶν ϖροπότιζε. Οὖρα δὲ ϖολλὰ Φέρειν δύναται μήου ἀθαμαντικοῦ, Φοῦ ϖοντικοῦ, ἀκόρου, ἀγρώσῖεως, καὶ τῆς νάρδου τὸ ἀφέψημα, καλάμου ἀρωματικοῦ, ἄμμεως, δαύκου, ὀρεοσελίνου, ὑπερικοῦ, λιϐανώτιδος, ἀσάρου, ἀσφοδέλου ῥίζης, βρυωνίας ῥίζης τὸ ἀφέψημα, καὶ κόκκος ὁ βαφικός. Τούτων ἕκασῖον, καὶ τὰ τούτοις ϖαραπλήσια κατὰ ἑαυτὰ καὶ σὺν ἀλλήλοις διδόμενα οὖρα κινεῖ ἐναργῶς· ϖαχέα δὲ ἄγει οὖρα σκολύμου ῥίζης ἀφέψημα, ἐρυθροδάνου ῥίζης ἀφέψημα ϖινόμενον, καππάρεως ῥίζης Φλοιὸς καὶ τὰ ὅμοια. Ἐπεγείρει δὲ τῷ ἐρεθισμῷ ϖρὸς ἔκκρισιν τὰς δυνάμεις σκόροδον, χαμαιδάφνης ἀσπάραγοι, βρυωνίας ἀσπάραγος, σκίλλης τὸ τρίτον ἀφέψημα, ϖροαποχυθέντος τοῦ ϖρώτου καὶ τοῦ δευτέρου ἀφεψήματος· ϖοδηγητικὰ δὲ ἐπὶ τοὺς νεφροὺς γίνεται τῶν θρύπῖειν τοὺς λίθους δυναμένων ϖευκεδάνου ῥίζα, βρυωνία, σέλινον, σῖρούθιον. Θρυπῖικὰ δὲ λίθων ἐσῖὶ τῶν ἐν νεφροῖς σίον, ἀδίαντον, βδέλλιον, ἄγνου σπέρμα, ὀξυμυρσίνης ῥίζα, δάφνης Φλοιὸς τῆς ῥίζης, ϖαλιούρου σπέρμα, τριϐόλου ἀφέψημα, σαξιφράγου, βετῖονικῆς, ἀγρώσῖεως ῥίζης, δαμασωνίου ῥίζης, ἐρεϐίνθων ὁ ζωμὸς, κυπέρου ῥίζαι, λινόσπερμον, τηκόλιθον, τῆς Φιλανθρώπου λεγομένης καὶ ξανθίου τὸ σπέρμα τὸ ἐν τοῖς ἀκανθώδεσι σφαιρίοις εὑρισκόμενον ϖαρεοικὸς λίνου σπέρματι, ἐλειῶν ἀσπαράγων ῥίζαι, ὕαλος κεκαυμένη λεία, ἀλθαίας ῥίζα καὶ τὸ σπέρμα, λαπάθου ἡμέρου ῥίζαι, κοκκυμηλέας τὸ κόμμι, οἱ ἐκ τῶν σπόγγων λίθοι, γῆς ἔντερα ἑφθά· τούτων

1. *ῥίζαν* et les autres mots à l'accus. BO. — Ib. *τερεϐινθίνην* BO. — 3. *ῥίζης ὡς λειοτάτης* MO. — 3-4. *χαμαιμήλου λειότατης* A. — 5. *οὐ μήν* om. C. — 6. *τὸ ϖρῶτον*, et au-dessus *τὸν τόπον* BC. — Ib. *εἰ δὲ μή*] *εἰ μή* BCOU; *καί* M; om. V. — 7. *γε* om. BCMOUV. — Ib. *ἔξω* corrigé par une autre main en *ἔξωθεν* B. — 9. *τὰ διουρητικά* BCO; *τὸ διουρητικόν* M; *τῶν οὖρ* X. — 10. *καὶ τῆς* om. U. — 11. *τό* om. UV. — Ib. *ἴρεως* (*ὀρείας* U) *σελίνου* BCMOUV. — 12. *καὶ βρυωνίας* BCOU. — 12-13. *ἡ βαφική* AX (qui omettent *καί*) U. — 13. *τούτοις*] *τούτων* U. — 14. *ἀφέψ. καὶ ἐρυθρ.* C. — 15. *ῥίζης* om. A. — Ib. *ῥίζης ἀφέψ. λεῖα ϖινόμενα* MV; *ῥίζα λεῖα* (sic) *ϖινομένη* U; *ῥίζης ἀφέψ. καὶ λείων ϖινομένων* BCO. — 16-17. *χαμαιδάφνη..... ἀσπαράγου* BC. — 17-18. *τὸ ϖρῶτον καὶ τὸ δεύτερον ἀφέψημα* A. — 18. *δευτέρου ἀποχήματος ὁδηγητικά* U. — Ib. *δέ* om. M. — 18-19. *νεφροὺς τὰ θρύϐειν..... δυνάμενα* BCMO. — 18. *θρύϐειν* V. — 20. *τῶν νεφρῶν* BCMO. — Ib. *σίδων* BMOUV. — Ib. *ἄγνου σπέρμα* om. BCO; *ἄγνου* om. MV. — Ib. *μυρσίνης* BM. — 21. *σαρξιφάγου* BCUV. — 22. *καὶ δαμασ.* U. — Ib. *ῥίζης* om. U. — Ib. *ῥίζα* BCMOU. — 22-23. *λιθόσπ.* BCMOUV, et ainsi souvent; *lithospermon* Corn. — 25-26. *ὕαλος... ῥίζαι* om. U. — 26. *ῥίζα* BCMO. — Ib. *τό* ante *κόμμι* om. BCMOUV. — Ib. *ἑφθά*] *ζ'* ABMOVX.

ἕκαστον τὸ μὲν ἑψήσας, τὸ δὲ λειότατον ποιήσας, δίδου πίνειν. Ἔστι δὲ καὶ σύνθετα πλεῖστα λίθων θρυπτικὰ, ὧν τὰ χρησιμώτερα ὑποτάξομεν τῇ θεραπείᾳ τῆς λιθιώσης κύστεως. Τὰ μὲν οὖν διουρητικὰ καὶ τὰ τῶν λίθων θρυπτικὰ τότε διδόναι προσήκει, ὅταν ἔνδοσις τῶν σφοδρῶν ὀδυνῶν γένηται· μετακινουμένου γὰρ τοῦ λίθου καὶ σαλευομένου ἐκ τῆς ἕδρας ἡ λώφησις τῶν ὀδυνῶν γίνεται. Εἰ δὲ ἐστηριγμένοι εἶεν οἱ λίθοι, πεφυλάχθαι τὸ πλεῖον ποτὸν καὶ τὰ οὐρητικὰ, ταῖς πυρίαις δὲ καὶ καταπλάσμασι καὶ ἐγκαθίσμασιν ἀνιέναι τὰ μέρη, καὶ κενοῦν τὴν γαστέρα κλύσμασιν, ὡς μὴ πιέζωνται οἱ οὐρητῆρες. Μετὰ δὲ ταῦτα, πραϋνομένων ποσῶς τῶν ὀδυνῶν καὶ αἱ σικύαι χρησίμως ἐπὶ αὐτῶν παραλαμβάνονται, καὶ μάλιστά γε σφοδραὶ τιθέμεναι, φλεγμονῆς δηλονότι μὴ ὑποκειμένης· μετακινοῦσι γὰρ πολλάκις αἱ σικύαι οὕτως ἀθρόως τοὺς λίθους, ὡς ἀποκοπὴν αἰφνίδιον φέρειν τῶν πόνων, εἰς τὴν τῆς κύστεως εὐρυχωρίαν μετενεχθέντος τοῦ λίθου· διὸ κατὰ ἀρχὰς ἄνωθεν ἀπὸ νεφροῦ ποιητέον τὴν τῶν σικυῶν πρόσθεσιν, καὶ ἐπὶ βουβῶνα μεθελκυστέον αὐτὰς λοξῶς κατὰ τὴν τῶν οὐρητήρων θέσιν. Θερμοτέρου δὲ ὑπάρχοντος τοῦ θεραπευομένου σώματος, καὶ δίψης σφόδρας ἐνοχλούσης, προκεκενωμένου δὲ ἤδη τοῦ παντὸς σώματος διά τε φλεβοτομίας ἢ καθάρσεως καὶ κλυστήρων πρακτικωτάτων καὶ ἀπερίττου γενομένου, εἴ γε ἔθος ἔχοι πρὸς ψυχροποσίαν, σπλάγχνου μηδενὸς ἀσθενοῦς ὑπάρχοντος, δεδώκαμεν πολλάκις ὕδωρ ψυχρὸν ἀθρόως τῷ κάμνοντι πιεῖν, καὶ παραχρῆμα ῥωσθέντων τῶν νεφρῶν, ἐξώθησαν τὸν ἐσφηνωμένον ἐν αὐτοῖς λίθον· ἐπὶ δὲ τῶν πληθωρικῶν καὶ περιττωματικῶν σωμάτων, καὶ ἐπὶ ὧν σπλάγχνον ἀσθενὲς ὑπόκειται, παραφυλάττεσθαι χρὴ τὴν τοῦ ψυχροῦ δόσιν. Πολλάκις δὲ οἱ καταβαίνοντες ἐκ τῶν νεφρῶν εἰς τὴν κύστιν λίθοι [ὡς?] ὑπὸ σφηνὸς ἐνισχόμενοι κατὰ τὸν τράχηλον τῆς κύστεως εἰς ἔσχατον κίνδυνον ἄγουσι τὸν κάμνοντα τῇ τε τῶν πόνων ὀξύτητι, καὶ ὡς μὴ συγχωροῦντες τὸ οὖρον ἐκκρίνεσθαι. Σχηματίζειν μὲν οὖν τοὺς τοιούτους προσήκει κατὰ τὸ ὕπτιον σχῆμα γινομένους, καὶ ὑψηλότερα πολλῷ τὰ πρὸς τὰ ἰσχία ἔχοντας, κἄπειτα διασείειν πολυειδῶς ἐκπεσεῖν τοῦ πόρου τῆς κύστεως τὸν λίθον

2-3. ὧν τὰ..... θρυπτικά om. MV. — 3. τότε δέ V. — 4. ὀδυνῶν om. V. — 4-5. μετακ..... γίνεται om. MV. — 4. μετακινουμένης γὰρ τῆς B. — 5. ἐκ] ἐπί A. — 5-6. Εἰ δὲ ἐστηριγμένος εἴη ὁ λίθος BC (qui a en marge εἰ δὲ ἔτι ἐστηρ.); Οἱ δὲ ἐστηριδσένοι λίθοι U; Εἰ δὲ ἦν ἐστηριγμένοι κ. τ. ἑ. A. — 6. πεφυλ. χρή BC. — Ib. διουρητικά BCO. — 7-8. κλύσμασι καί ἐγκαθίσμασι ὡς μή U. — 8. πιέζοιντο C. — 8-9. ὡς μὴ πιεζόντων ὀδυνῶνται καὶ αἱ σικύαι BMOV. — 9. γε αἱ BCMOU. — 10. δὲ δηλ. BUV. — Ib. δηλοῦσιν ὅτι A. — 11. ἐξαιφνίδιον UV; C a à la marge ἐξ αἰφνιδίου. — 12. μετενεχθέντων τῶν λίθων B. — 15. δίψησφόδρα (sic) A. — Ib. δὲ (τε BC; om. X) ἤδη τοῦ] χρῆται A. — 16. ἤ] καί A. — Ib. καί ante ἀπερ. om. A qui a περίτου. — 17. εἰ δὲ ἔθος A. — Ib. ἔχοιεν τοῦτο ψυχρ. A. — 17-18. μηδ. ἀσθενοῦντος δεδ. AX. — 18. ἀθρόως] τον (sic) A. — 19. τῶν om. A. — Ib. τοὺς ἐσφηνωμένους.... λίθους BCO. — 20. καὶ περιττωματικῶν om. BC. — Ib. καί om. BCO. — 21. δεῖ BCMOU. — Ib. τήν om. A. — Ib. πόσιν BCMOU. — Ib. κατενεχθέντες BCMOU VX. — 22. εἰς τὴν κύστιν ex em.; ἐν τῇ κύστει codd. — Ib. ὑπὸ σφηνός] ὑπὸ μεγέθους BCUVX. — 24. συγχορέη εἰς τό A. — Ib. μὲν οὖν om. U; οὖν om. AX. — 25. κατὰ μὲν τό ABMUX. — Ib. ὕπτιον ὑπογιγν. A. — 25-26. πολλῷ πρὸς τὰ αλα (sic) ἔχοντας. A.

ἐπιτεχνωμένους, μετὰ ὃ δεῖ κελεύειν οὐρεῖν προθύμως καὶ ἀπουρήσαντα μὲν ἐᾷν· μὴ κενούμενον δὲ διασείειν ἔτι τοῦτο πράξαντας πολλάκις· εἰ [δὲ?] μὴ κενωθείη, καθιέναι σύμμετρον καθετῆρα πρὸς τὴν ἡλικίαν τοῦ κάμνοντος, καὶ κομίζειν τὸ ὑγρόν· οὕτω δὲ ἀποῤῥύπτειν μετὰ ταῦτα τὸν λίθον διὰ τῶν πινομένων ἐν τῇ εὐρυχωρίᾳ τῆς κύστεως γινόμενον. Εἰ δὲ ἐκ τῆς κύστεως μὲν ἐκπέσοι ὁ λίθος, κατὰ μέσον δὲ ἐστηρίχθη τὸν πόρον τοῦ αἰδοίου, καὶ τιτρώσκων ἑλκώσεως κίνδυνον ἐπιφέρει, ἀφέψημά τινος τῶν προειρημένων διουρητικῶν πλεῖστον διδόναι, καὶ ἀθροῖσαι κελεύειν πλῆθος οὔρου, κἄπειτα ἐπιτρέπειν οὐρεῖν, καὶ ἐξωθεῖσθαι σπουδαιότερον· οὕτω γὰρ παρασυρεὶς ὁ λίθος ἐκπίπτει ταχέως. Οἶδα δὲ ἐπί τινος, φησὶν ὁ Φιλάγριος, τὰ μὲν ἄλλα διεξελθόντα τὸν λίθον, οὐ πολλῷ δὲ ἐσωτέρω τοῦ ἄκρου τοῦ αἰδοίου ἐμφραγέντα ἰσχυρῶς, καὶ ὀλίγου ἐδέησεν ἀπολέσθαι τὸν ἄνθρωπον διὰ τὴν ἰσχουρίαν καὶ τὴν μεγίστην ὀδύνην· τῇ οὖν στενῇ λαβίδι ἠδυνήθημεν τοῦτον ἐξελκύσαι, μοχλεύοντες ἠρέμα στενῇ μηλωτρίδι. Εἰ δὲ μὴ οὕτως ἐξέλκειν ἠδυνήθημεν, τέμνειν διελογιζόμεθα, τὴν τομὴν ἐμβάλλοντες κατὰ τὸ μῆκος τῆς βαλάνου ἄνωθεν· κάτωθεν γὰρ οὐ χρὴ τέμνειν, ἐπειδὴ ὡς ἐπίπαν συριγγοῦται καὶ ὕστερον διὰ τῆς διαιρέσεως τὸ οὖρον ἐκκρίνεται. Ὅταν δ' οὐρηθῇ ὁ λίθος, γάλα ὄνειον κεραννύοντας μέλιτι ὀλίγῳ διδόναι, καὶ τὰ ἄλλα χρηστότερον τοῦτον διαιτᾷν ὡς τὰ ἕλκη, διὰ τὸν ἐκ τοῦ λίθου γινόμενον σκυλμὸν ἐν τοῖς τόποις· μετὰ δὲ τοῦτο προφυλάττειν τὸν ἄνθρωπον, ὅπως μὴ πάλιν οἱ νεφροὶ λιθιῶσιν.

ϛ' (γ'). *Δίαιτα προφυλάττουσα μὴ παλιγγενεσίαν τῶν λίθων γενέσθαι.*

Μέγιστον δέ ἐστιν ἐν τῇ προφυλακῇ μετριότης σιτίου καὶ πέψεις χρησταί· αἱ γὰρ πλησμοναὶ καὶ ἀπεψίαι οὐ μόνον παροξύνουσι τὴν νόσον, ἀλλὰ καὶ τὴν μὴ οὖσαν γεννῶσιν· διὸ δὴ προσενέγκομεν ἐμεῖν ἀπὸ δείπνου πολλάκις, καὶ τοῦ ἀψινθίου πίνειν συνεχῶς, καὶ διά τινος χρόνου καθαίρεσθαι διὰ κοιλίας καταλλήλῳ τῇ κράσει τοῦ κάμνοντος καθαρτηρίῳ· σιτία δε αἱρεῖσθαι, ἀπὸ ὧν οὔτε πλησμοναὶ, οὔτε ἀπεψίαι

1. *κατὰ ὃ δὴ κελ.* U. — Ib. *προθ. καὶ ἀπουρ.* ex em.; *προθ. καὶ οὐρήσαντα* (*-ας* BC) BCUVX; *προθ. ἅπαντα* A; *ejecto lotio* Corn. — 1-2. *κενοῦντας* B; *κενώσαντας* C. — 2. *διασ. ἐπὶ τ.* A; *διασ. αὖθις καὶ τ.* BCMOUVX. — Ib. *κενωθη* (sic) A. — 3. *ἡλικίαν* om. A. — Ib. *οὕτως* BMO. — 4. *δέ* om. A. — Ib. *διαθρύπτειν* BCUVX. — Ib. *πινομένων*] *μένων* (sic) A. — 8. *οὐρεῖν* om. U. — 12. *τῇ στενῇ μηλ.* BCMOUVX. — Ib. *ἐξελκύσαι* BCMOUVX. — 13. *διελογησάμεθα* BU. — 14. *μῆκος*] *μέγεθος* BUV; om. A qui a *τόν* au lieu de *τό*. — Ib. *δεῖ* BCMOU. — 15. *καὶ ὕστερον*] *πρότερον* A. — 16. *ὄνειον κελιτι* (sic) A. — 17. *χρηστά* A. — Ib. *τοῦτον* om. BCMOUX. — Ib. *ἐκ τῶν λίθων* BCO; — Ib. *λίθου ἐλευθερούμενον τοῖς τόποις σκ.* A. — Ib. *ἐγγιν.* (om. *ἐν*) X. — 18. *ταῦτα* BCMO; *τοῦτον* AX. — Ib. *πάλιν* om. A. — 19. Après *λιθιῶσιν* vient dans AU Corn.: *Ἀρχιγένους σμῆγμα πρὸς τοὺς κύστιν καὶ νεφροὺς πεπονθότας ὡς ψάμμον οὐρεῖν, ᾧ ἐν τοῖς λουτροῖς ἱδρῶντι χρήσῃ κ. τ. λ.* Dans C, cette recette vient après le chap. 6; dans B, vers la fin de ce chap. — Ch. 6, l. 20. *προφυλάττουσα της σιτίου* (sic) A; *προφυλακτικῇ μ. σιτίου* UV; *προφυλάττουσα μ. σ.* B. — 21. *πλησμ.*] *πλεῖσται* A. — Ib. *νόσον*] *ὕλην* A. — 22. *διὸ δεῖ* (*δή* V) *παραινεῖν* (*-νῶ* X) *ἐμεῖν* BCMOUVX. — 23. *καταλλήλων* MU.

ἔσονται, καὶ τοῖς διουρητικοῖς δὲ κεχρῆσθαι, ἐπὶ ἡμέρᾳ μὲν ἐσθίοντας σΊαφυλῖνον πάνυ κάθεφθον καὶ μάραθρον, σίον, σκόλυμον, γλήχωνα, καλαμίνθην καὶ τῶν θαλασσίων ἐχίνους τε προσφάτους, καὶ σΊρόμβους, καὶ καράβους, καὶ ἀσΊάκους, καὶ τοὺς ποταμίους καρκίνους. Ταῦτα μὲν ἐπὶ ἡμέρᾳ, διὰ δὲ πλειόνων ἡμερῶν ἠρυγγίου ῥίζης ἀφέψημα πίνειν καὶ χαμαιπίτυος, καὶ δικτάμνου, καὶ τριβόλου ῥίζης, καὶ τὰ λοιπὰ τὰ ἤδη προῤῥηθέντα, καὶ τὰ ῥηθησόμενα θρυπΊικὰ τῶν λίθων φάρμακα. Χρὴ δὲ καὶ τὸ ὕδωρ παρὰ πᾶσαν τὴν δίαιταν καθαρώτατον εἶναι καὶ διηθημένον, καὶ [ὁ?] οἶνος λεπΊὸς καὶ λευκὸς οὐρητικὸς, γυμνασίοις τε συμμέτροις κεχρῆσθαι καὶ ἀνατρίμμασιν ἐν τοῖς λουτροῖς νίτρῳ ὀπΊῷ καὶ τρυγὶ κεκαυμένῃ, καὶ κισσήρει. Καὶ ψιλώθρῳ δὲ συνεχῶς κεχρῆσθαι, καὶ τῇ λοιπῇ δὲ προφυλακτικῇ διαίτῃ τῇ μελλούσῃ ῥηθήσεσθαι ἐν τῷ Περὶ τῆς λιθιώσης κύσΊεως χωρίῳ.

η'. Δίαιτα ἐπὶ ὧν λιθιῶσι μὲν οἱ νεφροὶ, ἡ δὲ τοῦ παντὸς σώματος ἕξις ἰσχνή. Ἐκ τῶν Φιλαγρίου.

Μοχθηρὰ δὲ κατασκευὴ σώματος, κατὰ ἣν οἱ μὲν νεφροὶ λίθους γεννῶσιν, ἡ δὲ τοῦ παντὸς σώματος φύσις ἰσχνὴ τετύχηκεν οὖσα· χρήζουσι μὲν γὰρ οἱ λιθιῶντες φαρμάκων καὶ διαιτημάτων λεπΊυνόντων· ἐναντιώτατα δέ ἐσΊι ταῦτα τοῖς ἰσχνοῖς σώμασιν· οἶδα γάρ τινα τῶν χρωμένων τῇ τοιαύτῃ διαίτῃ διὰ τὸ λιθιᾶν τοὺς νεφροὺς, δυσκινήτων τε καὶ δυσαισθήτων καὶ ὥσπερ ψοφούντων καὶ καπυρῶν αἰσθανόμενον τῶν ἑαυτοῦ δακτύλων. Οἱ δὲ συνήθεις αὐτοῦ ἰατροὶ κατεψύχθαι τοὺς δακτύλους αὐτοῦ νομίζοντες καὶ παράλυσιν μελετᾶν, τοῖς διὰ εὐφορβίου καὶ ἀδάρκης ἐχρῶντο φαρμάκοις· ἡ δὲ διάθεσις πολὺ χείρων ἐγίνετο, καὶ προσανέβαινεν ἀεὶ τὰ συμπΊώματα τοῖς ἀνωτέρω μέρεσι μετὰ καὶ τοῦ σφοδρᾶς ὀδύνας ἐπιφέρειν. ὝσΊερον δὲ συντυχών μοι ὁ κάμνων, φησὶν ὁ Φιλάγριος, καὶ δηλώσας τὰ συμβάντα παρεκάλει βοηθεῖν. Δίαιταν τοίνυν αὐτῷ εὗρον κατὰ ἣν ἄνευ τοῦ βλάπΊεσθαι τοὺς νεφροὺς ἰασάμην τὴν ξηρότητα τοῦ παντὸς σώματος. ΠτισάνηϚ οὖν χυλὸν ἐπενόησα καὶ τῶν ἰχθύων τοὺς πετραίους τε καὶ πελαγίους, ὅσα τε ἄλλα μηδὲν ἔχουσι γλίσχρον, οὕτω δὲ καὶ τῶν πΊηνῶν ζῴων ὅσα παραπλησίαν ἔχει τὴν σάρκα, οἷά ἐσΊι τὰ τῶν ὀρείων περδίκων καὶ ἀτΊαγήνων, ψαρῶν τε καὶ κιχλῶν, καὶ κοσσύφων, ἐφεξῆς δὲ τῶν ἐν

1. δέ om. BCMOU. — Ib. χρῆσθαι AX. — Ib. ἐπὶ ἡμέρᾳ ex. em.; ἐφημέρα A; ἐπι ἡμέραν cet. codd. — Ib. ἐσθίοντα U. — 2. κάθεφθον] δίσεφθον AX; λάπαθον V. — Ib. σίον om. V. — 3. καί avant καράβους om. U; it. l. 5, avant χαμ., δικτ., τριβ. — 4. ἐπὶ ἡμέραν A. — Ib. διὰ δεαληονων (sic) A. — 5. τά après λοιπά om. B. — 6. τά om. AMUX. — 9. τρυγὶ οἴνου κεκ. καὶ κ. BCM; τρυγὶ οἴνῳ καὶ κισσ. O (qui omet καί) V. — Ib. Après κισσήρει BMO ont la recette donnée plus haut par d'autres manuscrits sous le nom d'Archigène. Voy. p. 94, variante de la ligne 19. — 11. χωρίῳ] Ici, dans ABCUV, une série de recettes diversement divisées suivant les mss. et qui constituent le chapitre 7 dans la traduct. de Corn. Voy. aussi p. 96, var. de la l. 17. — Ch. 8, l. 12. ἥν] ἐσΊί A. — 17. κατεψυχθε (sic) A; καταψύχεσθαι BCUV. — 18. τοῖς om. A qui a φάρμακον l. 19. — 20. ἀνωτε (sic) A. — Ib. καί] τό A; om. UX. — Ib. ἐπιφέρον A. — 21. συμβαίνοντα ABUVX. — 22. ηὗρεθειν ανευ (sic) A. — 22-23. ἰάσατο UV; ἴσΊο (sic) A. — 23. τε οὖν X. — 24. τούς om. A. — 25. ἐσΊι] ἐπί A. — 26. καὶ αὐταταγίνων καὶ τῶν κιχλῶν A; ἀτΊ. καὶ ψαρῶν κιχλ. UX.

τοῖς πύργοις περισlερῶν καὶ τῶν πυργιτῶν σlρουθῶν, εἶτα καὶ τῶν ἐν τόποις ὑψηλοτέροις τρεφομένων ἀλεκτορίδων· γάλακτος δὲ τοῦ μὲν τῶν ἄλλων ζῴων ἀπέχεσθαι παρεκελευσάμην, μόνῳ δὲ χρῆσθαι τῷ τῶν ὄνων, καὶ συντόμως εἰπεῖν, μέσα τῶν παχυνόντων καὶ λεπlυνόντων ἐν τῇ διαίτῃ εἶναι χρὴ τὰ τούτοις διδόμενα τροφῆς λόγῳ.

θʹ (ιϐʹ). Περὶ λιθιώσης κύσlεως.

Γεννῶνται λίθοι καὶ ἐν τῇ κύσlει τοῖς παιδίοις συνέχεσlατα μᾶλλον ἤπερ τοῖς τελείοις· ἀδδηφάγα γὰρ τὰ παιδία καὶ ἀεικίνητα, καὶ τροφαῖς ταῖς τυχούσαις καὶ βλαϐεραῖς κεχρημένα, καὶ μήτε ὥραν φυλάτlοντα τῆς τροφῆς τεταγμένην, ἀλλὰ καὶ πρὶν τὴν πρώτην ληφθεῖσαν πεφθῆναι ἑτέραν προσφέρονται· κινουμένων δὲ αὐτῶν σφοδρότερον μετὰ τροφὴν, ὠμὴ καὶ ἄπεπlος εἰς τὰς φλέϐας ἀναδίδοται ἡ τροφή· μαλακὰ γάρ ἐσlιν αὐτῶν τὰ σώματα καὶ εὔεικτα, καὶ τούτου χάριν οὐχ ὑπομένει τὴν ἔμφραξιν κατὰ τοὺς νεφρούς· παχυτάτων δὲ τῶν οὔρων φερομένων, ἐν τῇ τῆς κύσlεως εὐρυχωρίᾳ ὑφίσlαται ἐνταῦθα ὥσπερ ἡ τοῦ οἴνου τρὺξ καὶ ἡ τοῦ ὕδατος ἰλύς· εἶτα ὑπὸ τῆς ἐγχωρίου θερμότητος ξηρανθεῖσα πῶρος γίνεται. Καὶ τὰ ἀκάθαρτα δὲ τῶν ὑδάτων καὶ ἰλὺν πλείσlην ἔχοντα, καὶ τὰ σκληρότερα καὶ σφόδρα ψυχρὰ συνεργεῖ τῇ τῶν λίθων γενέσει. Τοὺς μὲν οὖν ἐν τῇ κύσlει γενομένους λίθους κατὰ ἀρχὰς πειρᾶσθαι ὑπεξάγειν φαρμάκοις τοῖς ὑποκειμένοις.

ιδʹ (cf. ιγʹ). Ἐπιμέλεια ἐπὶ τῶν μὴ δυναμένων θρυϐῆναι μήτε ἐξουρηθῆναι λίθων.

Μὴ δυναμένων δὲ ἐξουρηθῆναι τῶν ἐν κύσlει λίθων, ἀλλὰ ἐμφρατlομένων τῷ πόρῳ καὶ ἰσχουρίας αἰτιῶν γινομένων, σχηματίζειν χρὴ τὸν πεπονθότα ὕπlιον ὡς προείρηται, ἀνάῤῥοπα ποιοῦντα τὰ πρὸς τὰ ἰσχία μέρη, κἄπειτα διασείειν πολυειδῶς ἔνθα καὶ ἔνθα, ὡς ἐκπεσεῖν τοῦ πόρου τὸν λίθον, ἔπειτα κελεύειν οὐρεῖν ὕπlιον ὄντα καὶ ἔτι ἀνάῤῥοπον κατακείμενον. Εἰ δὲ μηδὲ οὕτως οὐρεῖν δυνηθείη, διὰ καθετῆρος κομίζειν τὸ οὖρον. Περιξεομένης δὲ ἐνίοτε τῆς κύσlεως, τραχέος ὄντος τοῦ λίθου, καὶ ὕφαιμα οὐροῦσιν, ἔσlι δὲ ὅτε καὶ πυώδη, καὶ ὑπόμυξα, καὶ ὀδυνῶνται οὗτοι πλέον τῶν ἄλλων, καὶ οὐροῦντες, καὶ μὴ οὐροῦντες. Τούτους δὲ ποτίζειν χρὴ ἅ τινα καὶ λίθους θρύπlειν ἐπαγγέλλεται φάρμακα καὶ τὰ ἕλκη ἰᾶσθαι. Ὅσοις δὲ τὰ μὲν ἕλκη οὔπω γέγονεν, οἱ δὲ λίθοι ἐν τῇ κύσlει περιέχονται, διαφανῆ καὶ λεπlὰ καὶ ὑδατώδη οὐροῦσιν, καὶ ψαμμώδεις ὑποσlάσεις ἴσχει τὰ οὖρα, καὶ ὀδυνῶνται ἐν ταῖς

1. πύργοις om. A. — Ch. 9, l. 9. ταισlυφούσαις (sic) A. — 8. τρ. κεκτημένην U. — 11. γάρ εἰσι αὐτῶν τά C; γάρ αὐτῶν εἰσι τά B; τέ ἐσlιν αὐτῶν τά A; δὲ αὐτῶν τά UVX. — 12-13. ἐν τῇ κύσlει A. — 14. εἶτα....... γίνεται om. BOV. — Ib. δέ] γάρ B. — 15. σφοδρότερα B. — 16. γεννωμένους BC. — 17. ὑποκειμένοις] Ici les manuscrits ont une série de recettes qui forment les chapitres 10-13 de la traduction de Cornarius. Les variantes sont très-nombreuses. B a une lacune. — Ch. 14, l. 18. οὐρηθῆναι AVX. — Ib. τῇ κύσlει CV. — 18-19. τῶν πώρων BCOV. — 20. τά avant ἰσχία om. U. — 21. ἔνθεν bis BCV; καὶ ἔνθα om. AX. — 22. κείμενον BCOU. — 25. πλείω BCUV. — 26. θρ. καὶ ἐπαγγ. CU. — 28. οὗτοι οὐροῦσιν BCO; dans B οὗτοι est ajouté par la seconde main.

ἀπουρήσεσιν. Μὴ δυναμένων δὲ θρυϐῆναι τῶν ἐν τῇ κύστει λίθων ὑπὸ τῶν προσαγομένων φαρμάκων, τέμνειν δεῖ κάτωθεν, καὶ ὑπεξαίρειν τὸν λίθον κατὰ τὸ εἰωθὸς, καὶ τὴν τομὴν ὅτι σπουδαιότατα εἰς συσσάρκωσιν καὶ ἀπούλωσιν ἄγειν πρὸς τὸ μὴ ῥυάδα ἐπιγενέσθαι.

ιε' (cf. ιγ'). Δίαιτα μετὰ τὴν τῶν λίθων κομιδὴν προφυλακτικὴ παλιγγενεσίας, καὶ διάγνωσις τοῦ παρενοχλοῦντος χυμοῦ ἐκ τῆς τῶν λίθων χρόας.

Μετὰ δὲ τὴν τοῦ λίθου κομιδὴν καὶ τὴν τοῦ ἕλκους ἀπούλωσιν, φροντιστέον τῆς διαίτης, ὅπως μὴ παλιγγενεσία παρακολουθήσῃ· τεκμαίρεσθαι δὲ σὺν τοῖς ἄλλοις ἅπασι καὶ ἐκ τῆς χρόας τοῦ ἐκκρινομένου λίθου τὴν πλεονάζουσαν ἐν τῷ σώματι ὕλην ἐξ ἧς οἱ λίθοι συνίστανται· οἳ μὲν γὰρ ὑπόλευκοι φαίνονται φλεγματικώτερον μᾶλλον ἐμφαίνουσι τὸν χυμὸν, οἳ δὲ ὠχροί εἰσι καὶ δηλοῦσι χολὴν πλεονεκτεῖν· οἳ δὲ ὀστρακώδεις ὑπεροπτωμένην ὑπὸ πλειόνος θερμότητος χολὴν· οἳ δὲ μέλανες ἐμφαίνουσι τὸν μελαγχολικὸν ἐπικρατεῖν χυμόν. Πάντες μὲν οὖν οἱ ὁπωσοῦν λιθιῶντες ἀπὸ δείπνου συνεχῶς ἐμείτωσαν· καὶ μηδὲν πυρῶδες προσφερέσθωσαν ὃ μέλλει τοὺς νεφροὺς ἢ τὴν κύστιν θερμαίνειν. Φυλάττεσθαι δὲ προσήκει τά τε σκληρὰ ταῖς οὐσίαις καὶ δυσδιαίρετα τῶν βρωμάτων, τά τε πολυούσια καὶ πολύτροφα καὶ τὰ ἀθρόως ἀναδιδόμενα πρὸ τῆς τελείας πέψεως, καὶ τὰ βαρέα ταῖς ποιότησι καὶ τὰ δυσαλλοίωτα, τά τε ἐπιπολάζοντα καὶ δυσκόλως ὑποχωροῦντα καὶ τὰ ἐμπνευματοῦντα, καὶ τὰ παρεμπλαστικὰ, ἢ ἄλλως ἐγκαθήμενα τοῖς σώμασιν ἐπιμόνως· πονήσασα γὰρ ἡ γαστὴρ ἐπὶ τῶν τοιούτων σιτίων, μεταδίδωσιν αὐτὰ ἄπεπτα ἢ ἡμίπεπτα ἥπατι καὶ νεφροῖς. Καὶ τὸ ἀθρόως δὲ ἄπεπτον ἀνενεχθὲν ἀφυῶς ἐξυλίζεται, καὶ σὺν θορύϐῳ διελθὸν εἰς τοὺς νεφροὺς, εὐθὺς ὑφίσταται· διὸ καὶ γάλα πᾶν ἄθετον τούτοις χωρὶς τοῦ ὀνείου· τοῦτο γὰρ, φησὶν Ἀρχιγένης, καὶ τῇ οὐσίᾳ λεπτότατον καὶ τῇ δυνάμει διαλυτικώτατον. Θαυμαστῶς οὖν ἐξαλείφει τῶν ἄρθρων τὰς κονδυλώσεις, ἃς κατά τινα ἐπιπώρωσιν ἐκ μοχθηρᾶς γαλουχίας ὑπομένει τὰ νήπια, καὶ παραινῶ ὅσον κοτύλην αὐτοῦ διδόναι συνεχῶς τοῖς λιθιῶσι προφυλακῆς χάριν μετὰ τοὺς ἑωθινοὺς περιπάτους, καὶ τάχα ἀντὶ παντὸς γένοιτο. Πόμα μὲν ὕδωρ ἔστω θερμὸν πηγαῖον καθαρὸν, διύλιστον, κοῦφον· οἶνος δὲ λεπτὸς οὐρητικὸς, μὴ ἄγαν παλαιός· οἱ δὲ

2. ὑπεξάγειν, à la marge ὑπεξαίρειν C. — Ib. τοὺς λίθους BCO. — Ib. ἔθος ABUVX. — 3. ὅτι om. B. — Ib. ἐπούλωσιν C; it. l. 5. — 4. ἐπιγίγνεσθαι BUV. — Ch. 15, l. 5. τῶν λίθων BC. — 6. δὲ καὶ ἐν τοῖς BUV. On a oublié de noter à Vienne les variantes de V pour le reste du chap. 15. — 8. εἰ; it. l. 9 et 10. — 9. ἐμφαίνοντες AU. — Ib. οἳ... οἳ] εἰ... εἰ BC. — Ib. καί om. BCUX. — Ib. πλεονεκτικεῖν U. — 10. ὑπεροπτωμένης..... χολῆς codd. — Ib. θ. δηλοῦσι (δηλονότι U) εἶναι χολῆς BCU. — Ib. εἰ δέ BC. — 10-11. ἐμφαίνοντες U; ἐμφαίνονταις A; ἐμφαίνονται BCX. — 11. ὅπως, pour ὁπωσοῦν A. — 15. πέψεως τά τε βαρέα BC; — 16. καὶ ἐμπ. BC. — 17. παραπλ. ABX. — 18. ἀπεπταημίπεπτα (sic) A; ἢ om. X. — 19. σύνθρομϐον (sic) BC. — 20. ἀφίστανται C (ὑφίστ. en interl.) U; ἐφίστ. B (ἀφ. en interl.) — Ib. αὐτοῖς BC. — 21. οἴνου AX. — Ib. ὁ Ἀρχ. U. — 24. αὐτοῖς BCU. — 25. ἂν γένοιτο BCUX. — Ib. Πόμα δὲ ὕδ. μέν BC. — 26. καθαρόν] καρόν A. — Ib. διυλιστικόν CU. — Ib. λεπτός om. B. — Ib. ἄγαν] πάνυ BCU.

γλυκεῖς τῶν οἴνων ἄθετοι τοῖς λιθιῶσιν. Συντόμως δὲ εἰπεῖν, πᾶσα ἡ δίαιτα ἐπὶ μὲν τῶν ψυχροτέρων τὴν κρᾶσιν, ἀκριβῶς λεπΊύνουσα ἔσΊω· ἐπὶ δὲ τῶν θερμοτέρων, μέση τῶν λεπΊυνόντων καὶ παχυνόντων· τὸ δὲ κατακορὲς τῶν ἄλλων ἁπάντων παραφυλάτΊεσθαι χρὴ, καὶ μάλισΊα τῶν γλυκέων καὶ τυρωδῶν τροφῶν· ὅθεν καὶ ἀπεψίαν πολεμιώτατον νομισΊέον, καὶ εἴ ποτε περιπέσοι τῇ ἀπεψίᾳ, ἐν ἀσιτίᾳ μενέτω. Φυλακτέον ψύξεις μὲν ἐγκαύσεως μᾶλλον· ἐν εὐκράτοις δὲ αἱ διατριβαὶ ἔσΊωσαν, καὶ σχολαῖοι περίπατοι καὶ σύμμετρα γυμνάσια· ἡ γὰρ ἀργία βλαβερά. Τὴν δὲ γασΊέρα εὔλυτον ἀεὶ ἔχειν δεῖ· ταύτης γὰρ καλῶς ὑπιούσης καθαρώτεραι καὶ αἱ οὐρήσεις γίνοιντο ἄν. Ἀλείμμασι δὲ κεχρῆσθαι τοῖς δυσπάθειαν τοῖς τόποις περιποιεῖν δυναμένοις, καὶ τὰ φοινίσσοντα καὶ ψυδρακοῦντα τῶν ἐπιθεμάτων καὶ δρώπακας καὶ σιναπισμοὺς παραλαμβάνειν. Μάλαγμα δὲ τοῦτο ἐξειλέχθω· οὐκ ἂν γὰρ εὕροις καταλληλότερον αὐτοῦ φησιν Ἀρχιγένης ταῖς τοιαύταις διαθέσεσιν. Πίσσης ὑγρᾶς κοτύλας β', κηροῦ, πιτυΐνης, θείου ἀπύρου, νίτρου, ἀνὰ ℔ α', σΊαφίδος ἀγρίας οὐγγ. η', χαλβάνης οὐγγ. ϛ'. Τοῖς τηκτοῖς διαλυθεῖσιν ἔμπασσε τὰ ξηρὰ λεῖα, καὶ ἑνώσας ἰσχυρῶς ἐπιτίθει. Μύξαν ἄγει πολλὴν ἰονθώδης ὁ τραχυσμὸς γινόμενος, καὶ ὀδαξησμὸν οὐ πονηρὸν ἐμποιεῖ, ὥσΊε καὶ ἡδονὴν ἐμποιεῖν ψυχόμενον διὰ τῆς ἀλείψεως. Εἰ δέ ποτε ἐνόχλησις ἐξ αὐτοῦ γένοιτο, ψιλῇ πραϋντέον κηρωτῇ πρὸς μίαν ἡμέραν· καὶ πάλιν αὐτὸ ἐπιθετέον. Ἁρμοδιώτατον δὲ καὶ τοῖς νεφροῖς ἐπιτιθέμενον κατὰ τῶν κενεώνων. Καὶ οἱ σιναπισμοὶ ἐπιτήδειοι τοῖς λιθιῶσι, καὶ ἡ τῶν αὐτοφυῶν ὑδάτων χρῆσις· καὶ λουέσθωσαν μὲν ὀλιγάκις, χριέσθωσαν δὲ πυκνά. Πεφροντισμένως δὲ ἔχειν τοῦ κατὰ καιρὸν ἐπιτήδειον φλέβα τέμνειν, εἰ πλεονάζειν τὸ αἷμα δοκοῖ· καθάρσεσί τε προνοεῖν τῶν κακοχυμίαν ἀθροιζόντων ταῖς ἐπιτηδείοις. Πινέτωσαν δὲ ἐκ διαλειμμάτων καὶ τὰ διουρητικὰ ἁπλᾶ τε καὶ σύνθετα τὰ προγεγραμμένα· ἐπὶ γὰρ τοῖς τοιούτοις ἅπασι τὸ καταλιμπανόμενον βραχὺ ῥᾳδίως πρὸς τὴν ὀφειλομένην ἀλλοίωσιν ἔρχεται. Φασὶ δέ τινες γῆν ἀπὸ πλίνθου παλαιᾶς λειωθεῖσαν μετὰ γῆς ἐντέρων καὶ ἐπιχριομένην παχυτέραν τῷ ἤτρῳ οὐρεῖσθαι τὸν ἐν τῇ κύσΊει ἢ νεφροῖς λίθον παρασκευάζειν.

ιϛ' (α'). Περὶ φλεγμονῆς νεφρῶν. Ἐκ τῶν Ῥούφου.

Φλεγμαίνουσιν οἱ νεφροὶ διὰ πολλὰς αἰτίας· καὶ γὰρ διαφθοραὶ τῶν χυμῶν, καὶ

3. *μέση* ex. em.; *ἡ μ.* codd. — 6. *Φ. δὲ ψύξεις μέν* BC; *Φ. ψ. μέν* U; *Φ. ψύξις μέν* AX. — Ib. *εὐκρ. δὲ τόποις αἱ* BC. — 6-7. Entre *ἔσΊωσαν* et *καὶ σχολ.* BCUX ont : *ἐν οἷς αἰῶραι ἄβρασΊοι* (*ἀκρ.* U) *παραλαμβανέσθωσαν.* — 8. *καί* om. U. — 11. *Μαλάγματα* A. — Ib. *ἐκλεγέσθω* BCU. — Ib. *εὕρῃς* BC. — 12. *καταλληλότατον* ACX; *κατάλληλον* B. — 12. *διαθ. ὃ καὶ ἔχει οὕτως. Πίσσης* BC. — 13. *κηροῦ ℔ α' πιτυΐνης ℔ α'* A qui omet *θείου... ἀνὰ ℔ α'.* — Ib. *πιτυΐνου* BCU. — 14. *ϛ' ἐν ἄλλῳ ζ'* C; *ϛ'* AU; *ζ'* B. — Ib. *ἐπίπασσε* BCUV. — 15. *ἑνωθέντα ἰσχ. ἐπιτίθει* B; *ἑνωθέντα ἰσχ. ἐπιτίθεται* AUVX. — 16. *ποιεῖ* U. — 17. *ἀναλήψεως* B. — Ib. *πραϋντέον σὺν τῇ* B. — 18. *αὐτά* BU. — 19. *σιναπ. δέ* BC. — Ib. *τῶν* om. U. — 21. *τέμνειν ἐπιπλεονάζοιν* A; *τ. εἰ ἐπιπλεονάζειν* UX. — 22. *δέ* A. — 25. *ὅτι γῆν* BU; *ὅτι γῇ* et les mots corresp. au nom. C; *τήν* A. — Ib. *πλ. παλαίου παλαιᾶς* A. — 27. *τῇ* om. BC. — Ch. 16, l. 28. *διαφοραί* AB (où la 2[e] m. a écrit *διαφθ.*) U.

πληγαὶ, καὶ θλάσεις, καὶ Φαρμακοποσίαι γεννῶσι τὴν Φλεγμονὴν, καὶ μάλιστα ἱππασίαι συνεχεῖς καὶ σφοδραί. Παρακολουθεῖ δὲ αὐτοῖς ἄλγημα σφυγματῶδες ὄπισθεν κατὰ τὸν πρῶτον τοῦ μεταφρένου σπόνδυλον ἀνωτέρω μικρῷ τῶν νόθων πλευρῶν· διατείνει δὲ ἡ ὀδύνη ἄνω μὲν μέχρι τοῦ ἥπατος, καὶ μάλιστα τοῦ δεξιοῦ νεφροῦ πάσχοντος, κάτω δὲ μέχρι κύστεως, καὶ αἰδοίου, καὶ ὀσφύος, ἰσχίου τε καὶ ἥτρου, καὶ μηροῦ, νάρκη τε παρακολουθεῖ τοῦ καταλλήλου σκέλους, καὶ οὔτε ὀρθοῦσθαι δύνανται, οὔτε βαδίζειν· καὶ ἥν τε πταρμὸς, ἥν τε ἄλλος τις σεισμὸς ἐμπέσῃ, σφόδρα ὀδυνῶνται· ψύχεται δὲ αὐτοῖς ἄκρα, καὶ μᾶλλον κνῆμαι, καὶ πόδες, καὶ δυσουρία σύνεστιν, οὐρεῖ τε συνεχῶς καὶ ἐπιπόνως, καὶ κατὰ ἀρχὰς μὲν λεπτὰ καὶ ὑδατώδη ὑπόστασιν μὴ ἔχοντα· προϊούσης δὲ ἐπὶ τὸ χεῖρον τῆς Φλεγμονῆς, ἐρυθρότερα οὐρεῖται, εἶτα καὶ παχέα καὶ μυξώδη· καὶ πυρετοὶ σφοδροὶ ἐπιγίνονται. Ἐπιτεινομένης δέ τι τῆς Φλεγμονῆς, ταῦτα πάντα σφοδρύνεται· πρὸς τούτοις δὲ καὶ ναυτιῶσι, καὶ δάκνονται τὸν στόμαχον, καὶ χολημετοῦσιν· ἔνιοι δὲ αὐτῶν καὶ μέχρι λιποθυμίας θλίβονται, καὶ ἐφιδροῦσιν· ἐπέχεται δὲ αὐτοῖς καὶ ἡ κοιλία ὥστε ἐμπνευματοῦσθαι, καὶ συνεχῶς ἐρεύγεσθαι· ἀνορεξία τε ἰσχυρὰ παρακολουθεῖ· καί τισι μὲν διηνεκεῖς εἰσιν οἱ παροξυσμοὶ, τισὶ δὲ καὶ ἐκ διαλειμμάτων· ὡς ἐπίπαν δὲ προηγεῖται τῶν ἀλγημάτων ἔκδοσις κοιλίας, ἢ οὔρου ἱκανὴ ἔκκρισις. Οἶδα δὲ ἐγώ τινα μετὰ σφοδρὰν περιωδυνίαν λιποθυμήσαντα καὶ ἱδρώσαντα ἐπιπολὺ, ἀπολυθέντα δὲ μετὰ τὸ ἀναστῆναι ἁπάντων τῶν δυσχερῶν.— Θεραπεύειν μὲν οὖν χρὴ τοὺς Φλεγμαίνοντας νεφροὺς τὸν τρόπον τοῦτον· κατακλίνειν χρὴ τὸν πάσχοντα ἐπὶ στρωμνῆς μαλακωτάτης, καὶ σιτίου τὴν πρώτην ἀπέχειν, οὐ μὴν εἰς πολλὰς ἡμέρας ἐκτείνειν τὴν ἀσιτίαν· ἄκρατα γὰρ καὶ δριμύτερα γενόμενα τὰ οὖρα ἐν ταῖς ἀσιτίαις δήξεις σφοδροτάτας ἐπιφέρει. Διαιτᾷν μὲν οὖν κατὰ ἀρχὰς λεπτοῖς ῥοφήμασιν ἀδήκτοις, καὶ ποτῷ, ὕδατι θερμῷ· μελίκρατον δὲ κατὰ ἀρχὰς οὐκ ἐπαινῶ πρὶν πεφθῆναι τὰς Φλεγμονάς. Μήτε μὴν διουρητικοῖς χρῆσθαι· βλάψει γὰρ τοὺς δακνώδεις χυμοὺς ἐπάγοντα τοῖς Φλεγμαίνουσιν μορίοις· μηδὲ μὴν καθαρτήριον διδόναι καθώς τινες εἰώθασι, κλυστῆρι δὲ χρῆσθαι ἀφεψήματι μαλάχης, ἢ λινοσπέρμου, ἢ τήλεως, ἢ χυλῷ πτισάνης μετὰ ἐλαίου, ἢ μέλιτος· πλῆθος δὲ ἐνιέναι μὴ πολὺ ὡς μὴ πιέζειν τοὺς νεφροὺς πληρούμενα τὰ ἔντερα· ἐκκριθέντων δὲ τῶν σκυβάλων καὶ κενωθέντος τοῦ ἐντέρου, ἐνιέναι ἔλαιον ἀνή-

2. συνεχῶς A. — 4. ἄνωθεν μέχρι BUV. — 5. κάτωθεν δέ U. — Ib. τῆς κ. BCUV.— 6. νάρκα AX. — 7. τις om. AX. — Ib. ἐμπέσοι U. — 9. σύν. καὶ οὐρ. συνεχῶς C; σύν. οὐρ. συνεχῶς A; ib. οὐρεῖ ex. em.; οὐρεῖται codd. — Ib. καί avant κατά om. C. — 11-12. σφοδροὶ ἐπιτινομενησται (sic) ἔτι τῆς A. — 11. ἐπιγ. om. UVX. — 12. τέ τι X. — 13. χολὴν ἐμοῦσιν ABCX. — 15. καί avant συνεχ. om. V. — 16. καί om. U. — 18-19. δὲ τὸ μετὰ τὸ διανάστασιν A. — 19. πάντων BCUV. — Ib. μέν] δέ U. — 20. χρή] τε U. — 20-21. καὶ ἐκ τοῦ σιτίου ABC. — 21. ἐπέχειν BCUV. — Ib. ἐκτείνειν] ἐπέχειν B. — 23. οὖν χρὴ κατὰ ἀρχάς BCU. — 24. κατὰ ἀρχὰς διδόναι οὐκ BC. — 25. γὰρ ταῦτα τοὺς δ. BC; γὰρ δ. U. — 26. εἰώθασιν ποιεῖν BC. — 27. λινοσπέρματος BCU, et ainsi assez souvent. — 27-28. λιν. ἢ τήλεως μετὰ ἐλαίου καὶ μέλιτος· πλ. A; λ. καὶ τ. μετὰ ἐλαίου καὶ (δὲ V) μέλιτος μόνον, ἢ χυλὸν πτισάνης μετὰ ἐλαίου καὶ μέλιτος· πλ. U (om. μετὰ... μέλιτος) VX; λ. καὶ τήλεως καὶ μέλιτος μόνον (μόνου B) ἢ χυλοῦ (-ῷ B?) πτ. μετὰ ἐλαίου καὶ μέλιτος μόνου· πλ. BC. — 28. πολλῷ A.

θινον, ἢ γλεύκινον μετὰ βουτύρου, ἐντακέντων αὐτοῖς σΊεάτων τινῶν χηνὸς ἢ ἀλεκτορίδος ἢ μυελοῦ ἐλαφείου. Ὑπελθούσης δὲ τῆς γασΊρὸς, εἰ μὲν ἐνδιδοίη ὁ πόνος, ἐλαιοβραχὲς ἔριον περιτίθες ἐν κύκλῳ ἀνὰ πᾶσαν ἐπιβρέχων τὸ ἐπικείμενον ἔριον ἐλαίῳ θερμῷ συνεχῶς· βέλτιον δὲ συνέψειν τῷ ἐλαίῳ ἄνηθον, πήγανον, ἀλθαίαν, ἀρτεμισίαν. Ὀξύτερον δὲ πεπονθότων τῶν νεφρῶν, καὶ σφοδροτέρας οὔσης ὀδύνης, φλέβα τέμνειν τὴν κατὰ ἀγκῶνα, καὶ ἐπαφαιρεῖν, καὶ μετὰ τοῦτο, εἰ ὑπολείποιτό τι τῆς φλεγμονῆς, καταπλάσσειν τὰ μὲν πρῶτα ἀλεύρῳ ἐν μελικράτῳ ἑφθῷ, ἢ τῷ λινοσπέρμῳ, μετὰ δὲ ταῦτα καὶ τῆς χαμαιπίτυος μίσγειν καὶ τοῦ πολίου, ἀβροτόνου, χαμαίδρυος, ἀσάρου, σχοίνου, ἄνθους, καὶ τότε μηκέτι ἐν μελικράτῳ τὰ καταπλάσματα ἕψειν, ἀλλὰ ἐν γλυκεῖ· μίσγειν δὲ τοῦ μὲν ἀλεύρου μέρη δ', τῶν δὲ εἰρημένων φαρμάκων τινὸς μέρη β'. Ἀγαθὸν δὲ καὶ τοῦτο τὸ κατάπλασμα· χαλβάνης, τερεβινθίνης, ὀροβίνου ἀλεύρου ἀνὰ δραχμὰς ν'· ἴρεως δράχμας δ'· κηρωτῆς ἐσκευασμένης διὰ γλευκίνου, ἢ ἀμαρακίνου, ἢ ἰρίνου, ἢ κυπρίνου, ἤ τινος τῶν παραπλησίων λίτρα α', ἀλεύρου πυρίνου οὐγγίας β', γλυκέος κρητικοῦ τὸ ἱκανόν· σκευάσας ἐπιτίθει κατὰ τῶν λαγόνων καὶ τῆς ὀσφύος· ποιεῖ δὲ καὶ πρὸς τὰς περὶ κύσΊιν φλεγμονὰς ἐπιτιθέμενον κατὰ τοῦ ἤτρου. Εἰ δὲ τοῖς καταπλάσμασι μὴ πραΰνοιτο ἡ ὀδύνη, σικύαν προσβάλλειν τῇ τε ὀσφύϊ, καὶ ὑπὸ τοὺς κενεῶνας, καὶ ἀμυχαῖς χρησάμενον ἀφέλκειν τοῦ αἵματος ἱκανόν· ἔπειτα σπόγγοις πυριᾷν καὶ εἰς θερμὸν ἐγκαθίζειν συνεψήσαντας τῷ ὕδατι κάλαμον ἀρωματικὸν, χαμαίμηλον, σχοίνου ἄνθος, λινόσπερμον, ἄνηθον, μαλάχης ἀγρίας ῥίζαν· πρότερον δὲ καὶ κύσΊιν εὐμεγέθη ἡμιπλήρη ὑδρελαίου θερμοῦ ἐπιτιθέναι τοῖς τόποις, καὶ πυρίαις λιπαρωτέραις χρῆσθαι· μετὰ δὲ ταῦτα κηρωτὰς καὶ μαλάγματα ἐπιτιθέναι, κηρωτὰς μὲν διὰ κυπρίνου, ἢ ἰρίνου μύρου· μαλάγματα δὲ τὰ εὐωδέσΊατα, οἷά ἐσΊι τὰ ἡπατικὰ διὰ σΊύρακος. Ἐν δὲ ταῖς ὀδύναις πίνειν φάρμακα τῶν ἀνωδυνίαν ἐμποιούντων τοιάδε· κωδύας πεφωγμένης ἡμιώβολον, σΊύρακος τὸ ἴσον, λιβάνου ὀβολὸς α', σικύου σπέρματος κόκκοι κ', σελίνου σπέρματος ὅσον τοῖς τρισὶ δακτύλοις, ὀπίου ὅσον ὄροβος μικρός· τρίβων ὡς λειότατα καὶ κεραννύων γλυκεῖ ἢ ὕδατι δίδου τὸ ὅλον· αὐτικὰ γὰρ λωφήσει ἡ ὀδύνη καὶ ὑπνώσει ὁ κάμνων. Ὠφέλιμοι δὲ καὶ οἱ παραπλήσιοι

1. ἐκτακέντων BUV. — Ib. τινῶν om. U; τήν V 1e m.; τε 2e m. — Ib. ἤ] καί BCUV. — 2. ἐνδίδωσιν BC; ἐνδιδῶ AUV. — 3. περιτίθης (l. -ες) A; ἐπιτίθει BUV; περιτίθει C. — Ib. ἀναπαύειν ἐπιβρ. ABCX. — 5. τῶν om. B. — 6. τι om. A. — 7. πρῶτα ἐν μελικράτῳ καὶ ἀλεύρῳ ἑφθῷ BCV. — 8. καὶ χαμαίπιτυν μ. καὶ πόλιον et les autres substances à l'acc. BC qui omet les articles. — 9. ἀσάρου καὶ σχοίνου BC. — 10. τῶν δέ] τῶν ζ' V; καὶ τῶν ς' C; καὶ τῶν ζ' B. — 11. τινῶν UV. — Ib. τό om. BUVX. — 12. ἀλ. ἀνὰ γράμματα ν' AB; ἀλ. γράμ. ν' ἐν ἄλλῳ δραχμὰς ν' C; item l. 12, après ἴρεως. — 15. ἐν κύστει X. — 16. τὸ ἦτρον A. — 17. καὶ τοῖς κενεῶσι BCUV 2e main. — 18. ἐφελ. AX. — Ib. πυριᾷν om. UV. — Ib. θερμὸν ὕδωρ ABCUX. — 19. συνεψήσαν A; συνεψήσας VX. — 21. ἡμιπλήρες AV 2e m. — 22. μαλ. μέν UV. — 23. μύρου om. BCUV. — Ib. τά om. BCUV. — 24. ποιούντων AX. — 25. πεφρυγμένης BCV; tosti Corn. — 26. σπέρμα bis AUV. — Ib. καὶ σελίνου BC. — 26-27. ὀπίου..... ὄροβον μικρόν CV, qui a corrigé en ὀρόβων μικρῶν. — 27. ἤ om. BCUVX. — 28. ἡ om. A qui a λωφήσιν.

τροχίσκοι ἀνώδυνοι, ϖεφθεισῶν δὲ ὅμως καὶ τελέως λυθεισῶν τῶν φλεγμονῶν, καὶ τῶν ὀδυνῶν ϖαυσαμένων· τότε καὶ τοῖς οὐρητικοῖς καθαίρειν οἷόν ἐσ7ιν ἄκορον, μῆον, φοῦ, ϖετροσέλινον, ἄγρωσ7ις, κασία, χαμαίπιτυς, ϖόλιον· τούτων ἕκασ7ον ἕψειν ἐν ὕδατι καὶ μετὰ οἴνου ἢ μέλιτος ϖίνειν. Σιτία δὲ διδόναι, μετὰ τὰς ϖέψεις τῶν φλεγμονῶν, ἄρτους μὲν τοὺς καλλίσ7ους, κλιβανίτας μάλισ7α, ϖ7ηνῶν δὲ τὰ ὄρεια, θαλασσίων δὲ τοὺς ἐχίνους ϖροσφάτους· λαχάνων δὲ μάραθρου, σέλινου, δαύκου, καὶ τὰ ἄγρια ϖάντα, καὶ σικυὸν ἑφθόν· οὔρησιν γὰρ καλῶς ϖροτρέπει ταῦτα, μάλισ7α δὲ οἱ σ7αφυλῖνοι κάθεφθοι, καὶ τὰ κρῆθμα, καὶ ὁ σκάνδιξ, καὶ τὰ γιγγίδια. Οὖρα δὲ ἐκκρίνεται τούτοις, μετὰ τὰς ϖέψεις τῶν φλεγμονῶν, ϖολλὰ καὶ ϖαχέα, καὶ ὑποσ7άσεις καλὰς ἔχοντα, καὶ μάλισ7α ταῦτα κρίνει τὴν νόσον· αἱ δὲ ὑδατώδεις καὶ καθαραὶ καὶ διαφανεῖς οὐρήσεις δυσκριτώτεραι.

ιζ′ (δ′). Περὶ σκληρίας νεφρῶν.

Ὅσαι δὲ σκληρότητες ϖερὶ νεφροὺς γίνονται ὀδύνας μὲν οὐκέτι ϖαρέχουσιν· δοκεῖ δὲ αὐτοῖς ὥσπερ ἐκ τῶν κενεώνων κρεμᾶσθαί τι, καὶ ναρκώδεις μὲν τὰ ἰσχία ἀκρατεῖς δέ εἰσι τῶν σκελῶν, οὐροῦσί τε ὀλίγα, τήν τε ἄλλην ἕξιν τοῖς ὑδατουμένοις μάλισ7α ἐοίκασιν· τινὲς δὲ καὶ σαφῶς ὑδεριῶσι ἐν τῷ χρόνῳ, οἷα καὶ ἀπὸ τῶν ἄλλων σπλάγχνων σκληρυνομένων συμβαίνει τούτοις. Ἀπαλύνειν χρὴ κηρωταῖς, καὶ μαλάγμασι, καὶ τρίψεσι, καὶ ϖυρίαις λιπαραῖς, καὶ οὐρητικὰ ϖροσφέρειν, καὶ τὴν γασ7έρα ὑποκλύζειν τοῖς διὰ ἀλθαίας καὶ τήλεως καὶ ἰσχάδων μέλιτός τε καὶ νίτρου καὶ ἐλαίου· καὶ ἐνέματα εἰς νύκτα ϖαραλαμβάνειν διὰ ἐλαίου ἀνηθίνου μετὰ βουτύρου καὶ σ7εάτων χηνείων.

ιη′ (β′). Περὶ διαπυησάντων νεφρῶν. Ἐκ τῶν Ῥούφου.

Ὅσοις δὲ εἰς μεταβολὴν ὑγροῦ τρέπεται τὰ τῆς φλεγμονῆς τῶν νεφρῶν, ϖάντα τὰ ϖροῤῥηθέντα ἐπὶ τῆς φλεγμονῆς ἐπιταθήσεται συμπ7ώματα, καὶ αἱ τῶν ϖυρετῶν εἰσβολαὶ μετὰ φρίκης γενήσονται, καὶ ϖερὶ ἑσπέραν ὡς ἐπίπαν. Ἤδη δὲ καὶ ὄγκος ϖοσῶς ϖερὶ τοὺς κενεῶνας φαίνεται, καὶ θερμασίας σφοδρᾶς αἴσθησις αὐτοῖς γίνεται ϖερὶ τοὺς νεφρούς, καὶ οὐροῦσι ϖυῤῥὰ καὶ ἄκρατα· ἀποτελεσθείσης δὲ ἤδη τῆς μεταβολῆς, μειωθήσεται τὰ τῶν ϖυρετῶν καὶ τὰ τῶν ἀλγημάτων συμπ7ώματα· βάρους δὲ

1. τρ. καὶ ἀνώδ. C. — Ib. ϖεφθέντων AX. — Ib. ὅμως καί ex em.; ὁμοίως καί BCOMUV; om. AX. — Ib. τελέως om. BCV 2[e] m. — Ib. λυθεισῶν om. AX. — 4. ἐν om. BCV. — 6. δέ om. X. — 7. καὶ..... ταῦτα om. X. — Ib. σικὺν ἐνεφθόν A. — Ib. γάρ om. A. — 8. ϖάνυ καθ. X. — 10. μάλισ7α] γάρ C; καὶ γαρ (en interl.) μάλ. B. — Ch. 17, l. 12. ὀδύνην C. — 13. ὥσπερ δὲ ἐκ U. — Ib. ναρ. μὲν ἰσχίων AMUVX. U et V om. τά. — 14. ἀκρατεῖς δὲ σκελῶν AUVX; ἀκρατεῖς δέ εἰσι τὰ σκέλη BC. — Ib. τὴν δέ BCMOV. — 15. ἐν om. BCUV. — 16. Ἀπαλ. οὖν BCU; Ἀπολαύειν AX. — 17. διουρ. A; διουρητικόν V. — 19. μετά om. MV. — 20. τινῶν A; χηνῶν UV. — Ch. 18, tit. Ἐκ τῶν Ῥ. om. B. — 21. ὑγροτέρως BCV; om. U. — Ib. τά après ϖάντα om. V 1[e] m. — 22. φλεγ. τῶν νεφρῶν ἐπιταθ. συμτώματα. (τὸ συμπ7ώμα V) BCUV. — 22. ἐπί om. V. — 25. δέ om. A. — 26. καὶ τῶν ἀλγ. BC. — Ib. τε BCUV.

αἴσθησις μᾶλλον αὐτοῖς γίνεται κατὰ τὸν πεπονθότα νεφρὸν, ἐν μέντοι τῷ τῆς ῥήξεως καιρῷ πάλιν παροξυσμὸς γενήσεται, ᾧ ἐπακολουθήσει ἔκκρισις τῶν ὑγρῶν σὺν τοῖς οὔροις· ἐνεχθήσεται δὲ καὶ ἀποπλύματά τινα σαρκώδη ἐκ τῆς οὐσίας τῶν νεφρῶν· τὰ γὰρ πολλὰ ἐπὶ κύστιν φέρεται τὸ ἐκ τῶν νεφρῶν ῥηγνύμενον πύον, ὅτε καὶ ἐπὶ συμφέροντι γίνεται, ποτὲ δὲ ἐπὶ ἔντερον ἡ ῥῆξις γίνεται καὶ διὰ τῆς ἕδρας κενοῦται τὸ πύον. Τισὶ δὲ οὐδὲ ῥήγνυται, ἀλλὰ μένει κατὰ τοὺς νεφροὺς χρόνον πολὺν, μέχρις ἂν ἢ καυτῆρα προσαγάγῃς, ἢ ἄλλῳ τρόπῳ ἀναστομώσῃς ἔξωθεν. Τῶν μὲν οὖν τῆς ἀποστάσεως σημείων προφανέντων, συνεργεῖν δεῖ ὡς ὅτι τάχιστα τῇ μεταβολῇ καὶ τῇ συῤῥήξει. Πυριᾶν τε οὖν συνεχῶς σπόγγοις ἐξ ὑδρελαίου, καὶ πιτύροις, καὶ καταπλάσμασι διὰ ἀλεύρου κριθίνου μετὰ ἀφεψήματος σύκων καὶ ἀλθαίας ἡψημένων ἐν μελικράτῳ, ἢ γλυκεῖ κρητικῷ· ἀγαθὸν δὲ καὶ αὐτὰ τὰ σῦκα παραμίσγειν λεαίνοντα, καὶ ἀψινθίου κόμην κόψαντα ἐμβαλεῖν, ἢ χαμελαίαν, ἢ ἶριν ἢ βρυωνίαν· ἐχέτω δὲ καὶ τερεβινθίνην, πίσσαν, μάνναν, λιβανωτὸν, περιστερᾶς κόπρον, πόλιον καὶ πάντα τὰ τούτοις ἐοικότα, καὶ ἁπλῶς πάντα παραληπτέον ἅ τινα ἐπὶ τοῦ ἥπατος ἐδοκιμάζομεν ἐν ἀποστάσει γεγονότος. Ἐπὶ δὲ τῶν κακοήθων καὶ σηπεδονωδῶν ὑγρῶν· γνωρίσεις δὲ ταῦτα ἐκ τῆς τῶν πυρετῶν δριμύτητος· καὶ ῥόδα προσπλέκειν χρὴ τοῖς καταπλάσμασι, καὶ μύρτα, καὶ ὀρόβων καὶ φακῆς ἄλευρον· τὰς γὰρ σηπεδόνας τῶν ὑγρῶν ἐπέχει ταῦτα καὶ τὰ τούτοις παραπλήσια. Μετὰ δὲ ταῦτα ἐμπλάστροις χρῆσθαι ταῖς δυναμέναις μεταβάλλειν τὸ πύον, ὡς ἐπὶ τῶν ἡπατικῶν προείρηται· χρονιζούσης δὲ τῆς ῥήξεως, καὶ ὑποκλύζειν δριμυτέρῳ κλύσματι, οἷον ἐλλεβόρου μέλανος ἀποβρέγματι, καὶ ῥαφανῖδος, καὶ σκορόδων, καὶ σικύου ἀγρίου ῥίζης· βρέχειν δὲ τὰ τοιαῦτα ἐν θαλάσσῃ, ἢ ἅλμῃ, καὶ βραχὺ ἐλαίου μίξαντα πρὸς τὸ ὀλισθηρὸν γενέσθαι τούτοις κλύζειν, καὶ κελεύειν ἐπὶ πλεῖστον κατέχειν· πλειστάκις καὶ τὸ ἐμπύημα ῥήγνυσι σὺν τῷ καὶ τὴν γαστέρα ὑπομαλάσσειν. Εἰ δὲ σφοδρότεραί εἰσιν αἱ ὀδύναι, κλύζειν χυλῷ πτισάνης, καὶ γάλακτι νεοβδάλτῳ, καὶ ἐγκαθίζειν εἰς ὑδρέλαιον, καὶ ποτίζειν τοῖς πρᾳοτέροις διουρητικοῖς, οἷον σικύου σπέρμα λελεπισμένου μετὰ μελικράτου ἐναφηψημένων ἐν αὐτῷ φοινίκων· διδόναι δὲ καὶ ἶριν μετὰ μέλιτος ἀπηφρισμένου· ἐκλείχειν δὲ καὶ αὐτὸ τὸ μέλι πασπειλωθὲν τῇ ἑψήσει. Συνεργεῖ δὲ τῇ χρονιζούσῃ συῤῥήξει κύμινον μετὰ γλυκέος, καὶ πήγανον μετὰ ὀξυμέλιτος. Εἰ δὲ ἐκ τῆς ἕξεως τοῦ σώματος καὶ τῶν νωθροτέρων ἀλγημάτων τεκμαίροιο διὰ πάχος μὴ ἐκκρίνεσθαι τὸ πύον, μαράθρου ἀφέψημα ποτίζειν, καὶ χαμαιπίτυος, καὶ γλήχωνος, καὶ ὀριγάνου· μετὰ δὲ τὴν ῥῆξιν ἐκκρίνεται σὺν τῷ οὔρῳ σαρκία σμικρὰ

1. ἐν μέντοι τὸ τῆς A; καὶ ἐν μὲν τῷ τῆς BC; ἐν μὲν τῷ τῆς UV. — 2. καιρῷ μᾶλλον BCUV. — Ib. πάλιν om. BCUV. — Ib. ὡς ἐπακολουθῆσαι ἔκκρισιν BCV 1ᵉ m. — 3. σαρκώδη om. U. — 4. τήν κ. BCV. — 5. ποτὲ..... γίνεται om. C. — 7. ἂν om. ABVX. — 10. καταπλ. ἀλεύρῳ κριθίνῳ BU. — Ib. διά. om. V — 11. καί om. AX. — Ib. αὐτῶν τῶν σύκων AUVX. — 12. ἢ avant ἶριν om. A. — 13. λίβανον BCV 1ᵉ m.; λιβανωτὸν αὐτόν AU. — 17. ἄλευρον] ο απλασμασι (sic) A. — 21. ἢ ῥαφ. ἢ σκορ. BC. — Ib. καί avant ῥαφ. om. U. — 23-24. πλειστ. γὰρ τό V. — 25. ὦσι A. — 26. τὰ πρᾳότερα διουρητικά BC. — 28. δέ om. AUVX. — 29. δέ om. V. — Ib. καὶ κύμ. BC. — Ib. καί om. AUX. — 29-30. οἰνομέλ. BCV. — 31. μαρ.] J'ai suivi A pour l'ordre des subst. — Ib. καί avant γλήχ. om. A. — 32. μικρά AX.

παραμήκη, καὶ ἐπὶ μὲν τῶν κακοήθων δύσοσμα τὰ ὑγρὰ καὶ πέλια καὶ μυξώδη. Εἰ δὲ χρηστὰ εἴη τὰ ἕλκη, καὶ τὸ πύον λευκὸν καὶ ὁμαλὸν καὶ λεῖον καὶ ἄνοσμον εὑρεθήσεται καὶ ὀλίγον. Διδόναι μὲν οὖν αὐτοῖς μετὰ τὴν σύῤῥηξιν γάλα σὺν μέλιτι, τὸ μὲν πρῶτον ὄνειον ἢ ἵππειον· εἰς γὰρ τὴν ἀνακάθαρσιν τῶν ἑλκῶν συμφέρει· ὅταν δὲ μηκέτι καθαίρεσθαι δέωνται καὶ αἱ δήξεις ἀμβλύνωνται, χρήζῃ δὲ ὁ πάσχων ἀνατροφῆς, τότε ἤδη τὸ βόειον γάλα προσφέρειν καὶ δύο καὶ τρεῖς κοτύλας καὶ ἔτι πλέον. Νεόβδαλτον δὲ θερμὸν δοτέον πᾶν γάλα εἰς τὸν οἶκον εἰσφέροντα τὸ ζῷον, ἐν ᾧ κατάκειται ὁ νοσῶν· τοῦτο καὶ τῶν ἄλλων τῶν ἐντὸς ἑλκῶν κάλλιστον φάρμακον καὶ τοῖς χαλεποῖς ἰχῶρσιν εὐμενέστατον, καὶ ἀνατρέφει τὸ σῶμα. Περὶ δὲ τὰς ἀναλήψεις προσήκει κατακείμενον τὸν πάσχοντα μαλακῶς ἀνατρίβειν ἐπὶ ἑκάστης ἡμέρας ἕωθεν καὶ τρέφειν κατὰ ἀρχὰς, ὡς εἴρηται, τῷ βοείῳ γάλακτι. Ὅταν δὲ πεφθῇ τὸ γάλα, διδόναι ῥόφημα ἐκ πτισάνης ἐσκευασμένον, ἢ ἀμύλου, ἢ πλυτῆς σεμιδάλεως σὺν γάλακτι ἑφθῆς· διδόναι δὲ καὶ ᾠόγαλα καὶ ζωμὸν ὄρνιθος λιπαρὸν. Λαχάνων δὲ ἐπιτήδεια μαλάχη, σέρις, λάπαθον, ἀνδράχνη, ἀσπάραγος ἕλειος, σίκυς, θρίδαξ, πάντα ἑφθά· ὠμὸν δὲ μηδὲν ἐσθίειν· ταῦτα γὰρ ἀμβλύνει τὰς δήξεις. Τὰς δε ἐπιγινομένας πλησμονὰς ἐμέτοις κενοῦν προσήκει· πρὸς δὲ τὸ εὐκόλως ἐμεῖν διδόναι τούτοις σικύου σπέρμα τετριμμένον μετὰ γλυκέος, ἢ χυλὸν πτισάνης μετὰ γλυκέος· ἐλαίῳ δὲ κυπρίνῳ μάλιστα χρίειν πτερὰ καὶ ἐρεθίζειν. Οὐ μόνον δὲ πρὸς τὰς πλησμονὰς ἐπαινῶ τοὺς ἐμέτους, ἀλλά μοι δοκεῖ, εἰ τολμήσειέ τις κατὰ μῆνα ἐμεῖν, τάχα ἂν καὶ ἕλκος ὂν ἐν νεφροῖς καὶ ἄλλην τινὰ ἐνθένδε λύσαι βλάβην. Ἡ δὲ λοιπὴ δίαιτα παραλαμβανέσθω ἡ μετὰ ταῦτα ῥηθησομένη ἐπὶ τῶν τῆς κύστεως ἑλκῶν· οὐρητικὰ δὲ ποτίζειν εἰς ἀνακάθαρσιν τῶν ἐν νεφροῖς ἑλκῶν τὰ ἁπλούστερα τῶν πλειστάκις εἰρημένων καὶ ῥηθησομένων. Ὅταν δὲ καθαρὰ γένηται τὰ ἕλκη, φανεῖται δέ σοι τοῦτο ἐκ τοῦ μηκέτι μήτε ἐφελκίδα συνεκκρίνεσθαι τοῖς οὔροις, μήτε τὸ ἐκκρινόμενον πύον τρυγῶδες εἶναι, ἀλλὰ ὑπόλευκον καὶ λεῖον καὶ ὁμαλὸν καὶ ὀλίγον· τότε ἀντὶ τῶν ἐμπλάστρων μαλάγματα δοκιμαστέον τὸ διὰ σπερμάτων, τὸ διὰ δαφνίδων, τὸ ἀπολλοφανεῖον, καὶ πάντα τὰ τὴν ἐπιφάνειαν φοινίσσειν δυνάμενα, οἷόν ἐστι τὸ ἐπὶ τῆς λιθιάσεως προγεγραμμένον· ἀντὶ δὲ τῶν οὐρητικῶν τὰ ἀναξηραντικὰ παραλαμβάνειν, ὥστε ἥ τε τροφὴ στύφουσα ἔστω καὶ τὰ φάρμακα συνακτικὰ τῶν σωμάτων· εὐθετήσουσι δὲ καὶ δρώπακες καὶ σιναπισμοὶ καὶ χρήσεις αὐτοφυῶν ὑδάτων θερμῶν

2. λευκὸν, ὁμαλὸν, λεῖον καὶ ἄοσμον U. — Ib. ἄοσμον BC. — 3. μέν] δέ U. — Ib. οὖν om. B; οὖν V 1e m.; χρή 2e m. — Ib. αὐτοῖς προσήκει C. — 4. ἤ om. AX. — Ib. ὅτε BV. — 5. καθαίρεσθαι om. BV. — 6. πρ. χρὴ καὶ δύο BC. — 7. δέ om. UV. — Ib. φέροντα B. — 8. τ. δὲ καί BC. — 9. Περί] Ποιεῖ U. — 11. πεμφθῇ V; ἐκπεμφθῇ U. — 12. ἄμυλον et les autres mots à l'acc. BCUV. — 13. διδόναι δέ om. B. — Ib. δέ om. V. — Ib. λιπαροῦ C; λιπαρόν A (en corr.; prim. λιπαρῶν) UV qui a λιπαροῦν 2e m. — 15. ὠμὸν δέ A; καὶ ὠμόν BC; ὠμόν UV. — Ib. μή X. — Ib. ταῦτα δὲ ἀμβλ. AUVX. — 17. τοῦ γλυκ. AX. — 19. ἀλλὰ ὥς μοι δοκεῖ τολμήσει (τολμήσας C) BC; ἀλλά μοι δοκεῖ τολμήσας AVX; ἀλλά μοι τολμήσας U. — Ib. ταχύ A. — 20. ὄν om. AUVX. — 22. ἁπλ.] παραπλήσια B. — 23. φανήσεται ABUVX. — 24. μηδέ bis UV. — 25. τρ. ἤει (sic) A; εἴη (sic) X. — Ib. ἄλλοι ὑπόλ. A. — Ib. καί avant λεῖον om. U. — 27. οἷόν τε τό B; οἷον τό V. — 28. ἀναξηραίνοντα A. — 29. τε om. BCUV. — 30. δέ om. BC. — Ib. δὲ δρώπ. V. — Ib. ὑδάτων om. U.

τε καὶ ψυχρῶν. Ἐπὶ δὲ τῶν χρονιζόντων ἐν νεφροῖς ἑλκῶν φάρμακα παραλαμβάνειν τὰ ἐπὶ τῆς ἡλκωμένης κύστεως ῥηθησόμενα· γνωστέον μέντοι πᾶσαν μὲν ἕλκωσιν νεφρῶν καὶ κύστεως δυσαλθῆ εἶναι, μάλιστα δὲ τὴν ἐκ διαβρώσεως γινομένην, ὡς ὀλίγους παντελῶς οἴδαμεν τελέως ταύτης ἀπαλλαγέντας. Εἰ δὲ πρὸς τὸ ἔξω τρέποιτο τὸ ἐμπύημα, κορυφοῦται μᾶλλον ἡ φλεγμονὴ καὶ τῇ χειρὶ καταφανέστερον καὶ τῇ ὄψει γίνεται· τούτοις δικαίως οἱ ἰατροὶ χειρίζουσιν ἔνθα ἐκκορυφοῦται μάλιστα καὶ θεραπεύουσιν ὡς τὰ κοινὰ καὶ κοῖλα ἕλκη· γνωστέον μέντοι ὡς εἴωθε ταῦτα συριγγοῦσθαι καὶ δεῖται σπουδαιοτέρας τῆς ἐπιμελείας.

ιθ'. Περὶ δυσουρίας καὶ στραγγουρίας.

Δυσουρία λέγεται, ὅταν οὐρεῖν προελομένου τοῦ πάσχοντος, μετὰ βίας ἐκκρίνηται τὰ οὖρα, καὶ ἐρεθισμὸν ἐμποιῇ. Στραγγουρία δὲ καλεῖται, ὅταν κατὰ βραχὺ καὶ στάγδην φέρηται τὰ οὖρα, καὶ συνεχῶς ἐρεθισμὸν ἐπιφέρῃ πρὸς οὔρησιν. Ταῦτα δὲ συμβαίνει ἢ ἐπὶ δριμέσιν οὔροις, ἢ διὰ ἕλκωσιν τῆς κύστεως, ἢ διὰ τὴν αὐτῆς ἀτονίαν, ποτὲ δὲ καὶ νεφρῶν πεπονθότων ἢ ἥπατος, ὅταν σύῤῥηξις γένηται τοῦ ἀποστήματος ἐκκρινομένου διὰ τῆς κύστεως τοῦ πύου, [καὶ] συνεχῆ ἐρεθισμὸν πρὸς οὔρησιν τῇ δριμύτητι ἐμποιῇ, καὶ ἀῤῥωστοῦσα κατὰ δυσκρασίαν τινὰ ἡ κύστις βλάπτηται εἰς τὴν ἰδίαν ἐνέργειαν. Ἀναγκαῖον οὖν ἐστι ἐπίστασθαι τὰς προηγησαμένας αἰτίας τῆς στραγγουρίας ἢ δυσουρίας καὶ πρὸς ταύτας ἁρμόζειν τα βοηθήματα. Εἰ μὲν οὖν ψύξις προηγήσατο τῶν εἰρημένων, ἐπιβρέχειν δεῖ τὸ ἦτρον πηγανίνῳ ἐλαίῳ θερμῷ, καὶ ἐγκαθίζειν εἰς ἀφέψημα σαμψύχου ἢ πηγάνου, καὶ σκέπειν καὶ θάλπειν τὸ ὑπογάστριον, ἐνίοτε δὲ καὶ διὰ ἕδρας πηγάνινον ἔλαιον θερμὸν ἐνιέναι, καὶ τροφαῖς διουρητικωτέραις κεχρῆσθαι ταῖς θερμαίνειν δυναμέναις, καὶ ἀφεψήματα τῶν ἀρωμάτων διδόναι πίνειν· ποτίζειν δὲ καὶ τῆς θηριακῆς μετὰ γλυκέος ἢ οἰνομέλιτος. Εἰ δὲ χολωδεστέρων γινομένων τῶν οὔρων δῆξις περὶ τὴν κύστιν γένηται καὶ στραγγουρίαν ἐργάσηται, καθαίρειν δεῖ τὴν πλεονάζουσαν κακοχυμίαν ὅτι τάχιστα καὶ τροφαῖς κατακεραστικαῖς χρῆσθαι, ἀπεχομένους παντὸς δριμέος καὶ ἁλυκοῦ. Πλεῖον δὲ προσάγειν ποτὸν ὕδωρ γλυκὺ θερμὸν καὶ συνεχῶς ἀπουρεῖν ἀναγκάζειν· χρονίζον γὰρ ἐν τῇ κύστει τὸ δριμὺ περίττωμα δασύνει καὶ ἑλκοῖ τὰ μέρη. Ἁρμόζει τοίνυν συνεχῶς μὲν ἀποπυριᾷν· διδόναι δὲ καταῤῥοφεῖν ἄμυλον μετὰ γάλακτος ἡψημένον, καὶ φοινίκων ἀφέψημα· οἶνον δὲ διδόναι γλυκύτερον· κάλλιστον δὲ καὶ αὐτὸ τὸ γάλα πινόμενον θερμόν. Εἰ δὲ ἐπιτείνοιτο τὰ τῆς δριμύτητος, καὶ διὰ τοῦ καυλοῦ ἐνιέναι εἰς τὴν κύστιν

2. μέν om. BCUX. — 4. εἴδομεν BC. — 6. ἐκορυφοῦτο X. — Ch. 19, l. 10. καὶ.... ἐμποιῇ om. AUX. — Ib. ἐμποιῇ et ἐπιφέρῃ en interl. C; ἐπιφέρει AX; ἐμποιῇ B; ἐμποιεῖ UV qui ont ἐκκρίνεται (l. 9) et φέρεται (l. 11) comme A et B; même rem. pour les verbes de la phrase suiv. et pour la plupart des cas anal. — 14. [καὶ] om. codd. — 16. οἰκείαν X. — Ib. ἀναγκεουν ἐστι A. — Ib. ἐστι om. X. — 16-17. τὰς προηγ... ταύτας om. V. — 18. δεῖ om. ABUV. — Ib. τῷ ἤτρῳ A. — 19. ἢ] καί A. — 20. καί avant διά om. UV. — 21. κεχρῆσθαι om. U. — 22. τὴν θηριακήν BC. — 23. δῆξεις A. — 24. ταῖς τροφαῖς BCUV. — 29. ἀφεψήματος AUX. — Ib. δέ] τε BC.

γάλα μετὰ ἀμύλου, καὶ ποτίζειν τὸν διὰ Φυσαλίδων τροχίσκον. Ἑτέρου δὲ μορίου πάσχοντος καὶ διὰ τῆς κύστεως ἐκκαθαιρομένου δηλονότι, ἐκείνου πρότερον τὴν πρόνοιαν ποιεῖσθαι, μηδὲ μὴν τῆς κύστεως ἀμελεῖν.

κ'. Περὶ τῆς ἐν πυρετοῖς δυσουρίας. Ἐκ τῶν Φιλουμένου.

Γίνεται δυσουρία καὶ ἐν ἀρχῇ τῶν πονηρῶν πυρετῶν, ὥστε τὴν κύστιν ἀλγεῖν, καὶ κατὰ βραχὺ τὸ οὖρον προΐεσθαι καὶ μετὰ ὀδύνης· καὶ οὐ μόνον ὀχληρόν ἐστιν, ἀλλὰ καὶ σημεῖον τοῦ ὅλον πεπονθέναι τὸ νευρῶδες. Κατὰ ὑπογαστρίου μὲν οὖν καὶ κτενὸς, βουβώνων τε καὶ ἰσχίων, καθαρὸν ἔριον ἐπικείσθω γλυκεῖ βεβρεγμένον ἐλαίῳ ἐν ᾧ ἀφήψηται πήγανον, ἄνηθον, ἢ σικυωνίῳ ἐλαίῳ· ἐμπασσέσθω δὲ τοῖς ἐρίοις κύμινον λειότατον. Ἐπεχομένης τῆς δὲ κοιλίας, ἐνιέσθωσαν τήλεως καὶ μαλάχης ἀφεψήματα, καὶ ἐγκαθίσματα παραλαμβανέσθω μέχρις ὀμφαλοῦ καὶ ὀσφύος ὅλης διὰ ἀφεψήματος ἀρτεμισίας, τήλεως, πηγάνου, γλήχωνος, καὶ μάλιστα σαμψύχου, καὶ ἐλαίου. Κατεπειγόντων δὲ τῶν συμπτωμάτων, καὶ φλεβοτομίαν παραλαμβάνειν, καὶ δίαιταν ἀκριβῆ, ῥοφήμασι τὸ πλέον χρωμένους χόνδροις πλυτοῖς ἡψημένοις μετὰ ἀνήθου ἐν μελικράτῳ ἀπηφρισμένῳ, ἢ ἄρτῳ πλυτῷ, ἢ ᾠοῖς ῥοφητοῖς· μετὰ δὲ ταῦτα καὶ μαλάχῃ τριπτῇ ἑφθῇ καὶ κεφαλωτοῖς πράσοις τρισὶν ὕδασιν ἡψημένοις, καὶ ἀπαλωτάτοις ἰχθύσιν· μετὰ δὲ τὰς ἐμβροχὰς, καὶ καταπλάσματα παραλαμβανέσθω διὰ τῆς αὐτῆς ὕλης. Κατεπειγουσῶν δὲ τῶν ὀδυνῶν, καὶ σικύαι μετὰ κατασχασμοῦ προσαγέσθωσαν τῷ ὑπογαστρίῳ, καὶ κηρωτὴ δὲ πρὸς τὰ τοιαῦτα ἐπιτηδειοτάτη αὕτη. Ἀγρίας μαλάχης ῥίζαι ἕψονται ἐν σικυωνίῳ ἐλαίῳ μετὰ ὕδατος ὀλίγου ἕως ξηραὶ γένωνται· τῷ δὲ ἐλαίῳ μίγνυται χυλὸς πηγάνου ὡς εἶναι τὸ τέταρτον μέρος τοῦ ἐλαίου, κηροῦ τε τὸ ἀρκοῦν, καὶ καστορίου βραχὺ ἐπιβάλλεται. Πόμα δὲ τοῖς οὕτω κάμνουσιν ἐπιτήδειόν ἐστι τοῦ ἡμέρου σικύου τὸ σπέρμα· προβραχὲν δὲ λεπίζεται, εἶτα τριφθὲν δίδοται μετὰ ὕδατος κυάθων τριῶν, ὅσον κοχλιάρια β'. Καὶ κινεῖ μὲν οὔρησιν ἀλύπως, τὰς δὲ περιωδυνίας παραχρῆμα λύει. Τῶν μέντοι ἄλλων διουρητικῶν ἐπὶ ὅσον οἱ πυρετοὶ διαμένουσιν, ἀποχὴ πᾶσα ἔστω· κεκινημένων γὰρ τῶν ἐν παντὶ τῷ σώματι

1. τροχ.] Τροχίσκος ὁ διὰ Φυσαλίδων· Ὀπίου συκίου σπέρμα, σελίνου σπέρμα, ὑοσκυάμου, μαράθρου, Φυσαλίδων [ἴσως παπαρίδων gl.] ἀνὰ οὐγγ. γ', ἀμυγδάλων πικρῶν οὐγγ. δ', κρόκου οὐγγ. η', οἴνου γλυκέος τὸ ἀρκοῦν. A marge; main un peu plus réc. et d'une écrit. curs. — Ch. 20, l. 6-7. κτενός] τένοντος BC. — 8. ἄνηθον om. BC. — Ib. ἐμπλασσέσθω BUV. — 9. τε καί V 2e m.; om. AUV 1e m. X. — 9-10. ἀφεψήματι AV qui om. καὶ ἐγκαθίσματα. — 13. ἐν ῥοφήμασι BV. — Ib. χρωμένοις AX; χρώμεθα οὖν BUV. — 15. ἑφθῇ παραλαμβανέσθω καὶ κεφαλωτὸν πράσον..... ἡψημένον καὶ οἱ ἁπαλώτατοι ἰχθύες AX; ἑφθῇ καὶ κεφαλωτὸν (-ῶν V) πράσον (-ων id.)... ἑψημένον (ἡψημένων V) καὶ οἱ (om. V) ἁπαλώτατοι ἰχθύων (ἰχθύσι 1e m.; ἰχθύς 2e m. V) UV. — 16. καὶ τὰ καταπλ. A; καταπλ. V. — Ib. παραλαμβανέσθωσαν BC. — 17. Κατεπειγόντων AX. — Ib. καί om. BUV. — 18. καί om. BUV. — Ib. δέ et τά om. U. — Ib. αὕτη om. A. — 19-20. ξηρὸν γένηται AX. — 20. τὸ δὲ ἔλαιον μ. χυλόν (χυλῷ V 2e m.) UV. — 23. κινεῖ μὲν οὔρ.] κειμένου ῥῆσιν A. — 24. τὰς δὲ..... λύει om. C 1re m. — 25. διαμένωσιν A. — Ib. τῷ om. BU.

ὑγρῶν ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας, ποδηγοῦνται ἐκ τῶν δραστικωτέρων διουρητικῶν ἐπὶ τὴν κύστιν ἤδη προκεκμηκυῖαν.

κα'. Περὶ *ἰσχουρίας.*

Τὸ τῆς ἰσχουρίας πάθος καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ· ἴσχεται γὰρ τοῖς πάσχουσι παντάπασι τὸ οὖρον, ποτὲ μὲν διὰ ἀτονίαν τινὰ μὴ δυναμένης τῆς κύστεως περιστέλλεσθαι σφοδρῶς τοῖς ἐν αὐτῇ περιεχομένοις καὶ ἐκθλίβειν αὐτά· ποτὲ δὲ τοῦ κάτω πόρου φραχθέντος ὑπὸ παχέων ὑγρῶν, ἢ λίθου σφηνωθέντος, ἔστι δὲ ὅτε καὶ διὰ φλεγμονὴν ἤ τινα τοιοῦτον ὄγκον εἰς στενοχωρίαν ἄγοντα τὸν πόρον καὶ τελείως ἀποφράξαντα. Καὶ αἷμα δὲ θρομβωθὲν ἐν τῇ κύστει αἴτιον τῆς ἰσχουρίας γίνεται, καὶ πύον παχὺ ἐκκρινόμενον διὰ αὐτῆς ἀπὸ νεφρῶν ἢ ἥπατος ἤ τινος ἑτέρου τῶν ὑπερκειμένων ἰσχουρίαν πολλάκις ἐργάζεται. Γίνεται δὲ πολλάκις τὸ τῆς ἰσχουρίας σύμπτωμα καὶ τοῖς ὑγιαίνουσιν, ὅταν ἤτοι διὰ περίστασίν τινα πραγμάτων ἢ ἐν ἐκκλησίαις, ἢ δικαστηρίοις, ἢ ὕπνοις ἐπιπλέον κατάσχωσι τὸ οὖρον· πάσχει γὰρ ἐν τούτῳ ἡ περισταλτικὴ τῆς κύστεως δύναμις διὰ τὴν ἄμετρον ὑπερπλήρωσιν καὶ τάσιν· ἀλλὰ καὶ ἐπὶ ὅσον τὸ τῆς κύστεως κύτος πληρούμενον περιτείνεται, στενώτερος ἑαυτοῦ γίνεται ὁ πόρος. Τὴν μὲν οὖν διὰ φλεγμονὴν γινομένην ἰσχουρίαν θεραπεύειν, φλεβοτομοῦντας, ἐπιβρέχοντας, καταπλάττοντας, καὶ τὰ ἄλλα ποιοῦντας τὰ ἐπὶ φλεγμονῆς πολλάκις εἰρημένα καὶ ῥηθησόμενα. Αἱμοῤῥαγίας δὲ προηγησαμένης τεκμαίρεσθαι χρὴ, ὡς θρόμβοι αἵματος αἴτιοι τῆς ἰσχουρίας ἐγένοντο, καὶ τούτους διαλύειν τῷ ῥηθησομένῳ τρόπῳ ἐν τῷ Περὶ τῆς αἱμοῤῥαγούσης κύστεως τόπῳ. Εἰ δὲ λίθος εἴη αἴτιος τῆς ἰσχουρίας, καὶ τοῦτον ἀποσείειν τοῦ πόρου, καθὼς ἐπὶ λιθιάσεως προείρηται. Εἰ δὲ πάχος χυμῶν αἴτιον γέγονε, ταῖς ἐπιβροχαῖς καὶ ἐγκαθίσμασι καὶ καταπλάσμασι πιστεύειν τὴν θεραπείαν, διουρητικῶν δὲ ἀπέχεσθαι παντάπασιν ὡς προείρηται ἐν τῷ Περὶ τῆς ἐν πυρετοῖς δυσουρίας τόπῳ. Οἷς δὲ ἄνευ φλεγμονῆς ἢ αἱμοῤῥαγίας ἢ ἄλλου τινὸς τῶν εἰρημένων ἐπίσχεται ἡ τοῦ οὔρου ἔκκρισις, διὰ τὴν τῆς κύστεως δυσαισθησίαν δηλονότι γέγονε, καὶ ἐρεθιστέον ὑπομιμνήσκοντας τὴν ἐνέργειαν, καὶ βοηθοῦντας διὰ ἐγκαθισμάτων, νίτρῳ τε παραπτομένους τοῦ πόρου, ἢ ἀφρονίτρῳ, ἢ κόρεσι τεθλασμέναις. Εἰ δὲ μὴ ὑπακούοι, καθετηριστέον αὐτοὺς καὶ κομιστέον τὰ οὖρα διὰ τοῦ καθετῆρος· διουρητικοῖς δὲ μὴ ποτίζειν, ὡς μὴ τῷ πλήθει προσδιατείνηται ἡ κύστις. Ἐπὶ δὲ τῶν ὑγιαινόντων ὅταν ὡς

1. *δραστικ.*] *σφοδροτέρων* AX. — 2. *προβεβηκ.* BV. — 4. *παντ* om. V. — 7. *καί* om. V; *ἢ καί* X. — 8. *δέ* om. V. — 9-12. *τῶν ὑπερκ..... τὸ οὖρον* om. V. — 10. *ὑποκειμ.* UX. — Ib. *πολλ.* avant *τό* om. AX. — 12. *ἢ ἐν δικαστ.* BCUV. — 13. *τοῦτο* A; *τούτοις* BCUV. — Ib. *ἡ περιστ.* om. U. — 15. *διά* om. U. — 16. *ἐπιβρ. τε καί* BC; *ἐπιβρ. καί* UVX. — 17. *τά* om. U. — Ib. *δέ* om. UV 1ᵉ m. — 19. *αἱμοῤῥαγίας* BCUV. — 21. *εἴρηται* BCUV. — 23. *τῆς ἐν* om. A. — 24. *φλ. καὶ αἱμ.* BCV. — Ib. *ἑτέρου* BCUV. — 24-25. *ἐπ. τοῦ οὔρ. ἡ ἔκκρ.* C; *ἐπ. τὸ οὖρον* (V 1ᵉ m.; *τῶν οὔρων* 2ᵉ m.) *ἡ ἔκκρ.* BV. — 27. *πόρου καὶ ψ* (*ψιμυθίῳ?*) *ἢ ἀφρ.* B. — Ib. *τεθλασμένοις* A (qui a *παραπτομένοις*, l. 26-27) X; *τεθλασμένης* V 1ᵉ m. — 27-28. *Εἰ δὲ μὴ ὑπακούει κατεφιστέον* U. — 28. *αὐτοῖς* AX. — Ib. *διουρητικά* BC. — Ib. *μή* om. U.

προείρηται, διά τινα περίσΊασιν πραγμάτων ἐπιπλέον κατασχεθὲν τὸ οὖρον εἰς ἀτονίαν ἄγῃ τὴν κύσΊιν, ἐπιβοηθεῖν δεῖ αὐτῇ, ἄνωθεν τοῦ ὑπογασΊρίου ἐρείδοντας ἀμφοτέρας τὰς χεῖρας καὶ ἐκθλίβοντας τὸ οὖρον ἠρέμα.

κβ' (ιδ'). Περὶ ψωριώσης κύσΊεως.

Τοῖς ψωριῶσι τὴν κύσΊιν κνησμὸς παρέπεται τοῦ τε ὑπογασΊρίου καὶ τοῦ ἤτρου, ἔν τε τοῖς οὔροις τραχεῖαι καὶ πιτυρώδεις ὑποσΊάσεις παρεμφέρονται. Προϊοῦσα δὲ ἡ νόσος καὶ ἑλκοῖ τὴν κύσΊιν, καὶ τὰ ἐπὶ τῶν ἑλκῶν προειρημένα συμπΊώματα ἐπιφέρει. Γινώσκειν μὲν οὖν χρὴ ὡς οὐκ ἔσΊι πάντῃ ἰάσιμον τὸ πάθος· πειρᾶσθαι δὲ ὅμως κατὰ τὸ δυνατὸν παρηγορεῖν. Τῶν μὲν οὖν δακνόντων καὶ τοὺς χυμοὺς δριμυτέρους καὶ ἁλμυρωτέρους ἀποδεικνύντων κελεύειν ἀπέχεσθαι. ΠροσΦέρειν δέ οἴνους γλυκεῖς καὶ γάλα, καὶ ζωμὸν ὄρνιθος, ἢ ἐριφείων, ἢ ἀρνείων κρεῶν τὸν ζωμὸν, καὶ τῶν φοινίκων τὸ ἀπόβρεγμα, καὶ σεμίδαλιν, καὶ ἄμυλον, καὶ ῥοφήματα, καὶ τὰ ἐκ τούτων σκευαζόμενα, ἰχθύας τε ἁπαλοσάρκους ἑφθοὺς σύμπαντας, καὶ λαχάνων ὅσα τὰς μὲν οὐρήσεις ὑπάγει, οὐδεμίαν δὲ δῆξιν ἔχει, οἷον σΊαφυλίνους πάνυ καθέφθους, καὶ κρῆθμα, καὶ μάραθρα, καὶ ἱπποσέλινα, καὶ ἀσπαράγους, καὶ σικυοὺς, καὶ ὅσα τοιαῦτα· δεῖ γὰρ καὶ τοῖς οὐρητικοῖς ὑποκαθαίρειν τὴν κύσΊιν, ἀλλὰ πρᾳότερον· κίνδυνος γὰρ ἑλκῶσαι τοῖς ἰσχυροτέροις, ὃ παντός ἐσΊι κάκιον. Ἀγαθὰ οὖν οὐρητικὰ καὶ οἱ καρκίνοι, καὶ αἱ πίνναι, καὶ οἱ θαλάσσιοι ἐχῖνοι πρόσφατοι, καὶ τοῦ χερσαίου ἐχίνου ἡ σὰρξ ξηρανθεῖσα καὶ πινομένη ὅσον ∠α'. Οὐδὲν δὲ ἧτΊον καὶ οἱ τέτΊιγες καὶ τὰ λεγόμενα γῆς ἔντερα τρία πινόμενα μετὰ γλυκέος. Οὐκ ἀνάρμοσΊον δὲ οὐδὲ τήλεως χυλὸν μετὰ μέλιτος ῥοφᾷν· τοῦτο καὶ τὰς τοῦ ἐντέρου δήξεις ἀμβλύνει, καὶ εἰ ἐπὶ κύσΊιν τράποιτο, πρᾳότερον ταῖς ψώραις ἐσΊίν· τοῦτο δὲ ποιεῖ καὶ ἡ τραγάκανθα. Χαίρουσι δὲ καὶ μύρτων ἀπόβρεγμα πίνοντες μετὰ οἴνου, ἢ μήλου κυδωνίου ἀπόβρεγμα, ἤ τινος ἄλλης σΊυφούσης ὀπώρας· τὰ τοιαῦτα δὲ, λέγω τὰ σΊύφοντα, τοὺς μὲν κνησμοὺς παρηγορεῖ, τὴν δὲ διάθεσιν οὐκ ἰᾶται. Ἡ δίαιτα δὲ εὐχυμοτάτη ἔσΊω, καὶ ἐμείτωσαν δι' ἡμερῶν τινων, καὶ ὀῤῥῷ γάλακτος ὑπαγέσθω ἡ κοιλία, καὶ γυμναζέσθωσαν δὲ συμμέτρως μέτρια γυμνάσια.

2. τῷ ὑπογασΊρίῳ AX. — 2-3. ἐρείδοντες...... ἐκθλίβοντες AUV 1e m. X. — 3. ἠρέμα] Après ce mot B a seulement deux recettes; mais dans ACVX on trouve une série de recettes dont la première se lit dans Cornarius, comme dans U, à la fin du chapitre, et dont les autres constituent la fin du chapitre 22 et le chapitre 23 de Cornarius. Dans les manuscrits le chapitre κβ' vient après le chapitre λα'. J'ai suivi l'ordre de Cornarius. — Ch. 22, l. 6. καί avant ἑλκοῖ om. BCUV. — 8-9. δριμυτέρους] παχυτέρους U. — 9. δέ] μέν AU. — 10. ὄρνιθος...... ζωμόν om. A. — 11. καί avant τά effacé dans V. — 13. μὲν οὖν A. — Ib. ἔχει ex em.; ἔχοντα ABCVX; ἔχουσι U. — 14. καὶ σέλινα καὶ ἱπποσ. BCUV. — 15. ἀλλά om. BCUV. — 17. διουρ. BCUV. — 18. ἡ om. B. — 21. εἰ om. A. — Ib. τρέποιτο BUV. — 26. δέ om. B.

κδ' (ιε')· Περὶ παραλυθείσης κύστεως. Ἐκ τῶν Ἀρχιγένους.

Οἱ παραλυθέντες τὴν κύστιν οἱ μὲν ἀπροαιρέτως ἐκκρίνουσι τὸ οὖρον, καὶ ὅσον ἐπὶ τούτῳ, ἔχουσιν ἀκινδυνότερον, οἱ δὲ οὐκ ἀποκρίνουσιν, ἀλλὰ κατέχοντες διατείνονται τήν τε κύστιν καὶ τὴν ὀσφὺν καὶ τὸ ἦτρον, καὶ ἐν οἰδήματι τοὺς μηροὺς ἔχουσι, καὶ μὴ ἐξουρησάντων αὐτῶν, νεκροῦται τὰ ὑποκείμενα, καὶ οὐκ εἰς μακρὰν τελευτῶσιν. Ὅταν μὲν οὖν βλαβῆναι συμβῇ τὰ ἐκ τοῦ νωτιαίου ἐπὶ τὸν κλείοντα τὸν τράχηλον τῆς κύστεως μῦν παραγινόμενα νεῦρα, παραλυθέντος τοῦ μυὸς, ἀκούσιος τοῦ οὔρου ἔκκρισις γίνεται· ἐὰν δὲ τὰ μὲν τῆς κύστεως ἴδια νεῦρα πάθῃ, τὰ δὲ τοῦ σφίγγοντος αὐτῆς τὸν αὐχένα μυὸς ἐνεργῇ διασώζοντα τὴν ἑαυτῶν δύναμιν, κατέχεται τὸ οὖρον. Λορδωθείσης δέ ποτε τῆς ῥάχεως ἐπὶ καταπτώσει καὶ Φλεγμονῆς ἐπιγενομένης, τῇ τρίτῃ τῶν ἡμερῶν συνέβη ἡ τῶν οὔρων ἐπίσχεσις. Ἐθεραπεύσαμεν δὲ αὐτὸν Φησιν ὁ Γαληνὸς (*Loc. affect.* VI, 4) ὡς πρὸς Φλεγμονὴν ἐνιστάμενοι. Ἑτέρου δὲ καταπεσόντος, καὶ μεταστάντων ὀπίσω τῶν σπονδύλων, τὸ οὖρον ἀκουσίως ἐξεκρίνετο χωρὶς ὀδύνης τῆς κύστεως, ἐφ' οὗ ἐτεκμαιρόμεθα πεπονθέναι τὸ νεῦρον τοῦ κλείοντος τὴν κύστιν μυὸς, καὶ διὰ τοῦτο τὴν θεραπείαν τῷ νωτιαίῳ προσήγομεν, λέγω δὴ τοῖς πεπονθόσι σπονδύλοις. Τοῖς μὲν οὖν κατέχουσι τὰ οὖρα ἄνευ καταπτώσεως βοηθεῖν χρὴ τούτῳ τῷ τρόπῳ· ἐγκαθιστέον αὐτοὺς συνεχῶς εἰς ἀφέψημα τήλεως, λινοσπέρμου, ἀλθαίας, πηγάνου, ἀρτεμισίας μετὰ ἐλαίου, καὶ ἐμβρεκτέον καὶ ἐπαντλητέον τοὺς τόπους ἐλαίῳ θερμῷ πηγανίνῳ, ἢ σικυωνίῳ, ἢ γλευκίνῳ πολλάκις τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ μάλιστα μετὰ τὸ ἐγκάθισμα· καὶ σικυαστέον δὲ τοὺς τόπους, καὶ καταπλαστέον ὠμῇ λύσει διὰ οἴνου γλυκέος, ἢ οἰνομέλιτος· κλύζειν δὲ τὴν κοιλίαν ἀφεψήματι κενταυρίου, καὶ σικύου ἀγρίου ῥίζης, καὶ ἐλαίου πηγανίνου καὶ μέλιτος. Μετὰ δὲ τοὺς κλυσμοὺς ἐνιέναι πηγάνινον ἔλαιον καὶ σικυώνιον, προσπλέκοντας ἐνίοτε καὶ καστορίου βραχὺ, καὶ ἀλείμματα δὲ καὶ ἄκοπα συγχρίσματα τὰ πρὸς τὰς παραλύσεις ἀναγεγραμμένα προσάγειν τῇ τε ῥάχει καὶ τῷ ὑπογαστρίῳ. Προποτιστέον τε καὶ καστορίῳ ἢ τῇ θηριακῇ· ὀλιγοποσία δὲ αὐτοῖς ἁρμόδιος, καὶ ἔμετοι Φλέγμα ὑπεξάγοντες. Μετὰ δὲ τὰς κενώσεις καὶ σιναπίζειν τό τε ἦτρον καὶ τὴν ὀσφὺν, εἶτα κηρωταῖς πραΰνειν τὰ μέρη, καὶ μαλάγματα ἐπιτιθέναι εὐώδη. Τὰς δὲ ἐπὶ ῥάχεως τραύματι, ἢ πτώματι, ἢ ὀλισθήματι σπονδύλων, ἢ θανατικαῖς συν-

Ch. 24, tit. Ἀρχιγ.] Ἐγράφη δὲ καὶ (om. V) ἐν τῷ ζ' λόγῳ Περὶ τούτου (Παρὰ τοῦ V) Ἀρχιγ. AVX. — 3. τε om. BCV. — 5. κλείνοντα AX. — 7. τῆς om. U. — 12. καὶ μεταστάντων ex em.; μεταστάντων BCMOUV; μετὰ τῶν AX. — Ib. ὀπίσω] ὀλίγως B 2° m. — 12-13. ἐκκρίνετο V 1° m.; ἐκκρίνεται BU. — 14. κλείνοντος X. — Ib. προσηγάγ. BCUVX. — 15. οὖν om. U. — 16. ἐγκαθ. οὖν αὐτοῖς AX. — 18. ἐξαντλ. ABVX. — 18-20. ἐλαίῳ... τόπους om. M. — 19. καὶ μ. καὶ μετά A; καί om. X. — 20. καί om. V. — Ib. ἐν ὠμῇ BCMUV. — Ib. οἴνου τε γλ. BCMOU VX. — 24. τὰ πρός om. A. — 25-26. Προποτ... κενώσεις om. MV qui, après ὑπογ. (l. 24-25), ont προκενώσας. — 25. δὲ καί CM; καί om. BOX. — Ib. καστορίου ἢ τῆς θηριακῆς CU; κ. ἢ θηριακῆς BV. — 27. εἶτα κηρ. μετὰ ταῦτα (gl. de εἶτα?) πραΰνειν AUVX. — Ib. τιθέναι BCMOV. — 28. τραύμασι ἢ πτώμασι ἢ ὀλισθήμασι BCM (qui om. ἢ πτώμ.) O. — Ib. ἢ ὀλ...... θανατ. om. A qui ajoute καί avant συνδρ.

δρομαῖς συνεδρευούσας ἰσχουρίας ἀδύνατον ἰᾶσθαι, ὅθεν παραπεφυλαγμένως βοηθεῖν δεῖ. Τοὺς δέ ἀπροαιρέτως ἐκκρίνοντας τὸ οὖρον θεραπευτέον τονοῦντας διὰ τῶν δακνόντων καταπλασμάτων τε καὶ μαλαγμάτων, καὶ τῶν διὰ νάπυος φοινιγμῶν, καὶ ἄμμῳ διαπύρῳ ἐν ἡλίῳ χωννύντας, καὶ αὐτοφυέσιν ὕδασι πρῶτον μὲν θερμοῖς χρωμένους, ἔπειτα δὲ καὶ τοῖς ψυχροῖς, καὶ μάλιστα τοῖς θειώδεσιν, ἢ ἀσφαλτώδεσι. Γυμνάζειν δὲ καὶ ἀνατρίβειν τὰ μέρη ὥσπερ ἐν τῷ Περὶ παραλύσεως χωρίῳ προείρηται, οὐρητικά τε μὴ προσφέρειν. Ἡ δὲ δίαιτα θερμοτέρα καὶ ξηροτέρα ἔστω, εἰ μὴ δριμύτερα καὶ δηκτικώτερα φαίνοιτό σοι τὰ οὖρα.

κϛʹ (ζʹ). Περὶ φλεγμαινούσης κύστεως. Ἐκ τῶν Ῥούφου.

Τῶν περὶ τὴν κύστιν νοσημάτων χαλεπώτατον καὶ θανατωδέστατόν ἐστιν ἡ φλεγμονή. Παρέπεται δὲ τοῖς πάσχουσι τὰ κοινὰ τῆς φλεγμονῆς σημεῖα· πυρέττουσι τε ὀξέως καὶ ἀγρυπνοῦσι, καὶ παραπαίουσι, καὶ ἐμοῦσι χολώδη ἄκρατα, καὶ οὐρεῖν οὐ δύνανται, σκληρύνεται δὲ τὸ ἦτρον καὶ τὸ ἐφήβαιον μετὰ ὀδύνης ἰσχυρᾶς, προθυμίαι τε τεινεσμώδεις πρὸς ἔκδοσιν γίνονται· τὸ δὲ ἐκδιδομένον λεπτὸν, ὑπόστασιν οὐκ ἔχον. Ἐνίοτε δὲ καὶ πνευματώσεις ἐπακολουθοῦσι, καὶ ἡ κοιλία ἐπέχεται τοῦ ἀπευθυσμένου ἐντέρου παραπιεζομένου ὑπὸ τῆς ἐν τῇ κύστει φλεγμονῆς. Τούτων, εἰ μηδὲν ἕτερον κωλύοι, φλέβα τέμνε, μὴ εἰς μακρὰν, ἀλλὰ ἀρχομένης τῆς νόσου. Ἐν ὀλιγοσιτίᾳ δὲ τηρεῖν καὶ ὑδροποσίᾳ, ἐμβρέχειν τε τοὺς τόπους ἐλαίῳ ἐν ᾧ ἄνηθον, λινόσπερμον, ἐνίοτε δὲ καὶ πήγανον, καὶ ἀλθαία ἐναφήψηται, καὶ ἐγκαθίζειν εἰς ἀφέψημα λινοσπέρμου, καὶ τήλεως· καί τι σπερμάτιον συνεψέσθω τῶν εὐωδῶν οἷον πετροσέλινον, δαῦκον, ἄνισον παρακαλοῦντας οὐρεῖν ἐν τῷ ὕδατι· οὐ γὰρ εὐτονεῖ ἡ κύστις περιστέλλεσθαι, καὶ ἐκπέμπειν τὸ οὖρον. Αὐτὸν οὖν τὸν πάσχοντα ἤ τινα παραστάντα εὐφυῶς δεῖ πιέζειν ἠρέμα τὸ ἦτρον, ἀλλὰ μὴ πλέον τοῦ δέοντος, ὡς μὴ ἐπιτείνηται ἡ ὀδύνη. Ἔστι δὲ τὸ ἐπινόημα τοῦτο Φιλομήλου, καὶ οὔρησεν ὁ ἄνθρωπος αὐτῷ ποιήσαντι οὕτως. Πρῶτον δὲ ὑποκλυζέσθω ἡ κοιλία μαλακῷ κλύσματι, καὶ μετὰ τὴν τῶν σκυβάλων ἔκκρισιν ἐνιέσθω ἐκ τοῦ προειρημένου τῆς ἐμβροχῆς ἐλαίου εἰς τὸ ἔντερον παρηγορίας χάριν· ἄμεινον δὲ εἰ καὶ κωδύαν μήκωνος

3. τε om. BCMOUV. — 5. καί avant μάλ. om. AX. — 6. τε X. — 7. δὲ μὴ πρ. BCUV. — 8. δηκτ. εἶναι φαίνοιτο BCMOV 2e m.; la 1re m. a ἔσται. — Ib. οὖρα] Suit dans ACUX un ch. de recettes : Πρὸς τοὺς ἐνουροῦντας κατὰ τοὺς ὕπνους, Ἀρχιγένους (ch. 25 de Corn.). BV n'ont que la fin de ces rec. depuis les mots *Cæterum in somno, etc.* (Corn. ch. 25). — Ch. 26, tit. φλεγμονῆς CV. — 9. ἐστιν transp. av. καί BCV; om. U. — 11. τε] γάρ BC; om. V. — 12. τό avant ἦτρον om. AUX. — 12-13. προθυμίεται A. — 13. ἔκκρισιν... ἐκκρινόμ. C; ἐκκρ.... ἐκδ. X. — 14. Ἔστιν ἐνίοτε B. — 15. παρὰ (lac.) περιπιεζομένου B; παραγ (lac.) V 1re m.; περιπιεζ. 2e m.; περιπιεζ. U. — Ib. ὑπό] παρά X. — Ib. τῇ om. BCUV. — 16. τέμνειν AX. — 17. ἐλαίῳ om. A. — 18. ἀλθαιανεναφέψηται (sic) A; συναφήψηται BCUV. — 20. πετροσελίνου et les deux autres mots au gén. BV. — Ib. παρακαλοῦντα AV. — 21. Αὐτόν τε οὖν AUV. — 21-22. τινὰ ἕτερον π. BC. — 23. ἐπιτείνοιτο C. — Ib. Φιλουμένου BCV 2e m.; Φιλομήλου AV 1re m. X. — 24. αὐτῷ ποιήσαντος C; αὐτοῦ ποιήσαντος BU; *a se tractatum* Corn. — 24-25. μαλακοῖς κλύσμασι BCUV. — 26-p. 110, l. 1. δὲ ἡ καὶ κωδύαν μηκ. συνέψις τό (sic) A. — 26. εἰ om. BCV. — Ib. κωδύας BCUV.

συνέψοις τῷ ἐλαίῳ, καὶ στέαρ χηνὸς ϖρόσφατον, ἢ ὄρνιθος διατήκων ἐν αὐτῷ ἐγχέοις. Ἐγὼ δέ, φησιν ὁ Ῥοῦφος, δηλονότι σφοδροτέρων οὐσῶν τῶν ὀδυνῶν, καὶ ὀπίου ὅσον ὄροβος μετὰ σμύρνης καὶ κρόκου βραχέος χρίσας εἰς ἔριον ὑπέθηκα τῷ δακτυλίῳ· καὶ αὐτίκα μὲν αἱ ὀδύναι ἐπαύσαντο, αὐτίκα δὲ ἐκοιμήθη ὁ ἄνθρωπος. Μετὰ δὲ τὸν κλυστῆρα καὶ τὰ ἐνέματα καὶ ἐγκαθίσματα καὶ ἐμβροχὰς καταπλάσσειν ταῖς ὠμαῖς λύσεσι κωδύας μήκωνος ἐμβάλλοντας, καὶ ὑοσκυάμου φύλλα, καὶ μανδραγόρου χυλὸν βραχύν. Πυριᾶν δὲ κύστεσι βοείαις ἡμιπληρέσιν ἐλαίου θερμοῦ, ἢ ἄλευρον θερμὸν ἐν μαρσυπίοις ἢ ῥάκεσιν ἀποδεσμῶν ϖρόσαγε ϖυρίαν. Μετὰ δὲ τὰ καταπλάσματα καὶ κηρωτὰς ἐπιτιθέναι διὰ οἰσύπου καὶ κηροῦ, καὶ σικυωνίου ἢ γλευκίνου ἐλαίου ϖεποιημένας μετὰ καστορίου. Ἐπιμενόντων δὲ τῶν σκληρῶν, καὶ σικύας ϖροσάγειν τοῖς τόποις μετὰ κατασχασμοῦ· μετὰ δὲ ϖαρακμὴν ἀξιόλογον ἐπὶ τὰς ἐμπλάστρους καὶ τὰ μαλάγματα ϖαραγίνεσθαι. — Τὴν δὲ τοῦ καθετῆρος κάθεσιν φλεγμαινούσης κύστεως ἀνδρὶ μὲν ἀποδοκιμάζω· διὰ γὰρ τὸ ἐργωδῶς καθίεσθαι τὰς ὀδύνας ϖαροξύνει, καὶ ἐπιτείνει τὰς φλεγμονάς· γυναικὶ δὲ οὐκ ἄτοπον καθιέναι· βραχύς τε γὰρ ἐπὶ τούτων ὁ οὐρητικὸς ϖόρος καὶ κατὰ εὐθὺ ϖέφυκεν, ὥστε ἀνωδυνώτερον διαχειρίζεσθαι. Εἰ δὲ κατεπείγοι ὁ κατὰ ἰσχουρίαν κίνδυνος, ἐξ ἀνάγκης ἐπὶ τὸν καθετηρισμὸν ϖαραγίνεσθαι, οὐχ ὡς ἀπαλλακτικὸν τῶν δεινῶν ϖαθῶν, ἀλλὰ ὡς κατεπείγουσαν ἰσχουρίαν διορθούμενον, καὶ τοῦ ϖρὸς τὸ ὀξὺ κινδύνου ῥυόμενον· μετὰ δὲ τὴν τοῦ οὔρου ἔκκρισιν ϖάλιν ἐπὶ τὰ αὐτὰ ϖαρηγορητικὰ βοηθήματα ϖαραγίνεσθαι μέχρι λύσεως τῆς φλεγμονῆς ἢ μεταβολῆς. Λύεσθαι δὲ ϖολλάκις εἴωθεν ἡ φλεγμονὴ αἰφνίδιον ἐρυσιπέλατος κατὰ τῆς ἐπιφανείας ἀποτελεσθέντος, καὶ μένοντος, καὶ μὴ ϖαλινδρομοῦντος εἴσω. Καὶ οὔρων δὲ ἱκανῶν ἐκκριθέντων ϖολλάκις ὁμοίαν κρίσει τὴν ἀπαλλαγὴν ἐποιήσατο· οὐδὲν ἧττον μέντοι καὶ τούτων ἐπιφανέντων ἐπιμένειν χρὴ τοῖς αὐτοῖς βοηθήμασι, ἐπειδὴ ὡς τὸ ϖολὺ τάσεώς τινος ἀποτελεσθείσης οἱ ϖαροξυσμοὶ συνεχεῖς γίνονται καὶ ἡ κατασκευὴ χρόνιος. Τῶν δὲ κινδυνωδῶν συμπτωμάτων ϖαυσαμένων καὶ χρονιζούσης ἤδη τῆς κατασκευῆς, ἐπὶ τὰ μετασυγκριτικὰ ἀλείμματα καὶ μαλάγματα ϖαραγίνεσθαι δεῖ φοινίσσειν τὴν ἐπιφάνειαν δυνάμενα.

1. συνέψεις X; συνεψεῖν BCUV. — Ib. διαιτήκοντας C. — Ib. ἐγχέειν BC. — 2. δέ om. A. — Ib. δηλονότι om. B. — Ib. ὄντων V. — 3. ὀρόβου μέγεθος μετά C. — Ib. βραχύ AUV. — Ib. χριεις (sic) ἔριον A; τρίψας εἴς ἔρ. X. — 4. αὐτίκα om. BCU, qui mettent δέ après ἐκοιμ.; *statim* Corn. — 5. καί avant ἐγκ. om. AUX. — Ib. καί avant ἐμβρ. om. U (qui transp. cette partic. avant καταπλ.) V qui a : ἐμβροχαῖς et καταπλάσμασι. — 6. ἐμβάλλων AX; ἐκβάλλων V. — 7. ὑδρελαίου UVX. — Ib. ἄλευρον (τῶν ἀλεύρων V) θερμῶν (B a θέρμων) BCV. — 8. ἀποδεσμοῦντας ϖροσάγειν καὶ ϖ. BC; ἀποδεσμῶντας ϖρόσαγε ϖυριῶν V; ἀποδεσμῶν ϖρόσαγε ϖυριῶν U. — 9. ὑσσώπου BCU (qui omet καί av. κηροῦ) V. — Ib. καί avant σικ. om. A. — Ib. σικ. ἐλ. ἢ γλ. (om. καί avant σικ.) BCV. — 10. δέ] μέν V; μέντοι B. — Ib. ϖροσάγουσι V; ϖροσακτέον B. — 11. τὴν ϖαρ. BCV. — 13. οὐκ ἀποδ. X. — Ib. ἀποδοκιμάζειν B; ἀποδοκιμάζων UV. — Ib. ταῖς ὀδύναις BV 1ᵉ m. — 15. ϖόρος ἐστί BCV. — 17-19. οὐχ ὡς... ϖαραγ. om. V. — 22-23. ἐποιήσαντο AC. — 23. ἐπιφ. καὶ τούτων BCV qui transportent χρή après βοηθ. (l. 24). — 26. συγκριτικά BUV. — 27. δεῖ om. AX.

κζ'. (η', θ', ι'). Περὶ τῆς ἐκ κύσΊεως αἱμοῤῥαγίας καὶ τῶν ἐν αὐτῇ θρόμβων.
Ἐκ τῶν Ῥούφου.

Ἔσ7ι δὲ καὶ ἄλλη νόσος ὀξεῖα ἐν κύσ7ει· ῥήγνυται δὲ Φλὲψ ἐν αὐτῇ, καὶ τὸ μέν τι ἔξω διαδίδωσι τοῦ αἵματος, τὸ δέ τι εἴσω πήγνυται· πηγνυμένου δὲ τοῦ αἵματος καὶ θρόμβων γενομένων, συμβαίνει τὸν πάσχοντα λιποψυχεῖν τε καὶ ὠχριᾷν, καὶ μικροὺς καὶ ἀμυδροὺς καὶ πυκνοὺς ἴσχειν τοὺς σφυγμοὺς, ἀλύειν τε καὶ καταψύχεσθαι καὶ διαλύεσθαι τὸν τόνον. Ἐμπεσόντος δὲ ἐνίοτε θρόμβου κατὰ τὸν οὐρητικὸν πόρον καὶ τὴν τοῦ οὔρου ἔκκρισιν ἐπέχει. Δυσιατοτέραν δὲ ἡγητέον τὴν ἐξ ἀναβρώσεως αἱμοῤῥαγίαν. Βοηθεῖν δὲ χρὴ ὡς ὅτι τάχισ7α, καθὼς κἀν ταῖς ἄλλαις αἱμοῤῥαγίαις, σφίγγοντα τὰ ἄκρα καὶ σκέποντα τὸ ἦτρον σπόγγοις βεβρεγμένοις ὀξυκράτῳ. Εἰ δέ τις Φλεγμονὴ ὑποπ7εύοιτο, οἰσυπηρὰ ἔρια οἴνῳ καὶ ῥοδίνῳ βρέχων ἐπιτίθει· διὰ δὲ τὸν προειρημένον κίνδυνον σύντομον καὶ τὴν θεραπείαν ποιεῖσθαι προσήκει, καὶ ἐν μηδενὶ ἀναβάλλεσθαι, καὶ, εἰ μηδὲν κωλύοι, Φλεβοτομεῖν· μεμερίσθαι δὲ προσήκει τὴν κένωσιν, ἵνα τῇ πλεισ7άκις γινομένῃ κατὰ βραχὺ ἀφαιρέσει ἀντίσπασις τοῦ αἵματος γένηται. Σχηματισ7έον δὲ τὸν πάσχοντα ἐν τῇ κατακλίσει ἀνάῤῥοπον, καὶ ὑποθετέον τοῖς ἰσχίοις τι ὑπὲρ τοῦ καὶ αὐτὰ ἐμψύχεσθαι. Ἤτοι οὖν σπόγγους ἐξ ὀξυκράτου, ἢ δέρμα ὑποσ7ρωννύειν. Ἄκρως δὲ ποιοῦσιν ἐν ταῖς ἐπείξεσι καὶ αἱ σικύαι κολλώμεναι κατὰ τὰς λαγόνας καὶ τὴν ὀσφύν. Μετὰ δὲ τὰς ἐμβροχὰς καταπλάσσειν πολυγόνῳ, βάτῳ, ἀρνογλώσσῳ, περδικίῳ, ῥοᾶς ἄνθεσιν ἢ κυτίνοις, σχίνου Φύλλοις καὶ μυρσίνης· τούτων ἕκασ7ον μετὰ πάλης ἀλΦίτου καταπλάσσειν, καὶ πυκνὰ ἀφαιρεῖν πρὶν γενέσθαι χλιαρὸν, καὶ ἕτερον ἐπιτιθέναι. Κάλλισ7α δὲ ποιεῖ καὶ τὰ διὰ Φοινίκων καὶ ἀκακίας καὶ ὑποκισ7ίδος καὶ σ7υπ7ηρίας καὶ τὰ τούτοις ὅμοια σκευαζόμενα· ποιεῖ δὲ ἄκρως καὶ σποδὸς κεκαυμένου ὀθονίου ἤτοι τοῖς Φοίνιξι παραμιγνυμένη, ἢ ἄλλῳ τινὶ τῶν ἐπιθεμάτων ἐμπασσομένη, καὶ σπόγγος δὲ βραχεὶς ὑγρᾷ πίσσῃ καὶ καυθεὶς καὶ μιγνύμενος. Ἐπέχει θαυμασ7ῶς τὰς αἱμοῤῥαγίας τό τε κεκαυμένον ῥάκος, καὶ ὁ κεκαυμένος σπόγγος, οὐ μόνον ἐπιτιθέμενα κατὰ τὸν τόπον, ἀλλὰ καὶ σὺν χυλῷ ἀρνογλώσσου, ἢ πολυγόνου, ἢ τῆς σιδηρίτιδος βοτάνης ἐνιέμενα εἰς τὴν κύσ7ιν μεγάλα ὀνίνησι. Χρὴ δὲ τὸν μὲν αὐλίσκον τὰ ἄλλα εἶναι, ὁποῖός ἐσ7ιν

Ch. 27, l. 1. γίγνεται δὲ καὶ Φ. U. — Ib. τά AV. — 2. ἔτι..... ἔτι BC. — Ib. διάδωσι A; δίδωσι BCUV. — 3. γινομ. BCU. — Ib. τε ὠχρ. X. — 5. Ἐμπεσ. om. U qui porte ἐνίοτε δέ. — Ib. δέ] τε AX. — 7. καί C. — 8. σφίγγοντας... σκέποντας BC. — 11. ἐν om. OV. — Ib. ἀναλαμβάνεσθαι AV 1ª m. — 12. κένωσιν] ἀφαίρεσιν BCOUV. — 13. τοὺς πάσχοντα (-ας B) BOV. — Ib. ἀναῤῥόπους ABOV; *ægri collocentur* Corn. — 14. καί om. U. — 15. σπόγγοις ὀξυκράτῳ βεβρεγμένοις ἢ BC; σπ. ὀξυκρ. ἢ UV; σπόγγοις ἐξ ὀξυκρ. ἢ A. — Ib. δέρμα τι BCV. — Ib. ἐν om. BOUV. — 16. καλλώμεναι BC. — 16-17. καταπλάσμασι χρῆσθαι πολ. BCOU; καταπλάσμασι πολ. V. — 17. πολυγόνου et les autres mots au gén. BO. — 18. καὶ τούτων BV. — Ib. παίπαλης O; πέπαλης V 2ª m. — Ib. καταπάσσειν A; καταπλάσμασι U. — 19. Κάλλισ7ον U. — 20. ὑποκύσ7ιδος καί om. BO; U om. seulem. καί av. ὑποκ. et dev. σ7υπ7. — 21. κεκαυμένη BOUV. — Ib. ἤ BCUV. — 22. καταπλασσομ. BO. — 23. καὶ τὸ κεκαυμ. C. — Ib. καί om. X. — Ib. δέ codd. — 25. χυλῷ om. A. — 26. μεγάλως BC.

ὁ καθετὴρ, ἐξ ἄκρου δὲ ἔχειν ἀπηρτισμένον ἄσκωμα, ἢ Φῦσαν· ἐνίοτε δὲ καὶ τῇ ἕδρᾳ ἐνιέμενα ταῦτα βοηθεῖ· καὶ ἐγκαθίσματα δὲ ἁρμόζει ἐκ τῆς ὁμοίας ὕλης σκευαζόμενα· καὶ γὰρ ὀξύκρατον καὶ ἀφέψημα σχίνου καὶ βάτου καὶ τῶν ὁμοίων ἁρμόσαι ἄν. Διδόναι δὲ καὶ ϖίνειν τὰ ϖρὸς τὰς ἀναγωγὰς τοῦ αἵματος ἁρμόδια Φάρμακα σύνθετά τε καὶ ἁπλᾶ, οἷον τοῦ τε ῥέου ϖοντικοῦ λειοτάτου, καὶ λωτοῦ τοῦ δένδρου ϖρίσματα ἢ ῥινήματα καὶ μάλιστα τοῦ Φλοιοῦ, γλυκυσίδης ἢ ϖαιωνίας τοὺς ἐρυθροὺς κόκκους ιβ', Σαμίαν γῆν, τὴν Λημνίαν σφραγῖδα, ἵππουριν, κενταυρίου μεγάλου ῥίζαν, καὶ λιβανωτοῦ Φλοιὸν, καὶ τὰ τούτοις ὅμοια. — Κάλλιστον δὲ καὶ τοῦτο ᾧ ἐχρήσατο Ἀρχιγένης ϖρὸς τοὺς αἱμοῤῥαγοῦντας. Στυπτηρίας σχιστῆς ∠α', κόμμεως ὀβολὸν α', τραγακάνθης ∠β'· γλυκεῖ διαλύσας χρῶ· ἀναλάμβανε τροχίσκους καὶ δίδου ὀβολοὺς β' μετὰ γλυκέος. — Ἄλλο Ἀσκληπιάδου ϖρὸς τὰς τῆς κύστεως αἱμοῤῥαγίας. Βαλαυστίου, ἀκακίας, ὑποκιστίδος χυλοῦ ἀνὰ ∠δ', στυπτηρίας σχιστῆς ∠β'· ἀναλάμβανε ὕδατι τροχίσκους καὶ δίδου τριώβολον μετὰ μύρτων ἀφεψήματος κυάθων γ'. — Ἄλλο· ῥοῦ ἐρυθροῦ, ῥόδων ἄνθους, βαλαυστίου, ὑποκιστίδος χυλοῦ, τραγακάνθης ἀνὰ ∠δ'· ἀναλάμβανε ὕδατι τροχίσκους καὶ δίδου τριώβολον μετὰ οἴνου μυρτίτου κυάθων γ'. — Ὅσοις δὲ θρομβοῦται τὸ αἷμα ἐν τῇ κύστει, τὰ μὲν ϖρῶτα ϖειρᾶσθαι διαχεῖν Φαρμάκοις· τῆς τε οὖν ἀρτεμισίας διδόναι ϖίνειν, καὶ ἑλιχρύσου, καὶ ὀποῦ κυρηναϊκοῦ, ἢ λασαρίου καθαροῦ, κονύζης μάλιστα λεπτῆς, ἀψινθίου, ῥαφανῖδος σπέρματος, βάτου χυλοῦ, σεύτλου χυλοῦ, λαγωοῦ ϖυτίας ἢ ἐρίφου, ἑκάστου σὺν ὀξυμέλιτι. Ἐγὼ δέ Φησιν ὁ Γαληνὸς (*Loc. affect.* VI, 4), ἔδωκα τούτοις Φάρμακον ϖιεῖν λίθων θρυπτικὸν διὰ ὀξυμέλιτος, αὐτό τε τὸ ϖοτὸν διὰ ὀξυμέλιτος ϖροσΦέρων, καί τισιν αὐτῶν διαλυθέντες οἱ θρόμβοι κατὰ ὀλίγον ἐξεκρίθησαν. Εἰ δὲ μὴ ὑπακούοι, ἀλλὰ ἐποχὴ τοῦ οὔρου κίνδυνον ἐπιφέροι, ἐπὶ τὸν καθετηρισμὸν ϖαραγίνεσθαι, καὶ κομισάμενοι τὰ οὖρα ϖάλιν ϖοτίζομεν τοῖς εἰρημένοις ϖρὸς τὴν τῶν θρόμβων διάλυσιν. Εἰ δὲ μηδὲ οὕτως διαλύοιντο, τέμνειν χρὴ κάτωθεν τὸν ϖερίνεον, ὥσπερ ἐπὶ τῆς λιθιώσης κύστεως, καὶ κομισάμενον τοὺς θρόμβους τὰ ἄλλα ὡς ϖρὸς αἱμοῤῥαγίαν βοηθεῖν τῇ κύστει· ὅταν δὲ μηκέτι αἱμοῤῥαγῇ, ὡς τὰ ἄλλα ἕλκη θεράπευε· τὰς δὲ ἐκ τοῦ καυλοῦ αἱμοῤῥαγίας ἐπιθέματα ψυκτικὰ καὶ ἔγχυτόν τι τῶν ϖροειρημένων ἰᾶται.

1. ἀπερτημένον C. — 4. τάς om. CU. — Ib. τε om. BCV; δέ X. — 5. ϖρίσμα A. — 6. ῥινίσματα BOUV; *scobes et ramenta* Corn. — Ib. ἤτοι BCO; ἤ τα (sic) V. — 6. τῶν ἐρυθρῶν κόκκων codd. — 7. Σαμίας et les autres mots au gén. AX, qui ont aussi καί dev. τήν. — 9. αἷμα οὐροῦντας C texte, V. — 10. ἀναλ. δὲ καὶ τροχ. BC. — 11-16. Ἄλλο..... γ' om. B. — 11. τάς om. U. — 15. ∠ά X. — 17. διαχ. δυναμένοις διδοναι Φ. X. — Ib. καὶ ἑλιχρύσου om. BOV; καὶ ἐγχρ. AU. — 18. μάλιστα om. U. — 18-19. σπέρμα et ϖυτίεν A. — 20-21. Φάρμακα..... θρυπτικά BCOV. — 21. αὐτό τε τὸ ϖοτὸν ὀξυμέλιτι AX; αὐτό τε ϖοτὸν ὀξυμέλιτος BU (qui a τε τό) V. — Ib. ϖροέΦερον X. — 22. τινες AX. — Ib. ὑπακούοι ὁ θρόμβος CO. — 23. ἀλλὰ ἐπέχει (ἐπέχοι V) τὸ οὖρον καὶ κίνδ. ἐπιΦέρει BCUV. — 24. τὰ εἰρημένα BC. — 25. ἐπί om. V. — 27. αἱμοῤῥαγία ἢ BCOV; αἱμοῤῥαγία sans ἢ U. — Ib. ἕλκη] ϖάθη BO. — 28. ἐπιθέμ. ἐπὶ τοῦ καυλοῦ ψ. AUVX; *epith. caulem refrigerantia* Corn.

κη' (ια'). Περὶ τῶν ἐν κύσ7ει Φυμάτων. Ἐκ τῶν Ῥούφου.

Ὅσα δὲ Φύματα ἐν κύσ7ει ϖεπαίνεσθαι χρήζει, τὸ μὲν κράτισ7ον ἐπὶ ἀρχομένων ϖειρᾶσθαι διαλύειν, ἵνα μὴ εἰς ἔμπυον τραπῇ· ἢν δὲ μὴ δύνηται διὰ ταχέων, ϖεπαίνειν βοηθήμασι χρώμενον οἷς καὶ τοὺς νεφροὺς ἔφαμεν καταπλάσσειν, καὶ ϖροσέτι καρδάμῳ μετὰ ἀλεύρου, καὶ ὀρόβῳ μετὰ μέλιτος, καὶ ϖερισ7ερῶν κόπρῳ μετὰ ἰσχάδων, καὶ τοῖς ϖυριάμασι, καὶ τοῖς ἄλλοις οἷς ἐκεῖσε ϖροειρήκαμεν. Τὰ ϖολλὰ μὲν δὴ ϖερὶ τὸν τράχηλον τῆς κύσ7εως ἐκπυεῖ, ὥσ7ε καὶ σ7ραγγουριώδη μᾶλλον γίνεσθαι, ἐκπυεῖ δὲ καὶ ἐν τοῖς γειτνιῶσι τῇ ἕδρᾳ τόποις, καὶ μᾶλλον τὴν ἀπόπατον κωλύει, ἐκπυεῖ δὲ καὶ κατὰ τὸ ἦτρον ἔνθεν ἢ ἔνθεν. Οὐ χαλεπὸν δὲ τεκμαίρεσθαι τὰ εἰρημένα τῇ τε τοπικῇ ὀδύνῃ καὶ τῷ βάρει καὶ τῇ ἁφῇ· σκληρότερα γὰρ καὶ θερμότερα τὰ μέλλοντα ἐκπυεῖν σώματα, καὶ τὰ μὲν ἔξω τρέπεται ϖρὸς τὴν ἕδραν, τὰ δὲ ὅπῃ τετύχηκε ῥέψαντα. Δεινὰ μὲν οὖν καὶ ταῦτα καὶ θανατηφόρα τοὐπίπαν, δεινότερα δὲ τὰ εἴσω ῥηγνύμενα.

κθ' (ια'). Περὶ τῶν τῆς κύσ7εως ἑλκῶν. Ἐκ τῶν Ῥούφου.

Ἑλκωθείσης δὲ τῆς κύσ7εως, εἴτε διὰ ἀπόσ7ημα ἢ Φῦμα ϖροηγησάμενον, εἴτε διὰ ῥῆξιν, εἴτε διὰ ἀνάβρωσιν τὴν ἐκ ῥευματισμοῦ, εἴτε διὰ ἄλλην τινὰ ϖρόφασιν, ϖαρακολουθεῖ τοῖς ϖάσχουσιν ὀδύνη ὀξεῖα τῆς κύσ7εως κατὰ ϖάντα μὲν καιρὸν, μάλισ7α δὲ κατὰ τὰς ἀπουρήσεις καὶ ἐκκρίσεις τοῦ ϖύου. Καὶ εἰ μὲν ῥυπαρὰ εἴη τὰ ἕλκη, τρυγώδη συνεκκρίνεται καὶ μυξώδη καὶ ϖαχείας ὑποσ7άσεις ὥσπερ ἄλευρον ἔχοντα, ϖοτὲ δὲ καὶ ὑμένια λεπ7ὰ ϖεταλώδη συνεκκρίνεται τῷ οὔρῳ. Εἰ δὲ νεμόμενα εἴη τὰ ἕλκη, ὕφαιμα συνεκκρίνεται καὶ ἰχωρώδη καὶ δυσώδη, σὺν δὲ τούτοις δυσουρία τε καὶ τοῦ αἰδοίου ϖροπέτεια καὶ ἄλγημα, οὐ μόνον ὅταν οὐρήθρα ϖάθῃ, ἀλλὰ καὶ ὅταν ἐν βάθει τὸ τοιοῦτο· ἐπιγνωσθήσεται δὲ, εἴτε ἐν βάθει, εἴτε κατὰ τὴν οὐρήθραν ϖέπονθε, τῷ τοῦ μὲν κύτους τῆς κύσ7εως ϖεπονθότος τὸ ἄλγημα ϖαρακολουθεῖν κατὰ τοῦ ἐφηβαίου, τῶν δὲ κατὰ τὸν τράχηλον κατὰ τὰς ἀπουρήσεις, μόνον, καὶ μάλισ7α ἀρχόμενοι τοῦ οὐρεῖν καὶ ἀποπαυόμενοι, καὶ ἔτι μᾶλλον δριμυτέρων γενομένων τῶν οὔρων. Πάντες μὲν οὖν κατακλινεῖς εἰσιν ἀδιαλείπ7ως, καὶ οὔτε ὀρθοὶ σ7ῆναι οὐχ ὑπομένουσιν, οὔτε κατακλιθέντες ἡσυχάζουσιν· ὑπό τε οὖν τῆς ἀπαύσ7ου

Ch. 28, l. 1. ἐν τῇ κ. B. — Ib. ϖεπέται χρήζειν A. — 2. ἢν] ἂν BCO; ἐν V. — Ib. διὰ ταχέος BCO. — 3. χρῆσθαι C; χρώμενοι AX. — 5. ἄλλοις χρῆσθαι οἷς ἐκ. ϖροειρ. V; ἄλλοις χρῆσθαι ὡς ἐκ. ϖροείρηται ACX. — Ib. ϖαρά pour ϖερί A. — 6. ἐμπυεῖ bis BC. — Ib. ὅτε ACUX. — Ib. γίνεται CUV; ἐσ7ί AX. — 8. καί om. A. — Ib. ἔνθεν καὶ ἔνθεν BCUV. — Ib. ϖροειρημένα U. — 9. θερμότατα UV. — 10. ἐμπυοῦσθαι BCO. — Ib. σώματα om. BOV. — Ib. ὅπου AX. — 11. Δυναμένους καί X. — 12. ῥεύσαντα C; ῥήξαντα BO. — Ch. 29, tit. ἐν κύσ7ει BCO. — 19. δυσουρ. ϖαρακολουθεῖ τε C; δυσ. τε θεῖ (sic) B. — Ib. καὶ ἡ τοῦ CX. — 20. ἡ οὐρηθρα CU. — 21. τοιοῦτο ᾖ BCOUV. — 23. καὶ μ. BC. — Ib. τράχ. ἑλκῶν κ. codd. — 24-25. γινομ. V. — 26. οὐχ om. BCOUV. — Ib. οὖν om. BV.

ὀδύνης καὶ ὑπὸ τῶν πυρετῶν καὶ τῶν ἀγρυπνιῶν καὶ συντήξεων ἀπόλλυνται, οἱ μὲν θᾶτ7ον, οἱ δὲ βραδύτερον· αἵ τε γὰρ ὀδύναι ὀξεῖαι, καὶ τὰ ἕλκη ἀΐδια, τὸ μὲν διὰ τὸ συνεχῶς ἅπ7εσθαι τὸ οὖρον αὐτῶν, τὸ δὲ ὅτι καὶ δριμὺ φύσει ὑπάρχει, οὐδὲ εἰ καὶ πλεῖσ7ον ἐκκριθείη οὖρον, δύναται πᾶσα κενωθῆναι ἡ κύσ7ις, ἀλλὰ ἐμμένει τι ἐν αὐτῇ τοῦ οὔρου, καὶ ἅπ7εται συνεχῶς τῶν ἑλκῶν. Ἀεί τε οὖν πλήρης ἐσ7ὶν ἡ κύσ7ις τοῦ οὔρου· κενουμένου γὰρ τοῦ πλήθους, συσ7έλλεται ἡ κύσ7ις καὶ αὐτὸ τὸ ὑπολιμπανόμενον ἐν αὐτῇ βραχὺ πάντων τῶν μερῶν αὐτῆς ἅπ7εται, καὶ εἰς ὅσον πάλιν πληροῦται, ἐπεκτείνεται κατὰ βραχύ· διά τε οὖν τοῦτο καὶ ὅτι νευρώδης ἐσ7ὶν, ἀνίατα ὡς ἐπίπαν ἐσ7ὶ τὰ ἐν αὐτῇ ἕλκη. Δεινότερα δὲ τὰ κατὰ ἀνάβρωσιν γινόμενα, καὶ ὀλίγισ7αι ἐλπίδες εἰς ἀποκατάσ7ασιν αὐτῶν· ὅμως μέντοι ἐπεὶ πολλάκις καὶ παράδοξα ἀπαντᾷ τινα, ἐγχειρητέον τῇ θεραπείᾳ, διὰ ἧς μειωθήσεται, εἰ μηδὲν ἄλλο, ἀλλὰ οὖν γε τὰ παρακολουθοῦντα ἀλγήματα. Πρῶτον μὲν οὖν συμπεισ7έον κατακλιθῆναι τὸν πεπονθότα καὶ ἀνασχέσθαι τῆς ἐπὶ κλίνης ἠρεμίας, καὶ μάλισ7α ὅταν πυρετοὶ συνεδρεύωσιν, εἶτα βοηθήματα ἐν ταῖς τῶν πυρετῶν εὐκαιρίαις παραλαμβάνειν. Μέγισ7ον δὲ κἀνταῦθα γαλακτοποσία, καὶ οὐκ οἶδα, εἴ τινος ἂν δευτέρα φανείη ἐπὶ τούτων, ἀπογλυκαίνουσά τε τὰς τραχύτητας, ἀπονίπ7ουσά τε τὰς ἑλκώσεις, ἄλλως τε καὶ τὴν διάθεσιν ἐκμασσομένη· καὶ ἡ λοιπὴ δὲ δίαιτα χρησ7ὴ ἔσ7ω, ὡς μὴ τὸ οὖρον δριμὺ γενόμενον δάκνῃ τε καὶ ἐρεθίζῃ τὰ ἕλκη. Παρηγορεῖν δὲ καὶ φαρμάκοις τοῦτο μὲν ἄνωθεν περιλαμβανόντων τὸ ἦτρον, σὺν φλεγμονῇ μὲν ὑφεσ7ηκυίας τῆς ἑλκώσεως, τὰ διὰ λινοσπέρμου καὶ τήλεως καταπλάσματα, καὶ τὰ λοιπὰ τὰ τὴν φλεγμονὴν λύειν δυνάμενα, ἐγκαθίσματά τε καὶ πυρίας διὰ ἐλαίου καὶ διὰ σπόγγων, καὶ κηρωτὰς ἐπιῤῥίπ7ειν δια οἰσύπου καὶ βουτύρου καὶ σ7έατος χηνείου καὶ σ7ύρακος, ἢ κηρωτὴν μυρσινίνην προσειληφυῖαν Σαμίαν γῆν ἀντὶ ψιμυθίου, ἢ Λημνίαν σφραγῖδα, ἢ σινωπίδα, ἢ διφρυγές. Εἰ δὲ σ7ενοχωρία γένοιτο βιαιοτέρα, ναρδίνη ἔσ7ω ἡ κηρωτὴ, τῆς τε μαλάχης αἱ ῥίζαι εὖ καθεψηθεῖσαι ἐν μελικράτῳ εἶτα λειανθεῖσαι συμπεπλέχθωσαν τῇ κηρωτῇ, ἢ μελίλωτον ὁμοίως, καὶ τῆλις, ἢ ἡ τετραφάρμακος, ἢ ἡ ἐννεαφάρμακος· ποιοῦσι γὰρ ἀνέσεις· παντὶ δὲ σύμπλεκε σ7ύρακος τὸ ἀρκοῦν. Νομώδους δὲ τῆς ἑλκώσεως ὑπαρχούσης, χρησ7έον τοῖς ὑποσ7ύ-

1. συντήξεως BCV. — Ib. ἀπ. καὶ οἱ μὲν BOV. — Ib. οἱ μὲν οὖν X. — 2. αἵ τε] αὗται X. — Ib. ἀείδια AX. — 2-3. τὸ μέντοι σ. X. — 3. ἔτι ABOV. — Ib. ὑπάρχειν V 2ᵉ m.; ὑπάρχον BO. — 4. μένει BCOUV. — Ib. τε om. X. — 5. τοῦ οὔρου..... κύσ7ις om. BO. — 8. διά τι δὲ τοῦτο U. — Ib. καὶ διὰ ὅτι νευρ. BV. — 9. τε X. — 10. ὀλίγαι BCOUV. — 10. ἐπὶ αὐτῶν CU; περὶ αὐτῶν BOV. — 11. παρ. τινα γίνονται ἐγχ. B (qui a περίδ.) CO. — Ib. ἐγχωρισ7έον U. — 12. οὖν om. BCOUV 1ᵉ m. — 13. ἀναχεῖσθαι B (ἐνεχ. 2ᵉ m.) O. — 13. ὅτε BOV. — 14. ἐν ταῖς τῶν πυρετῶν om. A. — Ib. εὐκαιρ. ἢ ταῖς ἀνέσεσι codd. — 15. δεύτερον BCO. — 16. ἀπολεαίνουσα BCUV. — Ib. ἀπορίπ7. X. — Ib. ἀπον. δὲ τάς AC; ἀπον, τάς BUV 1ʳᵉ m. — 17. τε τήν UVX. — 19. περιβαλλόντων AX; παραβαλλόντων UV. — 22. καί avant βουτ. et avant σ7έατος om. U. — Ib. χοιρείου ABC (marge) OUV; *adipe anserino* Corn. — 23. μυρσίνην codd. et ainsi touj. — Ib. καὶ Σαμίαν BCV. — 23. ἀντὶ ψιμυθίου om. U. — 25. ναρδ. μεν. X. — Ib. εὖ συγκαθεψηθ. ἐν μελικράτῳ BOCUV; εὖ καθεψ. μετὰ μελικράτῳ AX, qui a -του. — 26-27. ἢ τὴν τετραφάρμακον ἢ τὴν ἐννεαφάρμακον AUVX. — 28. ὑπαρχ. ἐπιθέμασι χρ. τοῖς BCOUV.

φουσιν, ἀλλὰ καὶ θερμοῖς, ἵνα διὰ μὲν τῆς θέρμης ὠφελῇ τῷ ϖαρηγορεῖν τὰ ϖεριοδυνῶντα μέρη, διὰ δὲ τῆς ἐν αὐτοῖς δυνάμεως κωλύῃ ἐπιλαμβάνειν τὴν νομὴν τῶν ϖλησίον τόπων, ἡ δὲ ὕλη ϖολλάκις εἴρηται κειμένη ἐν φοίνιξι, σταφίσι, κηκῖσι, σιδίοις, στυπτηρίᾳ, ἀκακίᾳ, ὑποκιστίδι, καὶ τοῖς ϖαραπλησίοις· ἕκαστον μέντοι τούτων ἤτοι τοῖς φοίνιξιν ἀναλαμβάνεται, ἢ καταπλάσμασιν ἐξ αἰρίνων ἀλεύρων, ἥ τε ἕψησις ἐν ὀξυκράτῳ γίνεται. Χρηστέον δὲ καὶ ἐγχύσει φαρμάκου διὰ καθετῆρος, ἐπὶ μὲν τῶν φλεγμαινόντων ἢ δριμυττομένων γάλα νεόβδαλτον ἐγχέοντα ἢ ῥόδινον κάλλιστον νεαρὸν, χλιαρὸν μέντοι· εἰ δὲ μηδὲν τούτων ϖαρείη, ὕδωρ γλυκύτατον χλιαρὸν ἐγχεῖν συνεχῶς ἐν τῷ τῆς δήξεως καιρῷ, καὶ εἰς τὸ ἔντερον δὲ διὰ ἕδρας ἐγχεῖν ϖτισάνης χυλὸν καὶ λινοσπέρμου, καὶ σικύου σπέρμα λελεπισμένον λεῖον μετὰ γάλακτος, ἐπιστάζοντα ἑκάστῳ τοῦ ῥοδίνου ἐλαίου. Κλύζοντα δὲ τὸν τὴν κύστιν ϖεπονθότα, οὐ χρὴ ὕπτιον σχηματίζειν αὐτόν· οὐ γὰρ συγχωροῦσιν αἱ κύστεις εἴσω τὸ κλύσμα ϖαριέναι, σκληραὶ καὶ βαρεῖαι γενόμεναι καὶ ἐπικείμεναι τῷ ἐντέρῳ· ἀλλὰ ἐπὶ γόνασι κλίναντα τὸν ἄνθρωπον οὕτως ἐνιέναι· ἀφίστανται γὰρ αἱ κύστεις ἐν τούτῳ τῷ σχήματι, καὶ χαλῶσι τὸ ἔντερον, ὥστε ϖαραδέξασθαι τὸ κλύσμα· ϖυκνὰ δὲ καὶ εἰς ὕδωρ θερμὸν καθίζειν, καὶ εἰς τὰ χαλῶντα ἀφεψήματα· καὶ γὰρ ϖραΰνει τὰς ὀδύνας. Ἐπὶ δὲ τῶν ἤδη νεμομένων ἑλκῶν ἐνιέναι διὰ καθετῆρος εἰς τὴν κύστιν τὰ δυνάμενα στεῖλαι τὴν νομὴν, ϖολλὰ δὲ ἐστὶ τὰ τοιαῦτα, καὶ σύνηθές γε τοῖς ϖλείστοις καὶ ἡμῖν τὸ διὰ χάρτου ξηρίον ἐνιέμενον διὰ ῥοδίνου· ϖοιεῖ δὲ καὶ ὁ τοῦ Μούσα τροχίσκος μετὰ γλυκέος Κρητικοῦ ἐνιέμενος χλιαροῦ. Ῥυπαρῶν δὲ ὄντων τῶν ἑλκῶν, φάρμακα ἐγχεῖν τὰ δυνάμενα ἀνακαθαίρειν, ὡς τὴν Ἐπιγόνου χλωρὰν καὶ Ἶσιν καλουμένην ἐνιεμένην ϖολλῷ ῥοδίνῳ, ἢ τὴν διὰ βοτανῶν, ἢ ἄλλην τινὰ τοιαύτην. Εἰ δὲ δρίμυξις ϖαρέπεται καὶ δῆξις, ἐνιέναι χρὴ γάλα νεόβδαλτον μετὰ ἀμύλου καλλίστου, ἢ ϖομφόλυγα ϖεπλυμένην ϖλείοσιν ὕδασιν καὶ ἐξηραμμένην, ἔπειτα ἀνιεμένην μετὰ γάλακτος, ἢ τοῦ ἀστέρος κολλυρίου ἢ τοῦ κυκναρίου ἢ τῶν ϖαραπλησίων ἀδήκτων κολλυρίων, ἢ τοῦ διὰ φυσαλίδων τροχίσκου ἢ τοῦ ϖαγχρήστου ὑπνωτικοῦ. Ὅταν δὲ ἀνακαθαρθῇ, συνεργεῖν χρὴ τῇ ἀπουλώσει διὰ ἐγκαθισμάτων στυπτικῶν καὶ ἐπιθεμάτων· ἥ τε οὖν διὰ ᾠῶν ἀγαθὴ ἄνωθεν ἐπιτιθεμένη, ἥ τε διὰ τῶν κεκαυμένων κριθῶν, καὶ ἡ διὰ καδμείας τριπλασίονι κηρωτῇ μυρσινίνῃ ἢ ῥοδίνῃ συγκερασθεῖσαι· ῥευματικωτέρας δὲ οὔσης τῆς διαθέσεως τῇ διὰ ἰτεῶν, ἢ τῇ Ἱκεσίου, ἢ τῇ

1. μέν om. A. — 1-2. ὀδυνώμενα BCO. — 2. τηνομήν A. — 3. κηκίδι BOUV; ἢ κηκῖσι A. — 4. στυπτυρίας AX; om. BOV. — Ib. ἀκακίας AX. — 5. ἢ om. V. — 6. φαρμάκων BC. — 7. δριμυττόντων X. — 8. κάλλιστα A. — 9. εἴς τε τό AX qui omet δέ. — 10. σπέρμα om. U. — 11. ἐπιστάζων AUVX. — Ib. ἑκάστου UV. — Ib. τὸ ῥόδινον ἔλαιον BCOUV; ces deux mss. ont Κλύζοντος. — 13. γινόμεναι BCU. — 14. κλίνοντα A; κλίναντες X; κλίνειν BCO. — Ib. καὶ οὕτως BCO. — Ib. ἐν om. AX. — 16. ἀφ. ταῦτα καί AX. — 19. ἡμῖν οἱ δὲ τό V 2e m. — Ib. ξηρόν ἐστιν ἀνιεμ. AUX qui a μετά. — 20. χλιαρός BOU. — 21. καὶ Ἶσιν] καὶ ἴστησι V 1e m.; om. BO. — 22. ἀνιεμένην AX. — Ib. τινά om. BCOUV. — 23. ϖαρέποιτο CU. — 24. εἶτα ἐνιεμ. BCO. — 25. κυκν.] κυρηναϊκοῦ V. — 26. κολλύρια BCO. — Ib. τὸν...... τροχίσκον BC. — Ib. τὸ ϖάγχ. BC. — Ib. ὑπνωτικόν BC. — 27. ἀνακ. τὰ ἕλκη BCO. — Ib. Ici et p. 116, l. 1. les mss. varient entre ἐπουλώσει et ἀπουλ. — 29-30. συγκερασθῆσαι V; συγκερασθ. A. — 30. δέ om. AOV. — Ib. ἢ τήν (après Ἱκεσ.) AX.

διὰ αἰρῶν χρηστέον μέχρις ἐπουλώσεως μετὰ τὴν ἀνακάθαρσιν. Ἰστέον μέντοι ὅτι πολλάκις ἐπί τινων, οὐλῆς στερεᾶς γινομένης, ἀποτυφλουμένων τῶν σπερματικῶν πόρων, ἀπόλλυται τὸ γεννητικὸν, προθυμίας μὲν εἰς συνουσίαν γινομένης, γονῆς δὲ οὐδόλως ἐκκρινομένης, καὶ ἔστιν ἀνίατος ἡ διάθεσις. Εἰ δὲ παραμένοι τὰ τῆς ἑλκώσεως πολὺν χρόνον, ὥσπερ καὶ εἴωθεν ἐπὶ πολλῶν γίνεσθαι, καὶ παροξυσμοὶ καὶ διαλείμματα λαμβάνουσιν. Ἐν μὲν [οὖν] τοῖς παροξυσμοῖς παραλαμβάνειν τὰ παρηγορεῖν δυνάμενα καταπλάσματα καὶ πυρίας καὶ ἐμβροχὰς, ἐν δὲ τοῖς διαλείμμασιν τῇ ἀνασκευαστικῇ ἀγωγῇ χρηστέον. Φοινικτέον οὖν τὸ ἦτρον καὶ τὸν τοῦ περινέου τόπον ἐπιθέσει μαλαγμάτων τοῦτο ποιεῖν δυναμένων, ὡς τῷ διὰ δαφνίδων, ἢ τῷ χλωρῷ, καὶ τοῖς παραπλησίοις, καὶ μάλιστα τοῖς προγεγραμμένοις ἐπὶ τῶν λιθιώντων νεφρῶν· ἤδη δὲ καὶ σιναπισμῷ χρηστέον, καὶ τὴν ἀναληπτικὴν ἀγωγὴν ἐγκριτέον. Εἰ δέ τι τιθασσεύοιτο, καὶ ἐγχρονίζοι τὰ κατὰ τὴν διάθεσιν, ἐσχάρας κατὰ τοῦ ἤτρου καὶ τοῦ περινέου ἐμβλητέον διὰ φαρμάκων, ἢ διὰ σιδήρου, καὶ πολλῷ χρόνῳ ἐκρευματιστέον τὰ ἕλκη· οὐκ ἄθετα δὲ οὐδὲ τὰ ἀνώδυνα τῶν φαρμάκων πινόμενα ἐν ταῖς σφοδρότησι τῶν ἀλγημάτων. Ἐνέθηκαν δὲ ἤδη τινὲς εἰς τὸν δακτύλιον τὸν τῆς μήκωνος ὀπὸν, ὅσον ὄροβος μετὰ κρόκου καὶ σμύρνης γάλακτι ἀνέντες, ἢ κηρωτῇ διὰ στέατος χηνείου γενομένῃ μίξαντες καὶ ἀναλαβόντες ἐρίῳ, καὶ οὐ τὴν τυχοῦσαν οἴδαμεν ἐκ τούτου ἀνακύψασαν ὠφέλειαν. Παραλαμβανέσθω δὲ καὶ τὰ διὰ στόματος διδόμενα, τῆς μὲν δυσουρίας ἐπειγούσης, μήκωνος λευκῆς πεφωγμένης σπέρμα λεῖον· ἐμπάσσεται δὲ ὅσον ∠α' εἰς κυάθους δ' ἀφεψήματος σχοίνου ἄνθους ἢ καλάμου ἰνδικοῦ, ἢ γλυκυῤῥίζης· βιαιότερα δέ ἐστι τούτων μῆον, φοῦ, ἄκορον, δαῦκος. Ἱκανῶς δὲ τὰς τῆς ἑλκώσεως ὀδύνας παραμυθεῖται καὶ τοῦτο· σικύου σπέρματα λ', στροβίλια ιϐ', ἀμύγδαλα πικρὰ λελεπισμένα ε', κρόκου ὅσον χρῶσαι· νήστει εἰσφερέσθω κατὰ ἡμέραν ταῦτα μετὰ γάλακτος νεοϐδάλτου ἢ οἴνου ἢ ἑψήματος· πρᾳότερον δὲ ἂν γένοιτο, εἰ ἀντὶ τῶν στροβίλων μαλάχης σπέρματα ιϐ' λάϐοι, ἡδυτέρα δὲ γένοιτο ἡ ἀπούρησις ἂν τῷ πεπονθότι, καὶ τραγακάνθης τῷ πάσματι μιγείσης. Σπουδαίως δὲ τῇ ἑλκώσει βοηθεῖ καὶ τοῦ ὀρθοῦ περιστερεῶνος τὰ φύλλα μετὰ γλυκέος πινόμενα, κυάθοις δὲ δυσὶ διαλυέσθωσαν, ὡς εὔποτα εἶναι. Πρὸς μέντοι δυσουρίαν καὶ πρὸς αὐτὴν τὴν ἕλκωσιν συμφωνεῖ μήκωνος λευκῆς σπέρματος, ἀμύλου, μύρτων μελάνων ἀνὰ ∠δ' ᾠοῦ ὀπτοῦ τὸ ἥμισυ τοῦ πυῤῥοῦ· δίδου ἑνώσας ∠α' μετὰ γλυκέος. Πολλοῦ δὲ φερομένου τοῦ πύου, νάρθηκος κεκαυμένου ∠α' μετὰ γλυκέος κεκραμένου δοθεῖσα ἀνα-

2. ἐπί τινων om. X. — Ib. γιν. καὶ ἀποτυφλ. C; γ. ἐπιτυφλ. A. — 4. ἔστιν] ὅτι BO. — 5. ὡς πολύν AX. — 6. [οὖν] ex em.; om. codd. — 8. οὖν] δέ CU. — Ib. καὶ τόν ex em.; κατὰ τόν codd. — 9. περιτοναίου BCUV et ainsi touj. — 10. τῶν προγεγραμμένων UV; τῷ προγεγραμμένῳ AX. — 11. σιναπισμοῖς BCOU. — 12. τιθασσεύηται ABOUV. — Ib. τά om. AB. — 16. ὀρόϐου μέγεθος μ. BC. — 16-17. ἀνιέντες τῇ κ. AX. — 18. τά om. U. — 19. πεφρυγμένης BCOUV. — 20. ἀφεψηματων V. — 22. καί om. AUVX. — 22-23. σπέρματα ∠α' B. — 23. ε'] sigle illis. A. — Ib. νήστει ex em.; νήστεις V; νῆστει B; νῆστις cet. codd. — 24. νεοϐδ. ἢ καρύου ἢ οἴνου BCOUV. — 25. λάϐοιεν ABOUV. — Ib. ἡδυτέρα δέ] εἰ δὲ ὑστέρα AX. — Ib. δέ om. UV 1° m. — 26. τῷ πεπονθότι (om. ἄν) καί UV qui a corrigé en προσθέτι (sic); πεπάσθω τι καί (om. ἄν τῷ) AX. — Ib. μιγείσης om. ABOUVX. — 26. δὲ om. X. — 28. διαλυέσθω UV. — 30. ἑνώσας om. X. — Ib. ∠ϐ' U. — 31. δοθέν AVX.

καθαίρει. Εἶτα συναποδίδου ἑκάσ7ης ἡμέρας σικύου λελεπισμένου σπέρμα καὶ κρόκου ἀνὰ ὀβολοὺς β', πιτυΐδας δὲ ε' λελεπισμένας καὶ ἀνίσου τριώβολον, καὶ συλλεαίνων ταῦτα μετὰ οἰνομέλιτος καὶ ὕδατι θερμῷ κεράσας δίδου. Ὑγιάζειν δὲ δύναται τὰς ἐν κύσ7ει ἑλκώσεις ἐν ὀλίγαις ἡμέραις καὶ τὸ κῦφι τὸ αἰγύπτιον, καὶ ἡ κυφοειδὴς πρὸς τὰς τοῦ ἥπατος ἑλκώσεις προγεγραμμένη.

λ'. Δίαιτα. Ἐκ τῶν Ἀρχιγένους.

Φυλαττέσθω δὲ ὁ πάσχων κόπους καὶ πᾶσαν βράσσουσαν αἰώραν, μάλισ7α ἱππασίαν καὶ ἀγρυπνίαν, καὶ πᾶσαν σύντασιν, καὶ τὴν παντελῆ ἀργίαν, καὶ λουτρῶν τὴν συνέχειαν· ἔτι δὲ ἀπεψίας, καὶ τὰς ὑπὲρ τὸ δέον πληρώσεις, καὶ τὸ ὠμὸν ἐν τοῖς προσφερομένοις, καὶ τὸ δύσπεπτον, καὶ τὸ φυσῶδες, καὶ τὸ εὔφθαρτον· μάλισ7α δὲ τὸ εὐαπόξυντον, καὶ ὅσα πολύχυμα, καὶ ὅσα ἐπὶ τὴν οὔρησιν ἀγωγὰ, καὶ τὰ δυσδιαχώρητα, καὶ τὰ δυσυποχώρητα, καὶ τὰ ἐπὶ πλέον ταρακτικὰ τῆς γασ7ρὸς, καὶ τὸ δριμὺ καὶ τὸ πυρῶδες, καὶ τὸ ἐπιπλέον σ7ῦφον ἐν τοῖς λαμβανομένοις, καὶ τὸ ξηραντικώτερον, καὶ τὸ ἄτροφον, καὶ τὸ κακοσ7όμαχον, καὶ ὅσα χολὴν ἐξαιρέτως ἢ φλέγμα γεννᾷν πέφυκεν· ὥσ7ε καὶ ἡ πολυποσία ἄθετος καὶ ἡ ἀκρατοποσία, καὶ ἡ νησ7οποσία, καὶ τὸ μακρὸν δίψος, καὶ ἡ ἀσιτία, καὶ ἡ τῶν ἐδεσμάτων ποικιλία, καὶ αἱ περίεργοι ἀρτύσεις, καὶ τὸ κνισῶδες πᾶν καὶ τὸ βρωμῶδες, καὶ τὸ σεσηπὸς, καὶ τὸ ὠμὸν λάχανον μάλισ7α· ταῦτα γὰρ πάντα ταῖς ἐν τοῖς νεφροῖς καὶ κύσ7ει ἑλκώσεσι πολέμια. Ὁπόταν δὲ τῇ ὀρέξει χαρίζεσθαι βουληθῶμεν, καυλὸν θριδακίνης ἢ σέριν ὠμὰ ἢ ἑφθὰ ἀλυπότερον ἂν μεταλάβοι. Πεμμάτων δὲ καὶ τῶν ἄλλων λιπαρῶν ἀπέχεσθαι δεῖ, καὶ τῶν πλείσ7ων τραγημάτων· σ7αφὶς δὲ οὐκ ἄθετος καὶ σ7ροβίλια νεαρὰ προβεβρεγμένα δυσὶν ὕδασι, καὶ ἀμύγδαλα χλωρὰ μὲν, ἀκμαῖα δὲ καὶ εὖ κεκαθαρμένα, ξηρὰ δὲ μὴ, μηδὲ παλαιὰ, ἀλλὰ προβραχέντα καὶ λεπισθέντα. Ἐγχωρεῖ δὲ καὶ πισ7ακίου μεταλαμβάνειν· ἄμεινον μὲν χλωροῦ· εἰ δὲ μὴ, βεβρεγμένου, παλαιοῦ δὲ μή· * θηβαϊκὸς δὲ φοῖνιξ καρυωτὸς ὁ μὴ ἔχων ὀσ7έον, εἴτε φύσει τοιοῦτος εἴη, εἴτε ἐπιτεχνήσει τινὶ γεγονώς· ἔσ7ι δὲ καὶ σ7ρυφνότερος ὁ καρυωτὸς, καὶ σ7ομάχου ἀσθενείᾳ καὶ κύσ7εως καὶ νεφρῶν ἁρμόδιος. Ἀλλὰ γένει μὲν ἅλις ὑπογεγράφθω

3. διδούς BCU. — 5. προγεγραμμένη om. U. Après ce mot, des recettes qui forment la fin du 29[e] chap. de Corn. — 6. Παραφ. BCU. — Ib. αἰώραν καί BC. — 7. παντελῶς X. — 9. τό avant φ. et εὔφθ. om. U. — 9-10. μάλισ7α δὲ καὶ τό CV; καί U. — 10. ὅσα avant ἐπί om. U. — 11. τά avant δυσ. om. U. — Ib. δυσαπόχυτα V. — Ib. τό om. U. — 12. καὶ πυρ. BCUV. — 13. τό avant ἄτρ. om. U. — 14. εἴτε V. — Ib. ἡ avant πολ. om. AVX. — Ib. ἡ avant ἀκρ. om. U. — 15. καὶ αἱ τῶν BCV; καὶ τῶν U. — Ib. ποικιλίαι BCUV. — 16. τό avant βρ. om. U. — Ib. καὶ τό] ἢ AX; καί BV. — 17. πάντα ἐν νεφροῖς τὰ ἐν τοῖς ἢ κ. U. — Ib. ἐν om. B. — Ib. ἑλκ. om. B. — 18. Ὁπότε AUVX. — Ib. ὀρέξει] γασ7ρί C. — 19. ἢ] καί BUV. — Ib. μεταλ. om. BC. — Ib. ἀλ. ἂν φάγοιμεν π. BC. — 20. δέ] γάρ AUV 1[re] m. X. — 22. ξηρὰ δὲ μή (μηδὲ U) παλ. UV; μὴ ξηρὰ δὲ μηδὲ παλ. BC. — Ib. ἀποβρ. A. — 23. δέ avant καί om. AUVX. — Ib. πισ7ακίων et les mots corresp. au gén. plur. X. — Ib. μεταλαβεῖν BCUVX. — Ib. μέν] δέ U. — 25. εἴη om. V; ἢ X. — Ib. ὑπὸ (ἐπί VX) τέχνης τινός BCVX. — 26. ἅλις] ἀλλῆς V 1[e] m.; ἀλλίς 2[e] m.; ἄλλό B. — Ib. ὑπογεγράφθαι AX.

τὰ φυλακτέα· ἰδικώτερον δὲ, ἄρτος ἔσΊω πρόσφατος κλιβανίτης δεόντως ἐσκευασμένος· πΊηνῶν τὰ ὄρεια, καὶ τὰ ψαφαρὰν ἔχοντα τὴν σάρκα καὶ μὴ παλαιά· πεζῶν δὲ ἁρμοδιώτατα τὰ τῶν ἐρίφων ἄκρεα· ἐνύδρων δὲ ἁρμοδιωτάτη ταῖς ἐν νεφροῖς καὶ κύσΊει ἑλκώσεσιν ἀφύη θαλασσία ἡ μικροτάτη ἐσθιομένη συνεχῶς· οὐκ ἄθετοι δὲ οὐδὲ ὀνίσκοι οἱ μικροὶ, καὶ οἱ γόμφοι οἱ λεγόμενοι. Σμήχει δὲ τὰ ἕλκη καὶ ἀσΊακὸς καὶ κάραβος, ἐπὶ ποσὸν δὲ καὶ καρίς· καρκίνος δὲ ποτάμιος καὶ ὡς ἀντιπαθὴς διδόσθω, καὶ ἐχῖνος πρόσφατος ὡς οἰκειότατος ἐφιέσθω. ὈσΊρέου τε καὶ πελωρίδος βραχύ τι σμήξεως ἕνεκα διδόσθω, ἔμβαμμα δὲ ἡδύσματος χάριν, ὄξος βραχύτατον, καὶ ἐλάχισΊον πάνυ γάρον λευκὸν χρησΊόν. ΦεισΊέον δὲ πεπέρεως, καὶ ὀποῦ σιλφίου, καρδάμου τε καὶ σινήπεως· εὐζώμου μέντοι καὶ τέλεον ἀφεκτέον, ἐπεὶ καὶ πρὸς ἀφροδίσια παρορμᾷ, συνουσία δὲ πολεμιωτάτη πᾶσι τοῖς περὶ νεφροὺς καὶ κύσΊιν πάθεσι, καὶ μάλισΊα πρεσβυτέροις καὶ τοῖς φύσει ἀσθενεσΊέροις. Πάντα δὲ τὰ λαμβανόμενα σύμμετρα ἔσΊω τῷ πλήθει, κἂν ὠφέλιμα εἶναι λέγηται. Ὕδωρ ὑέτιον τὸ μὴ διεφθορὸς πάντως ἄμεινον· τῶν δὲ ἄλλων τὰ ἀποιότατα ἐξειλέχθω, καὶ ψυχροῦ παντάπασιν ἀπεχέσθω· ἕλκεσι γὰρ τὸ ψυχρὸν πολέμιον. Βαλανείου δὲ σπανία ἔσΊω ἡ χρῆσις· τῇ δὲ προθυμίᾳ ποτὲ χαριζόμενος μετεχέτω, ἢ κόπον τινὰ ἰώμενος. Αὐτοφυῶν δὲ ὑδάτων οὐκ ἀχρεῖον πειραθῆναι σΊυπΊηριωδῶν, θειωδῶν, καὶ τῶν παραπλησίων, ὁποῖά ἐσΊι τὰ Ἄλβουλα καὶ τῇ κράσει γαλακτώδη. Καὶ ἐπὶ ψυχρολουσίαν προσάγειν (πως ἄγειν?) καὶ ἐθίζειν χρησιμώτατον· ὑπερφυῶς γὰρ τὰς δυσαλθεῖς ἑλκώσεις ἀνασκευάζει τάς τε ἐντὸς τάς τε ἐκτός. — Περὶ πόσεως Ἀλβούλων ὑδάτων.] Συνοίσει τοίνυν τὰ Ἄλβουλα ὕδατα, εἰ παρείη, ἢ τὰ παραπλήσια, πινόμενα μετὰ τὸν ἑωθινὸν περίπατον ὅσον τρεῖς κοτύλας τὴν πρώτην· εἶτα προσαγέσθω ἐπὶ πέντε ἢ ἕξ· πρὸς γὰρ τῷ τό τε ἔντερον ἀποκλύζειν καὶ αὐτὴν τὴν κύσΊιν, ἀμβλύνει τὸ αἰθαλῶδες τοῦ πνεύματος, καὶ τῶν ὑγρῶν ἀφοριζομένων, διαυγεσΊέραν ἀποδείκνυσι τὴν ἀπὸ τοῦ αἵματος ἀναθυμίασιν· αὐτά τε χρησίμως καθαίρει τὰ ἕλκη καὶ μετὰ ἡδονῆς ὑπεξέρχεται· καὶ τούτου γε μηδὲν ὑπολάβοις δρασΊικώτερον φαίνεσθαι τῷ πάσχοντι. Ὥρα δὲ θερμοτέρα πρὸς αὐτὸ ἐπιτήδειος. Εἰ δὲ μὴ παρείη τοιαύτη ποιότης ὑδάτων, παρείη δὲ τὰ ἀποιότερα καὶ πλατύτερα τῇ γεύσει, ἀμείνω τῶν ἄλλων, μετὰ δὲ ταῦτα τὰ ἀσφαλτώδη· καὶ τῶν νιτρωδῶν δὲ, εἰ παρείη, καὶ τῶν ἁλμυρῶν πεῖραν λαβέ-

1. φυλακτέα] τελευτ (sic) U. — 2. καὶ ψ. X. — 3. ἁρμοδιώτερα τὰ τῶν AX. — 4. ἀεφύς C; ἀφύς A; ἀεφύν U; ὄρφος X; om. BV. — Ib. ἡ θ. UV. — Ib. ἡ om. AUV. — 6. ἐπὶ π. δέ om. U. — Ib. ποτάμ. om. B. — 7. καὶ ὁ ἐχ. C. — Ib. τε om. AV 1ᵉ m. X. — 8. δέ om. A. — 9. γάρος λευκόν ACX. — Ib. χρησΊόν. ΧρησΊέον δὲ καὶ πεπ. U. — 10. εὐζ. μὲν (V 1ᵉ m.; δέ 2ᵉ) τέλεον BV; εὐζ. τε καὶ τέλ. U. — 11. δέ] γάρ BC. — Ib. πᾶσι om. BCV. — 13. εἶναι om. V. — 14. διεφθορων (sic) A. — Ib. τὸ ἀποιότατον BCUV. — Ib. ἐκλέγεσθω BC. — Ib. ψυχρᾶς corrigé en ψυχρότητος V. — 16. ἤ om. U; εἰς V. — 18. Les mss. varient entre Ἀλβολά et Ἀλβουλά. — 19. ἐρεθίζειν UV. — Ib. χρησιμώτατα A. — Ib. ὑπὲρ φύσιν γάρ B; ἐρεθίζειν δέ U qui a παρασκευάζει, l. 20. — Ib. γάρ] δέ AV 1ᵉ m. X. — 20. ἐντὸς καὶ τὰς ἐκτός BC. — 21. ἤ om. UV 1ᵉ m. — Ib. καὶ πιν. codd. — 23. ἢ ἑπΊα BUV; ἢ ἕξ, ἐν ἄλλῳ ζ' C. — Ib. γὰρ τῷ et τε om. U; τε om. BCV qui a τόν pour τῷ. — 26. ὑπολ. om. B. — 27. ὥρα θερμ. U. — Ib. ὕδατος AC. — 28. πλατύτερα] ἁλμυρώτερα BC. — 29. τά om. A. — 29 et p. 19, l. 1. λαμβανέτωσαν BCUV.

τωσαν· κρεῖσσον γὰρ τοῦ πιθανοῦ πολλάκις οἶδα ἀποτέλεσμα καὶ ἀπὸ τούτων συμβάν. Καταστάσεως δὲ ἐκ τοῦ λουτροῦ ἢ τοῦ ἀλείμματος γενομένης, ξηροφαγία πρῶτον χρήσιμος, εἰ μὴ δίψος συνέχοι· τότε δὲ δεήσει ὕδατι θερμῷ ὀλίγῳ σβέσαι τὴν δίψαν, ἢ ὑδαρεῖ τινι τῶν γλυκυτέρων οἴνων. Παρέστω δὲ καὶ οἰνανθίτης καὶ μυρσινίτης ὠφελίμως προσπεσούμενοι τῷ ἕλκει μετὰ τὸ λουτρὸν, ἢ τὰ γυμνάσια. Τοσαῦτα μὲν καὶ περὶ ἑλκώσεως.

λα΄. Περὶ ῥευματισμοῦ κύστεως καὶ τῶν διεξερχομένων τοῖς οὔροις τριχοειδῶν. Ἐκ τῶν Ἀρχιγένους.

Γίνεται δέ ποτε καὶ ῥευματισμὸς περὶ τὴν κύστιν, ὥστε ποτὲ μὲν μυξώδη καὶ πεταλώδη καὶ παχέα ἐκκρίνεσθαι, καὶ ἤτοι πυκνῶς ἀποδίδοσθαι τὰ οὖρα, ἢ διὰ χρόνου ἐκκρίνεσθαι, ποτὲ δὲ ὑδαρῆ καὶ λεπτά· ἔγνωμεν δὲ ἐνίοις καὶ τρίχας ἐκκρινομένας, ποτὲ μὲν πεπλεγμένας ἀλλήλαις, ποτὲ δὲ ἁπλᾶς· καὶ ποτὲ μὲν εὐμήκεις σφόδρα, ποτὲ δὲ μικρὰς, ὑπὸ ῥευματισμοῦ δηλονότι γενομένας. Ταῦτα μὲν ὁ Ἀρχιγένης. Γαληνὸς (*Loc. affect.* VI, 3. — Cf. *Comm. in Hipp. Aph.* IV, 76) δὲ περὶ τούτου φησὶν οὕτως· θριξὶν ὅμοια καὶ Ἱπποκράτης μὲν εἶδε τοῖς οὔροις συνεξερχόμενα, καὶ ἡμεῖς δὲ ἐθεασάμεθα, ποτὲ μὲν σπιθαμιαῖα τὸ μῆκος· ἔστι δὲ ὅτε καὶ μείζω ἢ μικρότερα. Ἐκ δὲ τῆς χροιᾶς καὶ τῆς συστάσεως ἐπειθόμην ἐκ παχέος καὶ γλίσχρου χυμοῦ εἶναι ταῦτα, θερμανθέντος δὲ καὶ ξηρανθέντος ἐν ταῖς φλεψὶ συνίστασθαι, ὅθεν τὴν θεραπείαν ὁπότε πρῶτον εἶδον, ἤλπισα διὰ τῶν οὐρητικῶν φαρμάκων ἔσεσθαι· καὶ οὕτως ἀπέβη σχεδὸν πᾶσιν. Οἷς δὲ συνέβη τὸ πάθημα τοῦτο, νεφριτικὸν οὐδὲν, οὔτε ἔμπροσθεν, οὔτε αὖθις ἐπεγένετο σύμπτωμα θεραπευθεῖσιν ὑπὸ τῶν οὐρητικῶν φαρμάκων. Ὁ δὲ Ἀρχιγένης πρὸς τούτοις φησίν· μετάγειν δεήσει τοὺς ῥευματισμοὺς ἐκ τῶν τόπων, καὶ τὴν ἕξιν τοῦ παντὸς σώματος, μάλιστα δὲ τῶν περὶ τοὺς νεφροὺς καὶ κύστιν τόπων μεταποιεῖν καὶ ῥωννύναι.

λϐ΄. Περὶ σατυριάσεως, ἤτοι πριαπισμοῦ. Ἐκ τῶν Γαληνοῦ.

Ὁ πριαπισμὸς ἔντασίς ἐστι τοῦ αἰδοίου καὶ αὔξησις εἰς μῆκος καὶ πάχος χωρὶς ἀφροδισίου προθυμίας ἔκ τινος θερμασίας ἐπικτήτου μετὰ φλεγμονῆς τινος καὶ ὀδύ-

1. πολλ. om. B. — Ib. πολλ. οὐκ οἶδα U. — 2. Καταστάσεως τ δὲ τοῦ (sic) A. — 3. μή] δέ U. — Ib. συνέχει BCUV. — Ib. ὕδατι om. U. — 4. ἢ ὑδ. ἤ τινι BCUV. — 5. προσπεσούμενα AX qui a τὰ ἕλκη. — 5-6. μετὰ... ἑλκ. om. BV; Τοσαῦτα... ἑλκ. om. C. — 5. ἢ] καί U. — Ch. 31, l. 8. πεταλ. καί om. AX. — 9. καί avant λεπτά om. AV. — 10. δὲ καί B; om. A. — 12. Ὁ δὲ Γαλ. C. — Ib. δέ om. BC. — 13. καί om. BC. — Ib. Ἱππ. δὲ τοιαῦτα εἶδε V 2ᵉ m. — Ib. οἶδεν AU. — 14. ἐθεασόμεθα AX. — Ib. καί om. AUVX. — 16. εἶναι ταῦτα om. AUVX. — Ib. δέ om. V. — 17. ὅθεν τὴν θεραπ. effacé dans B (qui rétablit ὅθεν) et V. — Ib. θερηασίαν X. — Ib. ὅπερ V. — 18. ἔσεσθαι] χρήσα (lac.) V 1ᵉ m.; χρήσεως (lac.) δέ 2ᵉ m.; τῇ θεραπείᾳ χρήσασθαι B. — Ib. δέ om. UV qui a δέ avant πᾶσιν. — 19. ἐγένετο BUV. — 20. πρὸς τούτ. om. B; πρὸς ταῦτα U. — Ch. 32, l. 24. ἀφροδισίων BCUX. — Ib. μετά om. BV.

νης τῶν τόπων συνισταμένη. Ὠνόμασται δὲ πριαπισμὸς ἀπὸ τοῦ Πριάπου δηλονότι τοῦ καὶ Σατύρου ὀνομαζομένου, ὃν τοιοῦτον φύσει ἔχοντα τὸ αἰδοῖον οἱ ἄνθρωποι πλάττουσί τε καὶ γράφουσιν. Γίνεται δὲ τὸ πάθος ἤτοι εὐρυνομένων τῶν στομίων τῶν ἐν τῷ αἰδοίῳ ἀρτηριῶν, ἢ κατὰ αὐτὸ τὸ σηραγγῶδες νεῦρον, λέγω δὴ τὸ αἰδοῖον, πνεύματος ἀτμώδους γινομένου. Ἐμοὶ δὲ δοκεῖ, φησὶν ὁ Γαληνὸς (*Loc. affect.* VI, 6) κατὰ ἀμφότερα μὲν γίνεσθαι· πλεονάκις δὲ τοῖς τῶν ἀρτηριῶν στόμασιν εὐρυνομένοις ἕπεσθαι· ἐνίοτε δὲ καὶ ἀφροδισίων τινὲς ἀποσχόμενοι, τῷ πάθει ἁλίσκονται. Συμβαίνει δὲ τοῦτο τοῖς πολυσπέρμοις τε ἅμα καὶ παρὰ τὸ ἔθος ἀποσχομένοις ὅταν μὴ διαφορῶσι πλήθει γυμνασίων τὴν περιουσίαν τοῦ αἵματος, καὶ μάλιστα ὅσοι τῶν μὲν ἀφροδισίων χρήζουσιν, εἰς φαντασίαν δὲ αὐτῶν ἀφικνοῦνται διὰ θεωρημάτων ἐξορμᾷν αὐτοὺς δυναμένων εἰς ἀνάμνησιν τῶν ἀφροδισίων. Ὀδύναι δὲ αὐτοῖς συμβαίνουσιν, ὁποῖαι τοῖς τετανικοῖς· ἐμφυσώμενον γὰρ καὶ διατεινόμενον τὸ αἰδοῖον, σπασμῷ τι παραπλήσιον πάσχει. Ἀπόλλυνται δὲ ὀξέως οἱ οὕτω παθόντες, εἰ μὴ ταχέως βοηθηθῶσιν. Τελευτῶντες δὲ φυσῶνται τὴν γαστέρα καὶ ἱδροῦσι ψυχρὸν, ὁποῖον συμβαίνει καὶ τοῖς ἐπὶ τοῖς ἄλλοις σπασμοῖς ἀπολλυμένοις. Διὰ μὲν οὖν τὰς ὀδύνας καὶ τὰς φλεγμονὰς, φλεβοτομεῖν εὐθὺς ἐξ ἀρχῆς προσήκει τοὺς ἁλόντας τῷ πάθει, καὶ ἐν ἀσιτίᾳ τηρεῖν μέχρι τριῶν ἡμερῶν, ἐμβρέχειν τε τὸ ἦτρον καὶ τὰ ἰσχία σὺν τῷ αἰδοίῳ οἰσυπηροῖς ἐρίοις διὰ οἰνελαίου, καὶ δίψει πιέζειν, ἐπεχομένην τε τὴν κοιλίαν κενοῦν μὴ δριμεῖ κλυστῆρι, ἵνα μὴ παροξύνῃ τὰς φλεγμονὰς, τροφὴν δὲ διδόναι σιτώδη ὀλίγην ἄφυσον παντάπασι καὶ ἐπὶ ὑδροποσίας τηρεῖν. Ἐπιμένοντος δὲ τοῦ πάθους, καὶ σικυαστέον μετὰ κατασχασμοῦ· εἰ δέ τι πλῆθος αἵματος παρακεῖσθαι δοκεῖ, καὶ βδέλλαις χρηστέον κατὰ τὸν τόπον. Καταπλάσσειν δὲ τοῖς κοινοῖς καταπλάσμασι διὰ τῆς ὠμῆς λύσεως· ἄριστον δὲ καὶ ὑπομαλάσσειν τὴν κοιλίαν διὰ σεύτλου καὶ μαλάχης προσλαβόντα χυλὸν ὀλίγον λινοζώστεως, καὶ τῶν ὀστρέων τὸ ἀφέψημα διδόναι πίνειν· τῶν δὲ δραστικωτέρων καθαρτηρίων ἀπέχεσθαι παντάπασιν. Φυλακτέον δὲ τὰς δυνάμεις ταῖς σιτώδεσι τροφαῖς λεπτύνειν πρᾴως δυναμέναις χωρὶς τοῦ θερμαίνειν ἐπιφανῶς. Ἐπιθετέον δὲ καὶ τῇ ὀσφύϊ τῶν ψυχόντων ἐπιφανῶς, οἷον στρύχνου, ἀνδράχνης, ὑοσκυάμου, ἀειζώου. Ἀναγκαῖον δὲ καὶ τὸν καυλὸν καὶ τὸν περίνεον χρίειν τινὶ τῶν πρᾴως ψυχόντων, οἷον λιθαργύρῳ καὶ κιμωλίᾳ, καὶ ψιμυθίῳ, ὄξει ταῦτα ἀνέσαντες, ἢ ὀξυκράτῳ, ἢ ὕδατι· κάλλιστα δὲ ποιεῖ ἐπὶ αὐτῶν καὶ κηρωτὴ διὰ ῥοδίνου καλλίστου ἐσκευασμένη, καὶ ὕδατι ψυχρῷ πλειστάκις πεπλυμένη, τῷ τε

1. συνιστάμενος BCUV. — 1-2. δηλ. τοῦ... τοιοῦτον] δηλ. τοῦ καὶ Σατύρου (Σάτυρον V 1ᵉ m.) Πριάπου ὀνομάζει τ. UV; δηλ. τὸν γὰρ Πρίαπον ὃν καὶ Σ. ἔνιοι ὀνομάζουσι τ. V 2ᵉ m.; δηλ. καὶ γὰρ Σατ. Πρίαπον ὀνόματι τ. AX (qui a ὀνομάξει); τοῦ Σατ. ὅν τ. B; *Appellationem autem accepit priapismus a Priapo videlicet Satyro* Corn. — 4. κατὰ τό BCUV. — 6. πολλάκις μέν C; πολλ. δέ V. — 7. ἀπεχόμενοι UV qui a 2ᵉ m. ἀπεχομένοις (l. 8). — 9. διαφορηθῶσι BC; διαφορήσῃ ex corr. V. — Ib. πλῆθος V. — 13. τινι codd. — Ib. οὕτω οἱ ὀξ. A. — 14. τε AX. — 16. τάς om. BCUV. — Ib. φλεβ. καὶ εὐθύς A. — 17. τριῶν ὡρῶν ἐμβρ. δὲ τό τε U. — 18. καὶ δίψει ἐπεχ. V 1ᵉ m.; καὶ ὁ ζει (?) ἐπεχ. V 2ᵉ m. — 22. κοινοῖς] ὠμοῖς U. — 23. διά avant τῆς om. BUV. — 25. παντάπ. om. U. — 27. Ἐπιθ..... ἐπιφ. om. BV. — 28. στρύχνον et les autres mots à l'acc. C. — Ib. καὶ ὑοσκ. U qui omet ἀειζώου. — 29. ψυχουσῶν V. — Ib. καί avant κιμ. om. BCU; ἤ X. — 31. ἐσκ. om. V.

αἰδοίῳ καὶ ταῖς ψόαις ἐπιτιθεμένη. Κατακλίνειν δὲ αὐτοὺς χρὴ ἐπὶ πλευρὰν καὶ ὑποσΊρωννύειν τὰ λεχθησόμενα ἐπὶ γονοῤῥοϊκῶν καὶ ποτίζειν τοῖς ἐπὶ ἐκείνων γραφησομένοις. Εἴργειν δὲ αὐτοὺς χρὴ παντάπασι καὶ θεαμάτων καὶ διηγήσεων καὶ μνήμης ἐπεγείρειν δυναμένης εἰς ἀφροδίσια.

λγ'. Περὶ γονοῤῥοίας. Ἐκ τῶν Γαληνοῦ.

Ἡ γονόῤῥοια ἔκκρισίς ἐσΊι σπέρματος ἀπροαιρέτως γινομένη χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως. ὨνόμασΊαι δὲ οὕτως ἐκ τοῦ ῥεῖν τὴν γονὴν ἀκουσίως. Γίνεται δὲ τὸ πάθος διὰ ἀσθένειαν τῆς καθεκτικῆς ἐν τοῖς σπερματικοῖς ἀγγείοις δυνάμεως· ὥσπερ γὰρ ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων αἱ τῶν τροφῶν κατοχαὶ καὶ αἱ τῶν περιτΊωμάτων ἐκκρίσεις ἐῤῥωμένων τῶν δυνάμεων γίνονται, οὕτως ἐπὶ τῶν παρὰ φύσιν ἐχόντων, αἱ μὲν τῶν περιτΊωμάτων ἐποχαὶ ἐνίοτε διὰ ἀῤῥωσΊίαν τῆς ἐκκριτικῆς γίνονται δυνάμεως, αἱ δὲ ἐκκρίσεις διὰ τὴν τῆς καθεκτικῆς ἀσθένειαν, ἤ τινα ἑτέραν διάθεσιν ὁμοίως τῇ κατὰ φύσιν ἐκκριτικῇ κινοῦσαν τὰ μόρια, καθάπερ ἐπὶ αὐτῶν τῶν σπερματικῶν ἀγγείων ἐν ἐπιληψίαις τε συμβαίνει, καὶ τοῖς ἄλλοις σπασμοῖς τοῖς βιαιοτέροις. Ἐνίοτε δὲ καί τισι τῶν σπασμωδῶς τελευτώντων σπέρμα ἐκκρίνεται. Γονόῤῥοια μὲν οὖν τῶν σπερματικῶν ἀγγείων ἐσΊὶ πάθος, οὐ τοῦ αἰδοίου. Ὀδύνην μὲν οὐκ εἴωθε λίαν ἐργάζεσθαι τὸ πάθος, ἀειδίαν δὲ οὐ τὴν τυχοῦσαν καὶ συγχυσμὸν παρέχει, ἀδιαλείπΊως ἐκκρινομένου τοῦ σπέρματος ἀπροαιρέτως. Ἀποτελεῖται δὲ ἐνίοτε καὶ ἐκ ῥευματισμοῦ τῶν σπερματικῶν ἀγγείων, ἔσΊι δὲ ὅτε καὶ σατυριάσεως προηγησαμένης ἐπιγίνεται ἡ γονόῤῥοια. Συμβαίνει δὲ τὸ πάθος τοῖς προσηβῶσι μᾶλλον, τοῖς περὶ τὸ τεσσαρεσκαιδέκατον ἔτος· ἤδη δὲ καὶ ταῖς ἄλλαις ἡλικίαις. ἜσΊι δὲ τὸ ἐκκρινόμενον σπέρμα ὑδαρὲς λεπΊὸν δίχα προθυμίας τῆς περὶ τὴν συνουσίαν, τὰ πλεῖσΊα μὲν ἀναισθήτως, ἔσΊι δὲ ὅτε καὶ μετά τινος ἡδονῆς· καταφθείρεται δὲ αὐτοῖς ἠρέμα τὸ σύμπαν σῶμα ἰσχναινόμενον, ἰδίως δὲ τὰ κατὰ τὴν ὀσφύν. Παρέπεται δὲ καὶ ἀτονία πολλή, οὐ διὰ τὸ πλῆθος τοῦ ἐκκρινομένου, ἀλλὰ διὰ τὴν κυριότητα τῶν τόπων. Οὐ μόνον δὲ ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶ τοῦτο συμβαίνει, καὶ ἔσΊιν ἐπὶ τῶν γυναικῶν δυσαπάλλακΊον. — Θεραπεία δὲ καὶ τούτων κοινὴ ἡ ἐπὶ παντὸς ῥευματισμοῦ παραλαμβανομένη. Πρῶτον μὲν οὖν ἐπὶ ἡσυχίας καὶ ὀλιγοσιτίας καὶ ὑδροποσίας τηρεῖν· εἶτα δὲ καὶ σκέπειν τὴν ὀσφὺν καὶ τὸ ἐφήβαιον ἐρίοις βεβρεγμένοις οἴνῳ καὶ ῥοδίνῳ, ἢ οἰνανθίνῳ, ἢ μηλίνῳ· οὐκ ἄθετοι δὲ οὐδὲ σπόγγοι, ὀξυκράτῳ δεδευμένοι· ταῖς δὲ ἑξῆς καὶ καταπλάσμασι τοῖς διὰ φοινίκων, μήλων, ἀκακίας, ὑποκισΊίδος, οἰνάνθης, ῥοὸς ἐρυθροῦ, καὶ τῶν ὁμοίων, ἐγκαθίσμασί τε χρῆσθαι

2-3. τὰ...... γραφησόμενα BCU. — 2. ποτ. δέ (δή U) ABUVX. — 3. καὶ θεαμ. om. V. — Ch. 33, l. 8. αἱ après καί om. U. — 12. κινοῦσα AV; κινούσῃ BCU. — 15. οὖν καὶ τῶν BV 1[e] m.; om. καί 2[e]. — 16. μέν] δέ AVX. — 18. ἐκ] ἀπό U. — Ib. ἔτι δὲ καί σ. BC; ἔσΊι δὲ καί σ. V. — 19. παρηβῶσι codd. — 20. μάλισΊα BCUV. — Ib. τοῖς om. AV. — 21. ἐκκρινον A. — Ib. τῆς om. AUVX. — 22. μέν om. U. — Ib. καί om. AV. — 23. τά om. UV. — 24. δέ om. BV. — 26. τούτου ἡ κοινὴ ἐπί V; ἡ om. X. — 28. δέ om. BV. — 29. δέ om. X. — Ib. οὐδέ om. A. — Ib. σπόγ. om. U. — 30. καί om. V. — 31. οἰνάνθ. om. X. — Ib. χρησΊέον AX.

στυπτικοῖς, ἀφεψήμασι σχίνου, βάτου, μυρσίνης καὶ τῶν παραπλησίων, ἑψομένων ἐν οἴνῳ αὐστηρῷ, ἢ ἀκράτῳ, ἢ κεκραμένῳ. Τροφαῖς δὲ χρῆσθαι δυσφθάρτοις τε καὶ δυσμεταβλήτοις καὶ ἀναξηραντικαῖς, διδόναι τε αὐτοῖς σὺν τῷ ποτῷ καὶ ταῖς τροφαῖς τοῦ ἄγνου τὸ σπέρμα καὶ τὸ τῆς καννάβεως, καὶ μᾶλλον πεφρυγμένα, καὶ τοῦ πηγάνου τὸ σπέρμα καὶ τὰ φύλλα, καὶ τῆς θριδακίνης τὸ σπέρμα καὶ τοὺς καυλοὺς, καὶ τῆς νυμφαίας τὴν ῥίζαν. Πίνειν δὲ κατὰ ἑκάστην ἡμέραν ἀντὶ τοῦ κοινοῦ ὕδατος ὕδωρ ἐν ᾧ σίδηρος πλειστάκις ἐναπεσβέσθη. Ἔδωκαν δέ τινες τοῖς γονοῤῥοϊκοῖς πίνειν ἁλικακκάβου ῥίζης τὸν φλοιὸν μετὰ ὕδατος, καὶ οὐκ ἂν εἴη ἀνοίκειον ἀποπειρᾶσθαί ποτε καὶ τούτου. Καὶ ἀντίδοτον δὲ τοῖς γονοῤῥοϊκοῖς διδόναι ταύτην δόκιμον οὖσαν καὶ πρὸς τοὺς συνεχεῖς ὀνειρωγμούς. Ἰτέας καρποῦ ∠ ζ'· καλαμίνθης ∠ ς', ἄγνου λευκῆς σπέρματος ∠ ε', πηγάνου ∠ δ', κωνείου σπέρματος ∠ β'· ὕδατι ἀνάπλασσε τροχίσκους καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ ὀξυκράτου κυάθων τριῶν. Δριμυφαγίαν τε πᾶσαν καὶ πολυοινίαν καὶ λαχάνων προσφορὰν φυλακτέον· τὴν δὲ δίαιταν πᾶσαν ἀναξηραντικὴν καὶ στυπτικὴν θετέον. Μετὰ δὲ τοὺς πρώτους χρόνους, ἐπὶ τὰ ἀλείμματα ἄγειν καὶ τὴν γυμναστικὴν ἀγωγὴν, διὰ ἧς τό τε ὅλον σῶμα, καὶ ἰδίως τὰ πεπονθότα μέρη, εἰς ῥῶσιν παραχθήσεται. Καὶ τὰ πολλὰ μὲν ἐπὶ ἀλείμματος μένειν, ὀλιγάκις δὲ καὶ λούεσθαι, κόπον ἢ ἀπεψίαν θεραπεύεσθαί ποτε βουλόμενοι. Ἀγαθὸν δὲ, εἰ μηδὲν κωλύοι, ἐπὶ τὴν ψυχροποσίαν καταφεύγειν ἀποικονομητικὴν οὖσαν παντὸς ἐκ ῥευματισμοῦ γινομένου νοσήματος, καὶ μάλιστα εἰ τὸ ὕδωρ φαρμακῶδες εἴη, ὥσπερ τὸ ἐν Ἀλβούλοις, ὅπερ καὶ πινόμενον ἐπὶ αὐτῶν ἄκρως ποιεῖ· ἔστι δὲ τῇ γεύσει ὑφάλμυρον καὶ τῇ ἀφῇ γαλακτῶδες. Χρῆσθαι δὲ ἐπὶ αὐτῶν ἐκ διαλειμμάτων τινῶν ἁρμόδιον καὶ συγχρίσμασι καὶ ἐπιθέμασι καὶ μαλάγμασι τοῖς φοινίσσειν καὶ μαλάσσειν δυναμένοις· καὶ εἰς τὴν ἐπιφάνειαν τὰ ἐν τῷ βάθει μεταφέρειν· τὰ δὲ πολλὰ ἐπὶ πλευρὰν κατακλίνειν, καὶ ὑποστρωννύειν καλαμίνθης φύλλα καὶ πηγάνου καὶ ἄγνου. Καὶ ἐπιθέματι δὲ χρηστέον ἐπὶ αὐτῶν τοιῷδε. Ἀδίαντον πλεῖστον κόψας καὶ λεάνας μετὰ ὄξους, ἢ μετὰ χυλοῦ σελίνου, ἢ σέρεως, ἢ ψυλλίου, ἀναλάμβανε κοχλιῶν χερσαίων ἑφθῶν τῇ σαρκὶ, καὶ ἐπιπλάσας εἰς ὀθόνιον, ἐπιτίθει κατὰ τῶν ἰσχίων. Χρηστέον δὲ καὶ τῇ προγεγραμμένῃ ἐπὶ τοῦ πριαπισμοῦ ῥοδίνῃ κηρωτῇ, καὶ τοῖς μετὰ ταῦτα ῥηθησομένοις ἐπὶ ὀνειρωγμῶν· φυλακτέον δὲ καὶ τὰς πρὸς ἀφροδίσια πάσας ἐννοίας.

1. *ἀφεψήματι* BCUV. — 2. *κεραμ.* BUV et ainsi touj. — 2-3. *δυσκαταβλ.* U. — 3. *τε* om. V; *δὲ* U. — Ib. *τῷ* om. BCUV. — 4. *τό* avant *τῆς* om. BCUV. — 5. *καὶ τῆς* avant *θρ.* om. U. — 7. *πολλάκις* CUV. — Ib. *ἀπεσβ.* BCUV. — 9. *τούς* om. BC. — 10. *Ἰτέας καρποῦ* AUV 2ᵉ m. Corn.; *Ἰτέας φύλλων, ἐν ἄλλῳ ἰτέας καρποῦ* BC. — Ib. *λευκοῦ* BCUV. — Ib. *σπέρμα* A. — 12. *τό* om. U. — 15. *τά* om. A (qui omet aussi *τήν*) UV. — 16. *μέρη* om. UV. — 17. *κόπον* om. BCV. — Ib. *δὲ καί* BCUV. — 18. *ἀποκωλυτ.* C. — 22. *ἁρμοδίοις* BC. — Ib. *καί* avant *συγχ.* om. BC. — Ib. *καὶ ἐπιθ.* om. V 2ᵉ m. — 22-23. *καὶ μαλ.* om. AX. — 23. *τά* avant *ἐν* om. U. — 24. *καί* après *φύλλα* om. U. — 25. *ἐπὶ αὐτῶν* om. U. — 26. *σεσέλεως* BC 1ᵉ m. V; *seridis* Corn. — 27. *ἑφθῶν ἐν ἄλλῳ ζ' τῇ σ. καί* C; *ἑφθῶν ζ' τῇ σ. καί* V; *ἑφθὰς τὰς σάρκας καί* U Corn.; *ζ' τῇ σαρκί* X. — 28. *ῥοδίνῃ* om. U (qui a *τῇ* pour *τοῦ*) V. — 29-30. *τῆς... πάσης* AUV.

λδ'. Περὶ ὀνειρώξεων. Ἐκ τῶν Φιλαγρίου.

Ὀνειρώτlειν λέγονται, ὅσοι ἐν τῷ καθεύδειν γονὴν ἐκκρίνουσιν. Τοῦτο δὲ αὐτοῖς συμβαίνει, τὰ πολλὰ μὲν διὰ τὴν ὕλην κακόχυμον ὑπάρχουσαν, ἢ πολλὴν, ἢ διὰ ῥώμην τῶν σπερματικῶν μορίων· τινὲς δὲ ἤδη καὶ λυπηθέντες, ἢ ἀσιτήσαντες, ἀπέκριναν γονὴν κατὰ τοὺς ὕπνους παρὰ τὸ εἰωθὸς διὰ τὴν δριμύτητα τῆς ὕλης ἐρεθισθέντες, οὐ διὰ εὐρωσlίαν τῶν σπερματικῶν μορίων ἀποκρίναντες. Τοῖς τοιούτοις, λέγω δὴ τοῖς λυπηθεῖσιν ἢ ἀσιτήσασιν, ὡς ἐπίπαν μὴ προηγησαμένης φαντασίας τινὸς ἐν τοῖς ὕπνοις, ἀνεπαισθήτως ἐκκρίνεται ἡ γονή· τοῖς δὲ ἄλλοις οὐ μετὰ ἐντάσεως τοῦ αἰδοίου μόνον, ἀλλὰ καὶ μετά τινος προαιρετικῆς φαντασίας ἐν τοῖς ὕπνοις γινομένης προχεῖται ἀτάκτως ἡ γονή. Μοχθηροτάτη δὲ ἕξις σώματός ἐσlιν ἡ τοιάδε. Σπέρμα πολὺ καὶ θερμὸν ἔνιοι γεννῶσιν, ἐπεῖγον αὐτοὺς εἰς ἀπόκρισιν, ἔκλυτοί τε γίνονται τῷ σlόματι τῆς κοιλίας, καὶ τῷ παντὶ δὲ σώματι καταλύονται καὶ ἀσθενεῖς γίνονται, καὶ ξηροὶ, καὶ λεπlοὶ, καὶ ὠχροὶ, καὶ κοιλοφθαλμιῶντές εἰσιν οἱ οὕτω διακείμενοι. Εἰ δὲ ἀπέχοιντο μίξεως ἀφροδισίων ἐκ τοῦ ταῦτα πάσχειν, δύσφοροι μὲν τῇ κεφαλῇ γίνονται, δύσφοροι δὲ καὶ τῷ σlομάχῳ, καὶ ἀσώδεις, καὶ οὐδὲν μέγα διὰ τῆς ἐγκρατείας ὠφελοῦνται· συμβαίνει γὰρ αὐτοῖς ἐξονειρώτlουσι παραπλησίας γίνεσθαι βλάβας αἷς ἔπασχον ἐπὶ ταῖς συνουσίαις. Τινὲς δὲ ἐξ αὐτῶν δακνώδους τε καὶ θερμοῦ πάνυ τοῦ σπέρματος αἰσθάνονται κατὰ τὴν ἀπόκρισιν, καθὼς αὐτοὶ φάσκουσιν. Τοῖς τοιούτοις οὖν συμβουλεύειν προσήκει, φησὶν ὁ Γαληνὸς (*Sanit. tuenda*, VI, 14), βρωμάτων μὲν ἀπέχεσθαι τῶν γεννώντων σπέρμα, προσφέρεσθαι δὲ οὐ βρώματα μόνον, ἀλλὰ καὶ φάρμακα τοῦ σπέρματος σβεσlικὰ, ὁποῖόν ἐσlιν ἄγνου σπέρμα πεφωγμένον καὶ διάφρυκτον· καὶ τὰ φύλλα δὲ καὶ τὰ ἄνθη τὰς ἀφροδισίους ὁρμὰς ἐπέχειν πεπίσlευται, οὐκ ἐσθιόμενα μόνον καὶ πινόμενα, ἀλλὰ καὶ ὑποσlρωννύμενα. Τὸ δὲ τῶν φακῶν ἀφέψημά φασι καὶ τὰς ἐντάσεις παύειν, ἀνδράχνη τε ἐσθιομένη καὶ τὸ τῆς θρίδακος σπέρμα πινόμενον, καὶ ἡ τῆς νυμφαίας ῥίζα καὶ τὸ σπέρμα ἐσθιόμενα σβέννυσι τὴν γονὴν ἐμψύχοντα. Πήγανον δὲ ἐσθιόμενον τῇ θερμότητι διαφθείρει καὶ πήγνυσι τὴν γονήν· τὴν δὲ καλαμίνθην ἐσθιομένην συνεχῶς φασι καὶ ἀγόνους ποιεῖν· παραπλησίως δὲ καὶ τὸ τοῦ λευκοΐου σπέρμα, καὶ κισσοῦ κορύμβους μέλανας τρεῖς πινομένους· ἀλύπως δὲ ἐλατlοῖ τὴν γονὴν πινόμενον συνεχῶς τὸ τῶν χαλκέων ὕδωρ ἐν ᾧ ὁ σίδηρος ἀποσβέννυται. Τῶν μὲν οὖν τοιούτων ἡ ὕλη σύμπασα κατὰ τὸν δεύτερον

Ch. 34, l. 2. τά] κατά V; om. A. — 2-3. ἢ καὶ διὰ ῥ. δὲ τῶν AX (qui omet ἤ). — 4. παρά] κατά AX. — Ib. παρὰ τὸ εἰωθός om. C. — 5. τοιούτοις οὖν λέγω V 2ᵉ m. — 9. Μόχθ. ἕξις. — Ib. ἐσlιν. καὶ ἡ τοιάδε A. — Ib. Σπέρμα δὲ π. BC; Σπ. τὸ π. V 2ᵉ m. — 10. αὐτοῖς V; αὐτὴν V. — 11. τε καὶ ἀσθενεῖς VX. — 12. ἀπέχονται UV. — 14. δὲ τῷ BCUV. — Ib. καί avant οὐδέν om. U. — 15. γάρ] δέ BCV. — Ib. ἔπασχον] ἔσχατον A. — 17. ἔκκρισιν BC. — Ib. οὖν om. U. — 18. προσήκει om. U. — 21. ἄνθη καὶ τάς B; après ἄνθη V a deux ou trois lettres effacées. — 22. ἀλλά om. U. — Ib. φακῶν] φαρμάκων V. — 23. φησι UX. — Ib. τε om. V. — 27-28. κόρυμβοι μέλανες τρεῖς πινομένοι AUV. — 29. οὖν om. U.

τῆσδε τῆς πραγματείας προγέγραπται λόγον. Συνθέτῳ δὲ χρῶμαι ἐπὶ αὐτῶν καὶ τῷ προγεγραμμένῳ μὲν ἐπὶ τῶν γονοῤῥοϊκῶν, καὶ τούτῳ δέ· ἄμμεως κόκκους ϛʹ, μαράθρου τὸ ἴσον, πηγάνου φύλλα λʹ· μετὰ ἰσχάδων τριῶν λιπαρῶν κατὰ μῆνα ἔσθιε ἅπαξ, ἢ ὁσάκις βούλει. Φυλάττεσθαι δὲ χρὴ τὴν συνεχῆ χρῆσιν τῶν σφοδρῶς ψυχόντων ἐπί τε τῶν διὰ στόματος διδομένων, καὶ ἐπὶ τῶν ἔξωθεν προστιθεμένων, καθάπερ ὅσα διὰ μήκωνός τε καὶ μανδραγόρου σκευάζεται χρίσματα. Ἀλείμματα δὲ προσάγειν μετὰ τὸ λουτρὸν τῶν συμμέτρως ἐμψύχοντων· ἐστὶ δὲ τοιαῦτα τὸ καλούμενον ὠμοτριβὲς καὶ ὀμφάκινον ἔλαιον, καὶ μάλιστα τὸ ῥόδινον ἐκ τοῦ ὀμφακίνου ἐσκευασμένον, καὶ τὸ μήλινον. Συνθεῖναι δὲ ἐνίοτε καὶ παχύτερα τῇ συστάσει χρίσματα, πρὸς τὸ μὴ ῥαδίως ἀποῤῥεῖν. Ἡ δὲ σύνθεσις αὐτῶν ἐστι διά τε κηροῦ καί τινος χυλοῦ τῶν στυφόντων ἢ ψυχόντων γινομένη τῷδε τῷ τρόπῳ. Τήξας κηροῦ μέρος ἓν μετὰ τετραπλασίονος ἐλαίου, εἶτα ἐν τῇ θυίᾳ μαλάξας ταῖς χερσὶν ἱκανῶς, ἐπίσταζε κατὰ βραχὺ ἐμψύχοντα ὅσον ἐπιδέχεται, καὶ ἑνώσας χρῶ. Ἐπιτήδειοι δὲ εἰς τοῦτό εἰσι χυλοὶ τοῦ τε ἀειζώου καὶ τοῦ στρύχνου, κοτυληδόνος τε καὶ ψυλλίου, καὶ πολυγόνου, καὶ τριβόλου, καὶ περδικίου, καὶ νυμφαίας, καὶ ἀνδράχνης· οὐκ ἀνίησι δὲ αὕτη χυλὸν, ἐὰν μὴ κοπτομένης αὐτῆς ἐν ὅλμῳ παρεγχέηταί τις ἄλλος χυλὸς λεπτὸς, μάλιστα τῆς ὄμφακος σταφυλῆς καὶ τῶν ῥόδων· ἀλλὰ οὗτοι μὲν τῷ θέρει εὐπόριστοι, τῶν δὲ ἄλλων πολλοὶ κατὰ ἄλλας ὥρας εἰσὶν, ὥσπερ ὁ τῆς θριδακίνης, σέρεως, στρατιώτου, καὶ φακῶν τῶν ἐπὶ ὕδασι φυομένων· καὶ τὸ λινόσπερμον δὲ ἑψόμενον ἐν ὕδατι χυλὸν μετρίως ψύχοντα ἐργάζεται· καὶ ῥάμνου φύλλων χυλὸς, καὶ τὰ τούτοις παραπλήσια. Κάλλιστον δὲ καὶ μολιβδίνην λεπίδα ταῖς ψόαις ὑποτιθέναι τοῦ ὀνειρώττοντος καὶ τοῦ γονοῤῥοϊκοῦ· ἐμψύχει γὰρ ἱκανῶς αὕτη. Ἐπὶ δὲ τῶν μὴ ἀνεχομένων τῆς τοῦ μολίβδου σκληρότητος συμβουλεύειν προσήκει τῶν προειρημένων βοτανῶν ὑποστρωννύειν τινὰς ξηρὰς, ἀναμιγνύειν δὲ αὐταῖς καὶ ἄγνου φύλλα καὶ πηγάνου βραχὺ καὶ καλαμίνθης, μάλιστα δὲ τὰ ῥόδα· ὀνίνανται γὰρ ὑπὸ τῶν τοιούτων χωρὶς τοῦ βλαβῆναί τι κατὰ τοὺς νεφρούς· αἱ γὰρ σφοδραὶ ψύξεις τῶν ὑποτιθεμένων τῇ ὀσφύϊ ἀδικοῦσι τοὺς νεφρούς. Καὶ αὐτὴ δὲ ἡ στρωμνὴ δερματίνη ἔστω, καὶ μὴ πάνυ μαλακή. Κατακλίνεσθαι δὲ αὐτοὺς προσήκει τὰ πολλὰ ἐπὶ πλευρὰν, παραιτουμένους τὸ ὕπτιον σχῆμα, πρὸς τὸ μὴ ὑπερθερμαίνεσθαι τὰς ἐν τῇ ὀσφύϊ ἀρτηρίας. Αὕτη μὲν οὖν κοινὴ πάντων ἐστὶ τῶν ὀνειρωττόντων ἐπιμέλεια· παραφυλάττειν δὲ χρὴ τοὺς τὴν εἰρημένην μοχθηρὰν κατασκευὴν σώματος ἔχοντας, λέγω δὴ τοὺς ἀδικουμένους τὸν στόμαχον ἐκ τῆς συνουσίας, ἡνίκα μάλιστα φαίνονται πλῆθος ἠθροικέναι σπέρματος ἀποκρίσεως δεόμε-

1-2. Συνθέτων....... τῶν προγεγραμμένων δὲ ἐπί U; συνθέτοις δὲ..... τοις προγεγραμμένοις μὲν ἐπί BC.— 4. δέ om. A. — 5. προσαγομένων BCV. — 7. τὰ... ψύχοντα BC; τῶν... ψύχοντων UV.— Ib. εἰσί BCV; ἔστω U.— Ib. ταῦτα BC.—Ib. τό τε AUV. — 8. τό om. A. — 12. βραχὺ χυλόν BCUV.— 13. τοῦ] τό A.— 14. καί avant τρ. om. U; it. l. 15, avant περδ. — 15. ὀνίνησι X. — 16. ἐν] σύν U. — 17-18. οἱ δὲ ἄλλοι BC. — 18. σέρεως τραγηωτου (sic) A. — 19. τε καί φ. AUV 2ª m. X; φακοῦ V. — Ib. ἐν ὕδ. U. — Ib. δέ om. BC; καί V 1ª m.; om. 2ª m. — Ib. ἐν om. AUV. — 21. ἐπιτιθέναι BCX. — 21-22. τῶν γονοῤῥοικῶν A. — 22. μετρίως U. — Ib. αὕτη om. AUVX. — 23. συμβουλεύει τούτοις τῶν προειρ. B. — Ib. βοτανῶν om. BV. — 25. τά] καί BC. — Ib. γάρ om. AX. — 26. ἐπιτιθ. BC.

νον, ἐν ἡμέρᾳ τινὶ διαιτηθέντας εὐχύμως τε καὶ μετρίως. Χρῆσθαι μὲν [οὖν?] ἐπὶ τῷ δείπνῳ τρεπομένους εἰς ὕπνον τῇ συνουσίᾳ, κατὰ δὲ τὴν ἑξῆς ἡμέραν, ὅταν αὐτάρκως ἔχωσιν ὕπνου, διαναστάντας ἀνατρίψασθαι σινδονίῳ, μέχρις ἂν ἔρευθός τι σχῇ τὸ δέρμα, κἄπειτα τῇ διὰ ἐλαίου τρίψει συμμέτρως χρησαμένους, εἶτα μὴ πολὺ διαλιπόντας, ἄρτον εὔζυμον κλιβανίτην καθαρὸν ὀλίγον ἐξ οἴνου κεκραμένου προσενεγκαμένους, οὕτως ἔρχεσθαι ἐπὶ τὰς συνήθεις πράξεις. Ἐν δὲ τῷ μεταξὺ τῆς τε διὰ ἐλαίου τρίψεως καὶ τῆς τοῦ ἄρτου προσφορᾶς, εἰ χωρίον ἔχοιεν πλησίον ἐπιτήδειον, περιπατείτωσαν ἐν αὐτῷ βραχέα. Εἰ δὲ κρύος εἴη χειμερινὸν, ἄμεινον ἔνδον βαδίζειν τηνικαῦτα. Ἀπεχέσθωσαν δὲ θεαμάτων καὶ ἀναγνώσεων ἀνάμνησιν ἐργαζομένων τῆς τῶν ἀφροδισίων χρήσεως. Καὶ κατὰ ἑκάστην δὲ ἡμέραν γυμνάζεσθαι προσήκει τοὺς τοιούτους γυμνάσια τὰ διὰ τῶν ἄνω μερῶν ἐπιτελούμενα. Τὴν μέντοι διὰ τῆς ἐδωδῆς τοῦ ἄρτου ῥῶσιν τοῦ στομάχου κοινὴν ἐκτιθέμεθα ἐπὶ παντὸς ἀνθρώπου ἐκχολουμένου καὶ ἐκλυομένου τὸν στόμαχον, ὥστε περὶ τρίτην ὥραν αὐτοὺς προσφέρεσθαι ἄρτον βραχεῖ οἴνῳ κεκραμένῳ ὕδατι θερμῷ διάβροχον, καὶ οὕτως ἔχεσθαι τῶν συνήθων πράξεων.

λε'. Περὶ τῶν ἀφροδισίοις χρῆσθαι μὴ δυναμένων.

Οἱ ἀφροδισίοις χρῆσθαι βουλόμενοι, ἄπρακτα δὲ ἔχοντες τὰ μόρια, γυμναζέσθωσαν οὖν τὰ κάτω μέρη, βουβῶνάς τε καὶ μηροὺς, τριβόμενοι τοῖς τοιούτοις· πεπέρει, νίτρῳ, εὐφορβίῳ μετὰ ἐλαίου καὶ τοῖς ἐκ τῶν τοιούτων συντιθεμένοις ἀλείμμασιν, ὧν ὑποδείγματα μετὰ βραχὺ τῆς συνθέσεως ἐροῦμεν. Καθευδέτωσαν δὲ ἐπὶ μαλακαῖς κοίταις, καὶ ἀναγινωσκέτωσαν δὲ προτρεπτικὰ συνουσίας ἀναγνώσματα, καὶ θεάμασι τοιούτοις προσεδρευέτωσαν. Σιτία τε αὐτοῖς καὶ φάρμακα θερμαντικὰ καὶ φυσώδη ἁρμόζει, οἷον ἐρέβινθοι, κύαμοι, χόνδρος, πράσα, βολβοὶ, σταφυλίνου ῥίζα καὶ σπέρμα μετρίως, στρόβιλοι, ἄρου ῥίζα ἑφθὴ, κολοκασίου ῥίζα ἑφθὴ, καὶ δρακοντίου, ἀκαλήφης σπέρμα, γογγυλίδος σπέρμα, εὐζώμου φύλλα καὶ τὸ σπέρμα, καὶ μάλιστα τοῦ ἀγρίου, κόστος, πέπερι μετὰ οἰνομέλιτος, σατύριον, σήσαμον, ὅρμινον, ἀμύγδαλα μετρίως, ἄνισον, πολύποδες, καὶ τὰ ὄστρεα πάντα. Ὠφελεῖ δὲ αὐτοὺς καὶ ὁ

3. διαναστ. ῥίψ. A; ἀναστὰς διατρίψ. V 2[e] m. — Ib. διατρίψασθαι BC; διατρίψαντας U. — Ib. ἔρυθος (ἐρυθρός m. réc.) A. — 4. συμμέτρως om. BC. — Ib. μήπω διαλ. U; μήπου διαλ. V. — 5. τὸν κλιβ. BCUV. — Ib. ὀλίγον om. C. — 7. τοῦ prim. τούτου m. réc. A. — Ib. ἔχοι AU; ἔχει VX. — 7-9. ἐπιτήδ... δέ om. V. — 8. δὲ καί BCUV. — Ib. καιρός BCU. — Ib. χειμερινός B. — 9. ἀναγνωσμάτων U. — 10. δέ om. BCV. — 13. περὶ τὴν τρ. BUV. — Ib. βραχύ UVX. — 14. πράξεων] Apr. ce mot CX aj. Τρίγλα συνεχῶς ἐσθιομένη ἀργοὺς πρὸς συνουσίαν ποιεῖ· τὸ δὲ πήγανον πάντη ἀπράκτους, κἂν θελήσωσιν. — Ch. 35, l. 15. μόρια διὰ διττὴν αἰτίαν ταῦτα πάσχουσιν, ἢ διὰ παράλυσιν τῶν μοριῶν ἢ διὰ ἐνδείαν σπέρματος καὶ ἄθυμοι διὰ τοῦτο γίνονται· γυμναζ. οὖν X. — 16. τριβέτωσαν V 2[e] m. — Ib. πιπέρ A et ainsi touj. — 17. νίτρον εὐφόρβιον ABU (qui a καὶ εὐφ.) V 1[e] m. X. — 17. ὧν om. BUV 1[e] m. — 18. δείγματα δὲ μ. U. — Ib. δέ] καί C. — 18-19. κοίταις] κλίναις U. — 19. δέ om. UV. — Ib. συν. καὶ ἀναγν. UV. — 20. τε] δέ AV 2[e] m. — 21-22. καὶ τὸ σπ. BCUV. — 22. κολ. ῥ. ἑφθή om. C (qui reporte ces mots avant γογγ. l. 23); ἑφθή om. U. — 23. γογγυλίδος σπέρμα om. V; καὶ σπέρμα (om. γογγ.) U. — Ib. καὶ μάλ. om. V. — 24. καὶ πιπέρ AU. — 25. ἅπαντα BC. — 25 et p. 126, l. 1. Ὠφελεῖ... ἐσθ. om. UV 1[e] m. (la 2[e] m. ajoute καὶ τὸ σατυρεῖον) X Corn.

ἀσκαλαβώτης τὸ ζῷον ἐσθιόμενον, πέρδικός τε ᾠὰ εἰς συνουσίαν ἐγείρει· ἀλέκτορος ὄρχεις σπέρμα πολὺ ἀθροίζουσι, καὶ πάντα τὰ εὔχυμα. Ἀλώπεκος ὄρχεις ξηροὶ πινόμενοι λεῖοι κοχλιαρίου πλῆθος ἀβλαβῆ καὶ ἄψευστον τὴν ἔντασιν ποιοῦνται, καὶ τὰ περὶ τοὺς νεφροὺς τοῦ σκίγκου ὡς ἐντατικὰ τῶν αἰδοίων πίνεται· ὄρχεος βοτάνης ὁ μείζων βολβὸς μετὰ γάλακτος ποθεὶς ἐντείνει τὸ αἰδοῖον· ὁ δὲ μικρὸς διὰ ὕδατος ποθεὶς ἐκλύει τὴν ἔντασιν. — Ἐκ τῶν Ῥούφου χρίσμα ἐνεργὸν, ἐντεῖνον τὸ αἰδοῖον]. Σμύρνης, θείου ἀπύρου, κνήκου τοῦ ἐντὸς ἀνὰ ∠α', πυρέθρου ὀβολοὺς β', μελάνθιον ∠β', πεπέρεως κόκκοι λ', κνίδιοι κόκκοι κεκαθαρμένοι κ'· κόψας καὶ λεάνας ἅμα σκίλλης ∠α', καὶ τήξας κηροῦ οὐγγ. α' μετὰ ἐλαίου κικίνου οὐγγ. η' ἐπίβαλε καὶ μέλιτος οὐγγ. γ', καὶ χρῶ· μετὰ δε τὴν μίξιν ὀθονίῳ ἀκριβῶς ἐκμασσέσθωσαν οἱ τόποι· ἔνιοι δε καὶ τῷ χρίσματι τούτῳ τῆς ἕδρας προσάπτονται. Προστίθησι δὲ ὁ Ῥοῦφος καὶ ταῦτα· εὔκολον δέ φησι κἀντεῦθεν θεραπείας εὑρίσκεσθαι τοῖς οὐ δυναμένοις ἀφροδισιάζειν· νεανίσκος γάρ τις ἀφικόμενος πρὸς ἡμᾶς ἔφη, καὶ πάνυ μὲν ἐφίεσθαι μιγῆναι, μισγόμενος δὲ γονὴν μὲν μὴ ἀφιέναι, πνεύματα δὲ πολλὰ ἀπολλύειν. Τούτῳ ἐτεκμαιρόμην ξηρότητα εἶναι τῶν σπερματικῶν ἀγγείων, καὶ ἔδειξεν ἡ ἴασις· ὑγρᾷ γὰρ καὶ εὐχύμῳ διαίτῃ χρησάμενος ἐξέκρινε τὴν γονήν. Ἕτερος δὲ νεανίσκος εἰκοσαέτης ἔλεγεν, εἰ μὲν μίσγοιτο γυναικὶ, μὴ δύνασθαι γονὴν ἀφιέναι, καθεύδοντι δὲ πολὺ ὑπέρχεσθαι τοῦ σπέρματος. Ἐδόκει δέ μοι διὰ πολλὴν ὑγρότητα μετὰ ψύξεως μὴ θερμαίνεσθαι τὰ σπερματικὰ μόρια, ἐν ταῖς μίξεσι χεομένης περὶ τὴν τοῦ σώματος ἐπιφάνειαν τῆς θερμασίας, ἐν τοῖς ὕπνοις δε θερμαίνεσθαι πλέον, καθότι δύνανται ὕπνοι τὰ μὲν ἔσωθεν θερμαίνειν, τὰ δὲ ἔξωθεν ψύχειν. Ἐκέλευσα δὲ τοῦτον γυμνάζεσθαι τὰ κάτω μέρη καὶ ἱππάζεσθαι, καστόριον δὲ πίνειν καὶ διαίτῃ πάσῃ κεχρῆσθαι θερμῇ καὶ ξηρᾷ.

1. τε om. AUVX. — 2. ἀρεθίζουσι (sic) V. — 5-6. ἐντείνει..... ποθεὶς om. BV. — 5. ἐν ὕδατι U. — 6. κωλύει U. — Ib. ἔντασιν] Suivent des recettes dans les mss. excepté dans B. — Ib. Ἐκ τῶν Ῥ. om. UV; Ἐκ τῶν Ῥούφου om. BU(?) V. — 10. μίξιν] γρ. χρίσιν C in ora. — 13. μή X. — 14. μίγνυσθαι BC. — Ib. γονὴν μή BCUV. — 15. ἀπολ. διὰ τῆς ἕδρας codd. Voy. les notes. — Ib. ἐτεκμ. οὖν ξ. B. — 18. ὑπάρχεσθαι A 1re m.; ἐξέρχ. B. — 20. ἀναφανείαν ACU. — 21. δύν. οἱ ὕπνοι BCU. — 22. δέ om. B. — Ib. δὲ οὖν τ. BC. — 23. τε BCUV.

INDICATION

DES LIEUX PARALLÈLES DE RUFUS ET D'AËTIUS[1].

R. ch.	1, p.	2, l.	11, à p.	3, l.	1 :	Καὶ δή.................. κενεῶνας.
A.	16	99	2	99	3	Παρακολουθεῖ............. ϖλευρῶν.
R.	1	3	1	3	2	καὶ οὔτε............... ἀνοιμώζουσι.
A.	16	99	6	99	8	Καὶ οὔτε................ ὀδυνῶνται.
R.	1	3	6	3	12	τὰ δὲ ἄλλα............. ἐνσείουσιν.
A.	16	99	4	99	5	διατείνει.................. ἦτρου.
R.	1	3	12	4	2	Ψύχεται............... ἐρυθρότερα.
A.	16	99	8	99	10	Ψύχεται............. ἐρυθρ. οὐρεῖται.
R.	1	4	5	5	2	Τὰς δὲ φλεγμ............. καθαίρειν.
A.	16	99	19	99	25	Θεραπεύειν............... χρῆσθαι.
R.	1	5	4	5	7	Κλυσμάτιον................ ἐντέρου.
A.	16	99	26	99	29	κλυστῆρι.................. ἔντερα.
R.	1	5	7	6	8	Ὑπελθούσης...............μέρη δύο.
A.	16	100	2	100	11	ὑπελθούσης................ μέρη β'.
R.	1	6	10	8	7	Ἀγαθὸν.................. ἄνθρωπον.
A.	16	100	11	100	28	Ἀγαθὸν................. ὁ κάμνων.
R.	1	8	7	9	6	Ὅταν δὲ............. δυσκριτώτεραι.
A.	16	101	2	100	11	τότε καὶ............ δυσκριτώτεραι.
R.	2	9	7	10	1	Ὅσοις.................. σφύζουσαι.
A.	18	101	21	102	1	Ὅσοις..................... νεφρόν.
R.	2	10	2	10	6	Τούτοις............. ἀποκρινόμενον.
A.	18	102	4	102	6	τὰ γὰρ ϖολλὰ.............. τὸ ϖύον.
R.	2	10	10	10	12	Τοῖς δὲ.............. ἀποστομώσῃς.
A.	18	102	6	102	8	Τισὶ δὲ.............. ἀναστ. ἔξωθεν.
R.	2	11	3	11	7	Εἰ μὲν................. ἀπέρχεται.
A.	18	102	32	103	3	μετὰ δὲ................... ὀλίγον.

[1] On ne donne dans cette table de concordance que l'indication des passages où les textes sont presque identiques dans les deux auteurs. Les références plus générales se trouvent en tête de chaque chapitre de Rufus et d'Aëtius.

R. ch.	2, p.	11, l.	7, à p.	12, l.	1 :	Ἦν δέ σοι........ βρυωνίας τὴν ῥίζαν.
A.	18	102	8	102	13	Τῶν μὲν οὖν............ ἢ βρυωνίαν.
R.	2	12	11	13	4	Εἰ δέ σοι................ ἔῤῥωται.
A.	18	102	20	102	24	χρονιζούσης.......... ὑπομαλάσσειν.
R.	2	13	10	13	12	εἰ δή..................... μέλι.
A.	18	102	26	102	28	Καὶ ποτίζειν.............. ἐψήσει.
R.	2	14	4	14	12	Πρὸς δὲ τὰ................ ἄλλα.
A.	18	102	15	102	18	Ἐπὶ δὲ τῶν............ παραπλήσια.
R.	2	15	1	15	3	Εἰ δὲ ἐπὶ................ θερμόν.
A.	18	102	24	102	26	Εἰ δὲ.................. ὑδρέλαιον.
R.	2	15	4	15	6	εἰ δὲ ὑπὸ............... ὀριγάνου.
A.	18	102	30	102	31	Εἰ δὲ ἐκ.............. χαμαιπίτυος.
R.	2	15	6	16	1	Μετὰ δὲ................. κοτύλας.
A.	18	103	3	103	7	Διδόναι μὲν.............. πλέον.
R.	2	16	2	16	4	τοῦτο καὶ................. σῶμα.
A.	16	103	8	103	9	τοῦτο καὶ................. σῶμα.
R.	2	16	7	16	11	Χρὴ οὖν................ λιπαρόν.
A.	18	103	9	103	13	Περὶ δὲ τὰς.............. λιπαρόν.
R.	2	17	1	17	5	Λάχανα................ ἀμβλύνει.
A.	18	103	13	103	15	Λαχάνων.................. δήξεις.
R.	2	18	7	19	3	Τὰς δὲ................... βλάβην.
A.	18	103	15	103	20	Τὰς δὲ................... βλάβην.
R.	2	19	10	20	2	Εἰ δὲ..................... ἕλκους.
A.	18	104	4	104	8	Εἰ δὲ.................. ἐπιμελείας.
R.	3	25	5	26	11	καταπλάσσοντας........... φύλλων.
A.	5	92	2	92	13	Κάλλιστον............... βαφικός.
R.	3	26	11	27	2	Προσφέρειν.............. σπέρμα.
A.	5	92	19	92	21	Θρυπτικὰ............... σπέρμα.
R.	3	27	2	27	4	πολλάκις............. ὑποχωρεῖν.
A.	5	93	21	93	24	Πολλάκις............ ἐκκρίνεσθαι.
R.	3	27	4	27	11	Οἶδα.................... ὕπεισιν.
A.	5	94	9	94	15	Οἶδα................ ἐκκρίνεται.
R.	3	27	11	28	5	εἰ.................... οὐρητῆρες.
A.	5	93	5	93	8	Εἰ.................... οὐρητῆρες.

R. ch.	3, p.	28, l.	5, à p.	28, l.	9 :	Καὶ ἐνθένδε . . . . λιθιῶσιν.
A.	5	94	16	94	19	Ὅταν δὲ. . . . . λιθιῶσιν.
R.	3	29	1	30	10	Μέγισ7ον δὲ. . . . . κισσήρει.
A.	6	94	20	95	9	Μέγισ7ον δὲ. . . . . κισσήρει.
R.	4	31	3	31	10	Ὅσαι. . . . . ὑποκλύζειν.
A.	16	101	12	101	18	Ὅσαι. . . . . ὑποκλύζειν.
R.	5	32	1	32	7	Ἐσ7ι δὲ καὶ. . . . . ὑδατώδη.
A.	2	87	25	88	4	Νεφρῶν. . . . . τὰ οὖρα.
R.	5	33	1	33	8	πονοῦσι. . . . . ἀφέψημα.
A.	2	88	4	88	9	Πονοῦσι. . . . . ἀφέψημα.
R.	5	33	8	34	1	ἐπιτιθέναι. . . . . δύναται.
A.	2	88	16	88	18	Ἐπιτιθέναι. . . . . δύναται.
R.	5	34	1	34	6	μετὰ δὲ. ἔξω.
A.	2	88	21	88	25	Μετὰ δὲ. . . . . αἵματος.
R.	6	36	3	36	7	τοῦτο γὰρ . . . . ἱδρῶτας.
A.	1	86	13	86	16	Μέγισ7ον. . . . . τὴν ὕλην.
R.	6	36	8	37	5	Ἄρισ7ον. . . . . ἀπίων.
A.	1	86	16	87	2	Ἄρισ7ον. . . . . ἀπίων.
R.	6	37	5	37	6	Κατὰ ἀρχὰς. . . . . τέμνειν.
A.	1	86	6	86	8	Ἀρχομένου. . . . . ἀφαιρεῖν.
R.	7	37	8	38	1	Τῶν δὲ. . . . . τύπ7ουσι.
A.	26	109	9	109	12	Τῶν περὶ. . . . . ἰσχυρᾶς.
R.	7	38	5	38	6	Φλέβα. . . . . νόσου.
A.	26	109	16	109	16	φλέβα. . . . . νόσου.
R.	7	38	8	39	6	ἡ κοιλία. . . . . ὁ ἄνθρωπος.
A.	26	109	24	110	4	Πρῶτον. . . . . ὁ ἄνθρωπος.
R.	7	39	7	39	8	Πυριᾷν. . . . . ἠλαιωμένοις.
A.	26	110	7	110	8	Πυριᾷν. . . . . πυρίαν.
R.	7	39	9	40	5	καὶ εἰς. . . . . οὕτως.
A.	26	109	18	109	24	καὶ ἐγκαθίζειν. . . . . οὕτως.
R.	7	40	5	40	7	Χρὴ δὲ. . . . . μανδραγόρου.
A.	26	110	4	110	5-6	Μετὰ δὲ. βραχύν.
R.	7	40	7	40	8	Μετὰ δὲ. . . . . πεποιημένας.
A.	26	110	8	110	10	Μετὰ δὲ. κασ7ορίου.

R. ch.	7, p.	40, l.	8, à p.	41, l.	2 :	Τὴν δὲ.............. διαχειρίζεσθαι.
A.	26	110	12	110	15	Τὴν δὲ.............. διαχειρίζεσθαι.
R.	8	41	4	41	6	Ἔστι δὲ................. ϖήγνυται.
A.	27	111	1	111	2	Ἔστι δὲ................. ϖήγνυται.
R.	8	41	7	41	9	Διὰ ταχέων................. ὕδατι.
A.	27	111	7	111	9	Βοηθεῖν.................. ἐπιτίθει.
R.	8	42	1	42	4	καὶ καταπλάσσειν........... χλιαρόν.
A.	27	111	16	111	19	Μετὰ δὲ................. χλιαρόν.
R.	8	42	4	42	9	Διδόναι.................. φλοιόν.
A.	27	112	3-4	112	8	Διδόναι.................. φλοιόν.
R.	9	42	12	43	5	Ὅσοις..................... ζῴου.
A.	27	112	16	112	19-20	Ὅσοις.................. ὀξυμέλιτι.
R.	9-10	43	5	44	2	Μετὰ δὲ................... ἰᾶται.
A.	27	112	25	112	29	Εἰ δὲ...................... ἰᾶται.
R.	10	44	4	44	5	Χρὴ δὲ.................. ἄσκωμα.
A.	27	111	26	112	1	Χρὴ δὲ.................. ἢ φυσάν.
R.	11	44	6	46	3	Ὅσα δὲ................ ῥηγνύμενα.
A.	28	113	1	113	12	Ὅσα δὲ................ ῥηγνύμενα.
R.	11	46	3	47	1	αἵ τε...................... ἕλκη.
A.	29	114	2	114	9	αἵ τε...................... ἕλκη.
R.	11	47	1	47	4	τὸ δὲ.................... ἕλκεσι.
A.	29	113	16	113	19	Καὶ εἰ................ καὶ δυσώδη.
R.	11	47	4	47	6	Καὶ ὀδυνῶνται.......... γιγνομένων.
A.	29	113	14-15	113	16	ϖαρακολουθεῖ............ τοῦ ϖύου. Et 23-25 : κατὰ τὰς........ οὔρων.
R.	11	47	6	47	12	καὶ οὔτε............. σχολαιότερον.
A.	29	113	25	114	2	Πάντες............... βραδύτερον.
R.	11	48	1	48	5	μέγιστον............... στέατος.
A.	29	114	15	114	22	Μέγιστον................ χηνείου.
R.	11	48	6	49	4	τοῦτο δὲ.................. ὀδύνας.
A.	29	115	6	115	17	Χρηστέον................. ὀδύνας.
R.	12	50	1	50	7	Μὴ δυναμένων........... ὁ ἄνθρωπος.
A.	9	96	18	96	22	Μὴ δυναμένων........ κατακείμενον.

R. ch.	12, p.	50, l.	11, à p.	51, l.	5 :	Ἐπεὶ δὲ............ καταλαμβάνουσιν.
A.	9	96	23	97	1	Περιξεομένης........... ἀπουρήσεσι
R.	14	57	1	59	6	Τοιγαροῦν.................. ἐσΊιν.
A.	22	107	4	107	26	Τοῖς ψωριῶσι............. γυμνάσια.
R.	15	63	5	63	7	ἰᾶσθαι.................. προσφέρειν.
A.	24	109	5	109	7	Γυμνάζειν.............. προσφέρειν.

ΡΟΥΦΟΥ ΤΟΥ ΕΦΕΣΙΟΥ

ΠΕΡΙ

ΟΝΟΜΑΣΙΑΣ ΤΩΝ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΜΟΡΙΩΝ.

Clinch 22-23.

22
1 |Τί ϖρῶτον ἔμαθες ἐν κιθαριστικῇ; Κρούειν ἑκάστην τῶν χορδῶν
2 καὶ ὀνομάζειν. Τί δὲ ϖρῶτον ἔμαθες ἐν γραμματικῇ; Γνωρίζειν
3 ἕκαστον τῶν γραμμάτων καὶ ὀνομάζειν. Οὐκοῦν καὶ τὰς ἄλλας
τέχνας ὡσαύτως ἀπὸ τῶν ὀνομάτων ἄρχονται διδάσκειν, καὶ ὁ χαλ-
κεὺς, καὶ ὁ σκυτοτόμος, καὶ ὁ τέκτων, ϖρῶτον καὶ σιδήρου ὄνομα,
4 καὶ σκεύους, καὶ οὑτινοσοῦν ἄλλου τῶν ϖρὸς τὴν τέχνην. Καὶ ὅσαι
σεμνότεραι, οὐχὶ καὶ ταύτας ἀπὸ τῶν ὀνομάτων ὡσαύτως ἄρχονται
5
23 διδάσκειν; Τί γὰρ ϖρῶτον ἔμαθες ἐν γεω|μετρίᾳ; Στιγμὴν, καὶ

RUFUS D'ÉPHÈSE.

DU NOM DES PARTIES DU CORPS HUMAIN.

1 Qu'apprenez-vous d'abord pour savoir jouer de la lyre? A toucher et
2 à dénommer chacune des cordes. Par quoi débutez-vous dans l'étude de
3 la grammaire? Par connaître et par nommer chaque lettre. De même
aussi pour tous les autres arts, on en commence l'apprentissage par la
nomenclature : le forgeron, le cordonnier, le charpentier, savent en pre-
mier lieu le nom du fer, des instruments et de tous les autres objets qui
4 sont en usage dans le métier. Quant aux arts plus nobles, le premier
5 enseignement ne consiste-t-il pas également dans la nomenclature? En
effet, qu'apprend-on d'abord en géométrie? A connaître ce que c'est

6. τῶν ϖραγμάτων ϖρός Cl.

Clinch 23.

γραμμὴν, καὶ ἐπίπεδον, καὶ ἐπιφάνειαν, καὶ σχῆμα τρίγωνον, καὶ
κύκλον, καὶ τὰ ὅμοια, εἰδέναι τε ὅ τι ἕκασἸον αὐτῶν, καὶ ὀνομάζειν
ὀρθῶς. Βούλει οὖν καὶ τὰ ἰατρικὰ ἀπὸ τῶν ὀνομάτων ἀρξάμενος 6
μανθάνειν, καὶ πρῶτον μὲν ὅ τι χρὴ καλεῖν ἕκασἸον τοῦ σώματος
μόριον, ἔπειτα τὰ ἄλλα ὅσα ἂν ἕπηται τῷ λόγῳ, ἢ δοκεῖ σοι ἱκα-
νὸν εἶναι δεικνύντα δηλοῦν ὥσπερ κωφὸν ὅ τι χρήζεις διδάξαι;
Ἐμοὶ μὲν οὐ δοκεῖ ἐκεῖνο ἄμεινον· οὐκ εὐμαθὲς δὲ καὶ ῥᾷσἸον οὕτω 7
καὶ μανθάνειν αὐτὸν, καὶ ἕτερον διδάσκειν. Καὶ τοῦτό μοι δοκεῖ 8
οὕτως. Ἀκούων δὴ καὶ ἀποβλέπων εἰς τὸν παῖδα τοῦτον διαμνημο- 9
νεύσεις τὰ ἐπιφανῆ πρῶτον· εἶτα ὡς χρὴ καλεῖν τὰ ἔνδον, ζῶόν τι,
ὃ μάλισἸα ἀνθρώπῳ ἔοικε, διελόντες, διδάσκειν σε πειρασόμεθα·
οὐδὲν γὰρ ἐμποδὼν, εἰ μὴ καὶ παντάπασιν ἐοίκασιν, τὸ γοῦν κεφά-
λαιον ἑκάσἸου διδάξαι. Πάλαι δὲ γενναιότερον ἐπὶ ἀνθρώπων ἐδί- 10
δασκον τὰ τοιαῦτα.

que le point, la ligne, le plan, la superficie, la figure du triangle, le
cercle et autres choses semblables, et à les désigner avec justesse. Voulez- 6
vous, en conséquence, apprendre les sciences médicales en commençant
par la nomenclature? Désirez-vous savoir d'abord le nom de toutes les
parties du corps, et ensuite celui de toutes les autres choses, suivant que
l'exige le sujet dont on s'occupe? Ou bien vous semble-t-il qu'il suffise
que je vous montre ce que je dois vous enseigner, comme *si vous étiez*
sourds? Ce procédé ne me semble pas le meilleur; il ne vous permet ni 7
d'apprendre vous-même, ni d'enseigner facilement aux autres. Telle est 8
mon opinion. Si vous regardez cet esclave et si vous écoutez ce que je 9
vais dire, vous mettrez d'abord en votre mémoire le nom des parties ap-
parentes; ensuite, disséquant l'un des animaux (*le singe*) qui ressemblent
le plus à l'homme, je tâcherai de fixer dans votre esprit la nomenclature
des parties internes; car rien n'empêche, bien que tout ne paraisse pas
absolument semblable chez l'homme et chez cet animal, de vous faire
connaître chaque partie, au moins sommairement. Dans les temps an- 10
ciens c'est sur l'homme même qu'on enseignait hardiment l'anatomie et
avec plus de succès.

3. ἰατρικὰ καὶ ἀπὸ Cl. — 5. ὅσα ex em.; — 10. εἶτα W.; om. rel. codd. Cl. — 11. διδάσκειν σε πειρασόμεθα] διδ. ὁ ὡς L Cl. ἐπειρασόμεθα L. — 12. ἔοικε Cl.

Clinch 23-24.

11 *Ἔστι δὲ τὰ μέγιστα μέρη τοῦ σώματος, κεφαλὴ, καὶ αὐχὴν, καὶ*
θώραξ, καὶ χεῖρες, καὶ σκέλη· θώρακα γὰρ οὐ μόνον τὰ ἀπὸ τῶν
κλειδῶν μέχρι τῶν ὑποχονδρίων καλοῦμεν, ἀλλὰ καὶ τὸ σύμπαν ἀπὸ
12 *κλειδῶν μέχρι τῶν αἰδοίων. — Κεφαλὴ δὲ καὶ τὸ τετριχωμένον*
13 *καλεῖται κατὰ ἑαυτὸ, καὶ σὺν τῷ προσώπῳ. Τοῦ δὲ τετριχωμένου*
τὸ μὲν ἔμπροσθεν, βρέγμα· τὸ δὲ ὄπισθεν, ἰνίον· τὰ δὲ ἑκατέρωθεν
24 *τοῦ βρέγ|ματος, κόρσαι καὶ κρόταφοι· τὸ δὲ ἐν μέσῳ κατὰ ὃ δὴ*
μάλιστα εἰλοῦνται αἱ τρίχες, κορυφή· τὸ δὲ ὑπὸ τῷ βρέγματι, μέτ-
14 *ωπον. Αἱ δὲ παρὰ τοὺς κροτάφους τῶν τριχῶν ἐκφύσεις, ἴουλοι·*
15 *χαῖται δὲ, αἱ ὄπισθεν κατὰ τὸ ἰνίον ἀφειμέναι τρίχες. Αἱ δὲ ἔσχα-*
ται τοῦ μετώπου ῥυτίδες, ἐπισκύνιον, ὅπερ ἐπάγομεν τοῖς ὀφθαλ-
16 *μοῖς ἣν πρὸς ἑαυτούς τι φροντίζωμεν ἢ αἰδώμεθα. Ἄλλοι δὲ τὸ ὑπὸ*
17 *τὰς ὀφρύας σαρκῶδες, ἐπισκύνιον ὀνομάζουσιν. Ὀφρύες δὲ τὰ τετρι-*
18 *χωμένα τοῦ μετώπου πέρατα, ὧν τὸ μεταξὺ μεσόφρυον. — Ὑπὸ*

11 Les plus grandes parties du corps sont les suivantes : la *tête*, le *cou*, le *thorax*, les *bras* et les *jambes;* car nous appelons *thorax* (*tronc*), non-seulement l'espace qui s'étend depuis les clavicules jusqu'aux hypocondres, mais tout celui qui est compris entre les clavicules et les
12 parties honteuses. — On appelle *chef* (*tête*), soit uniquement la partie
13 recouverte de cheveux, soit à la fois cette partie et la face. Le *bregma* (*sinciput*) est la partie antérieure du chevelu; l'*inion* (*occiput, nuque*), la partie postérieure; les *corses* ou *crotaphes* (*tempes*) sont les parties qui se trouvent de chaque côté du bregma; le *sommet* (*vertex*) est la région centrale où les cheveux se moulent le plus exactement sur le crâne; la
14 partie située au-dessous du bregma est dite *susfaciale* (*front*). On nomme *iules* (*poils follets, favoris*) les poils qui poussent près des tempes, et *cri-*
15 *nière* ceux qui descendent en arrière, au niveau de la nuque. Les rides les plus inférieures du front, celles que nous amenons sur les yeux quand nous avons l'attention fixée ou que nous sommes confus, sont
16 désignées par le mot *épiscynion*. D'autres nomment ainsi la partie char-
17 nue qui se voit au-dessous des sourcils. On appelle *ophryes* (*sourcils*) les limites extrêmes du front qui sont recouvertes de poils, et *mésophrye*
18 l'espace qui sépare les sourcils. — Au-dessous des sourcils se trouvent

2. *γάρ*]. Voy. les notes. — 10. *χαῖται, αἱ ὄπισθεν* L.

δὲ ταῖς ὀφρύσι, βλέφαρα, τὸ μὲν ἄνωθεν, τὸ δὲ κάτωθεν. Τούτων 19
δὲ αἱ μὲν ἐκπεφυκυῖαι τρίχες, ταρσοὶ, καὶ βλεφαρίδες. Τὰ δὲ 20
ψαύοντα ἀλλήλων πέρατα ἐν τῷ καθεύδειν ἡμᾶς, στεφάναι, καὶ χη-
λαί. Τοῦ δὲ ἄνω βλεφάρου τὸ ἐπιπολῆς, κύλον. Τὰ δὲ κοῖλα πέ- 21–22
ρατα τοῦ τε ἄνω καὶ τοῦ κάτω βλεφάρου, κανθοί· ὁ μὲν μείζων, ὁ
πρὸς τὴν ῥῖνα, ὁ δὲ ἐλάσσων, ὁ πρὸς τῷ κροτάφῳ. — | Ὀφθαλμοῦ 25 23
δὲ, τὸ μὲν ἐν μέσῳ βλεπόμενον, ὄψις καὶ κόρη. Καὶ γλήνην τὸ 24
εἴδωλον τὸ ἐν τῇ ὄψει φαινόμενον καλοῦσιν· τὸ δὲ συνεχὲς τῇ ὄψει
μέχρι τοῦ λευκοῦ, ἶριν. Τοῦτο δὲ ὡς ἔχει χρώματος, μέλαν, ἢ πυῤ- 25
ῥὸν, ἢ γλαυκὸν, ἢ χαροπὸν ὀνομάζουσιν. Περιθεῖ δὲ στεφάνη τὸ 26
μέλαν, καὶ ἀποκρίνει τοῦ λευκοῦ. Κύκλος δὲ ἡ στεφάνη καὶ σύν- 27
δεσμος τῶν χιτώνων τοῦ ὀφθαλμοῦ, ὧν δὴ ὁ πρῶτος δύο ἔχων
φύσεις, δύο ὀνόματα ἔχει· κερατοειδὴς μὲν κατὰ τὸ μέσον καὶ
μέχρι τῆς ἴριδος· τοῦτο γὰρ καὶ ἔοικεν αὐτοῦ τοῖς ξυομένοις κέ-
ρασιν· λευκὸς δὲ τὸ ἄλλο μέρος πᾶν, οἱόσπερ καὶ βλέπεται, οὐδὲν

les *bléphares* (*paupières*), l'un supérieur, l'autre inférieur. Les poils qui 19
s'en échappent sont les *claies* ou *blépharides* (*cils*). Les rebords par les- 20
quels les paupières se rejoignent quand nous dormons s'appellent *cou-
ronnes* ou *branches de tenailles* (*bords libres, cartilages, tarses*). On nomme 21
cyle la surface arrondie de la paupière supérieure. Les extrémités des 22
deux paupières, là où l'on remarque une dépression, se nomment *can-
thes* (*angles de l'œil*), le plus grand (*grand angle, angle interne*) se trouve
du côté du nez; le plus petit (*petit angle, angle externe*), du côté des
tempes. — Ce qui occupe le milieu de l'œil est la *vue* ou *poupée* (*pu- 23
pille*). On appelle *brillant* l'image qui apparaît dans la pupille, et *iris* 24
ce qui s'étend de la pupille jusqu'au *blanc*. Suivant la couleur de l'*iris*, 25
on dit qu'il est *noir, roux, bleuâtre* ou *brun*. La *couronne* (*grande circon- 26
férence de l'iris?*) entoure le noir et le sépare du blanc. Elle est le 27
cercle et le lien des tuniques de l'œil; la tunique la plus superficielle a
deux natures et, par conséquent, elle a deux noms : la partie centrale, qui
s'étend jusqu'à [la circonférence de] l'iris, est appelée *membrane kératoïde*
(*cornée transparente*), car elle ressemble à de la corne polie; tout le
reste, manifestement blanc, est dit *membrane blanche* (*sclérotique*), et ne

4. κύλον]. Voy. les scholies. — Ib. κύλα L 1ª m; κοῖλα 2ª m.

Clinch 25-26.
28 ἐοικὼς τῷ μέσῳ, οὔτε τὴν φύσιν, οὔτε τὴν χροιάν. Ἐπίκειται δὲ
αὐτῷ ἄνωθεν ἡ καλουμένη ἐπιδερμὶς, ἥτις καὶ ἐν νέοις, καὶ ἐν
πρεσβύταις, καὶ ἐν τῷ παθήματι τῇ χημώσει *ἀφεσταμένη τε καὶ
29 ἐπαίρουσα τὸ πυῤῥὸν ὁρᾶται. Τοὺς δὲ ἄλλους χιτῶνας ὅπως χρὴ
ὀνομάζειν, εἰρήσεται ὀλίγον ὕστερον ἐν τῇ διαιρέσει τοῦ ζῴου. —
30 Τὰ δὲ ὑπὸ τοῖς ὀφθαλμοῖς ἐπανεστηκότα ὀστᾶ, ὑποφθάλμια, οἱ δὲ
31-32 ὑπώπια καλοῦσιν. — Ἀπὸ δὲ τοῦ μεσοφρύου τέταται ἡ ῥίς. Ταύτης
δὲ τὰ μὲν τρήματα, μυκτῆρες καὶ ῥώθωνες· Ἀθηναῖοι δὲ καὶ μύξας
33 ὀνομάζουσιν. Ἱπποκράτης δὲ τὸ διὰ αὐτῶν φλεγματῶδες περίσσωμα
ἰὸν μύξαν καλεῖ· Ἀθηναῖοι δὲ τὸ περίσσωμα τοῦτο κόρυζαν καλοῦ-
34-35 σιν. Τὸ δὲ μεταξὺ τῶν τρημάτων χονδρῶδες, ῥινὸς διάφραγμα. Τὰ
δὲ ἑκατέρωθεν ἐπὶ τὰ μῆλα νεύοντα ὀστώδη, ῥινὸς ῥάχις· τὸ δὲ
36 πέρας τοῦ ὀστώδους ὑψώματος τὸ ἔνθεν καὶ ἔνθεν, πτερύγια. Ταῦτα
26 δὲ καὶ κινεῖται ἐν ταῖς σφοδραῖς δυσπνοίαις, καὶ ἄλλως | βουληθέν-

28 ressemble à la partie centrale ni par sa nature, ni par sa couleur. La
membrane appelée *épiderme* (*conjonctive*) la revêt dans toute son étendue; chez les jeunes gens, chez les vieillards et dans la chémosis, on voit
29 que, soulevée (?), elle forme un relief d'un jaune foncé. Tout à l'heure
(p. 154, lig. 1), disséquant l'animal qui est sous vos yeux, nous indi-
30 querons quels sont les noms des autres tuniques. — Les parties osseuses
qui font saillie au-dessous des yeux sont appelées régions *sous-ophthalmiques* (*bord antérieur du maxillaire supérieur*); d'autres les nomment
31 *sous-opiques* (*ὤψ*, *regard*). — Le *nez* s'étend à partir de la région intersour-
32 cilière. Les cavités du nez sont appelées, soit *canaux d'écoulement*, soit
33 *émonctoires de la morve*, soit, par les Athéniens, *myxes*. Hippocrate (*Mal.* II,
19) appelle *myxa* (*morve*) l'excrément pituiteux qui s'échappe par les
34 narines, tandis que les Athéniens le désignent par le mot *coryza*. La
substance cartilagineuse qui sépare les deux narines est le *diaphragme*
35 (*cloison*) du nez. Les parties osseuses qui, de chaque côté, s'inclinent vers
les joues, constituent l'*épine du nez;* la chair qui, à droite et à gauche,
36 termine l'élévation osseuse, forme les *ailes*. On meut les ailes dans

2. ἐν νέοισι L. — 3-4. ἀφεσταμένη πτεῖ (sic) καὶ ἐπέρ. L. — 4. ὅπερ Cl. — 8. μύξας]. Voy. les scholies. — 9-10. τὸ φλ. ἰὸν διὰ αὐτῶν περίττωμα μύξαν Cl.

Clinch 26.

των. Τὸ δὲ πρὸ τοῦ διαφράγματος τῆς ῥινὸς σαρκῶδες ἐπὶ τὸ χεῖλος 37
καθῆκον, κίων. Τὸ δὲ ἄκρον τῆς ῥινὸς, σφαιρίον. Τὸ δὲ ὑπὸ τῷ 38-39
κίονι ἐν τῷ ἄνω χείλει κοῖλον, φίλτρον. Τὸ δὲ ὅλον μετὰ τὸν ῥῖνα 40
τοῦ ἄνω χείλους, ὑποῤῥίνιον. — Εἶτα χείλη δύο, ὧν τὰ μὲν ἄκρα, 41
πρόχειλα· τὸ δὲ σύμβλητον τῶν χειλῶν, προσ7όμιον. Τὸ δὲ ἐπὶ τῷ 42
κάτω χείλει κοῖλον, νύμφη. — Τῶν δὲ ὤτων, ἀκοὴ μὲν, ὁ πόρος 43
διὰ οὗ ἀκούομεν· λοβὸς δὲ, τὸ ἐκκρεμὲς, ὅπερ καὶ μόνον Ἀρισ7ο-
τέλης φησὶ τοῦ ὠτὸς ὀνομάζεσθαι, τὰ δὲ ἄλλα ἀνώνυμα εἶναι. Οἱ 44
δὲ ἰατροὶ καὶ ταῦτα ὠνόμασαν, π7ερύγιον μὲν τὸ ἀνωτάτω πλατὺ
ἐπικλινές· ἕλικα δὲ, τὸ ἐντεῦθεν συμπληροῦν τὴν περιφέρειαν τῶν
ὤτων· ἀνθέλικα δὲ τὸ ἐν μέσῳ ὑπεραῖρον τὴν κοιλότητα· κόγχην
δὲ τὸ ἀπὸ τῆς ἀνθέλικος κοῖλον· τὸ δὲ ἀπεναντίον τῆς κόγχης ἔξαρμα
παρὰ τὸ πέρας τοῦ κροτάφου, τράγον· τὸ δὲ τῆς ἕλικος τέλος τὸ

les fortes dyspnées et aussi au gré de la volonté. La *colonne* (*sous-cloison*) 37
est cette partie charnue qui est au-dessous du diaphragme et se dirige
sur la lèvre. La *petite sphère* (*lobe* ou *lobule*) est l'extrémité du nez. Le 38-39
philtrè est le *sillon* qui se voit sur la lèvre supérieure au-dessous de la
sous-cloison. La *région sous-nasale* est toute la partie de la lèvre supé- 40
rieure qui s'étend au-dessous du nez. — Puis on voit les deux lèvres 41
dont les extrémités s'appellent *avant-lèvres* (*commissures*) et la ligne où
elles se réunissent *avant-bouche*. La cavité placée sur la lèvre inférieure 42
est la *nymphe*. — Le canal des oreilles à l'aide duquel nous entendons 43
est le *conduit acoustique;* le *lobe* (*lobule*) est la partie pendante de l'o-
reille, la seule qui, suivant Aristote (*Hist. des anim.* I, XI, 1), ait un
nom, les autres n'en ayant pas reçu. Toutefois les médecins ont donné 44
des noms à ces autres parties; ils appellent *ailes* (*partie supérieure du pavillon*) la portion large, celle qui est la plus élevée et inclinée; *hélix,* le rebord qui partant de l'aile circonscrit la périphérie de l'oreille; *anthélix,* ce qui, à la région médiane, domine la cavité; *conque,* la cavité qui vient après l'anthélix; *tragus,* la proéminence placée à l'opposite de la conque sur les limites des tempes; enfin *antilobe,* l'extrémité un peu

4. ὧν μέν L 1ª m.; ὧν τὰ μέν 2ª. — 5. σύμβλητον χείλον L 1ª m.; σύμβλητον τῶν χειλῶν 2ª m. — 13- p. 139, l. 1. ἕλικος τέλος τὸ ὑπότραχυ ex em.; ἕλικος τέλος τὸ ὑπόβραχυ Cl.; ἕλικος τὸ ὑπότραχοι L.

45 ὑπότραχυ, ἀντιλοβίδα. — Πρόσωπον δὲ ὠνόμασται πᾶν τὸ ἔμ-
46 προσθεν τῆς κεφαλῆς. Μῆλα δὲ τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς ἐξάρματα
47 τοῦ προσώπου, ἃ δὴ καὶ αἰδουμένων ἡμῶν ἐρυθραίνεται. Ἀπὸ δὲ
τῶν μήλων αἱ παρειαί· καλοῦνται καὶ σιαγόνες, καὶ γνάθοι· καὶ
προσέτι γένυς ἡ μὲν κάτω, ἡ δὲ ἄνω· καὶ τὸ ἄποξυ τῆς κάτω γνά-
48 θου, γένειον καὶ ἀνθερεών. Τὸ δὲ ὑπὸ τὴν κάτω γνάθον σαρκῶδες,
λευκανίαν· οἱ δὲ ἀνθερεῶνα μὲν τοῦτο, λευκανίαν δὲ τὸ πρὸς τῇ
49 27 κλειδὶ κοῖλον ὀνομάζουσιν. Τοῦ δὲ πώγωνος, | ἡ μὲν ὑπὸ τοῖς κρο-
τάφοις πρώτη βλάστησις, ἴουλος· ἡ δὲ ἐπὶ τῷ ἄνω χείλει, προπω-
γώνιον· αὐξηθεῖσαι δὲ αὗται αἱ τρίχες, μύστακες· αἱ δὲ ἐπὶ ἄκρου
50 τοῦ γενείου, πάππος· αἱ δὲ κάτω τῆς γένυος, ὑπήνη. — Στόμα δὲ
καὶ ἡ πρώτη τομὴ τῶν χειλῶν, καὶ ἡ ἐφεξῆς εὐρυχωρία μέχρι τῆς
51 φάρυγγος. Ἐν δὲ τῷ στόματι ἄλλα τέ ἐστι, καὶ οἱ ὀδόντες· ἔνιοι
δὲ κραντῆρας ὀνομάζουσιν· τούτων δὲ τομεῖς μὲν τοὺς ἔμπροσθεν

45 hérissée de l'hélix. — On appelle *face* toute la portion antérieure de
46 la tête. Les *pommes* (*pommettes*) sont les parties qui proéminent au-des-
47 sous des yeux et que l'émotion colore en rouge. Après les pommettes
viennent les *côtés* [*du visage*], ou *siagones* ou *gnathes;* ce dernier mot
désigne aussi les mâchoires supérieure et inférieure; la pointe de la
48 mâchoire inférieure est appelée soit *géneion*, soit *anthéréôn* (*menton*). La
partie charnue qui s'étend sous la même mâchoire est dite *leucanie*
(*gouffre*, — *gorge*); d'autres nomment cette région *anthéréôn*, et *leu-*
49 *canie* la cavité susclaviculaire. On nomme la première apparition de la
barbe au-dessous des tempes *iules* (*poils follets*, — *favoris*), et sur la lèvre
supérieure, *avant-barbe;* les *moustaches* sont les poils qui ont grandi sur
cette lèvre; les *pappes* sont ceux qui poussent au menton, et les *upènes*,
50 ceux qui viennent au-dessous de la mâchoire. — Le mot *fente* (*bouche*)
désigne à la fois l'ouverture antérieure des lèvres et toute la cavité
51 qui, depuis cette ouverture, s'étend jusqu'au *pharynx*. On remarque
entre autres choses dans la bouche les *dents*, que quelques-uns ap-
pellent aussi *crantères;* les quatre dents antérieures sont les *incisives;*

4. καὶ αἱ σιαγόνες καὶ αἱ γνάθοι L. — 8. ὑπό] πρός Cl. — 9. ἐπί] πρός Cl. — 9-10. χείλει, προπωγώνιον ex em.; χείλει, βλάστη (βλάστησις L.) προπωγ. L Cl.

τέσσαρας, κυνόδοντας δὲ τοὺς ἐφεξῆς, ἕνα ἑκατέρωθεν· μύλους δὲ
καὶ γομφίους τοὺς μετὰ τοὺς κυνόδοντας, πέντε ἑκατέρωθεν· σωφρο-
νιστῆρας δὲ, τοὺς ἐσωτάτω καὶ ἐσχάτους, ἡνίκα ἂν δὴ σωφρονεῖν
ἄρχωνται, φυομένους ἕνα ἑκατέρωθεν. Τοσοῦτοι μὲν οἱ τῆς ἄνω 52
γνάθου· τοσοῦτοι δὲ καὶ οἱ τῆς κάτω καὶ ὡσαύτως ὠνομασμένοι. Ἡ 53
δὲ σύνδεσις τῶν γνάθων, χαλινός. Τράπεζαι δὲ τὰ πλατέα τῶν γομ- 54
φίων. Ὁλμίσκοι δὲ καὶ φάτναι, αἱ τῶν γνάθων κοιλότητες, εἰς ἃς 55
ἐμπεπήγασιν οἱ ὀδόντες. Οὖλα δὲ αἱ περὶ τὰς ῥίζας σάρκες. Τῆς δὲ 56-57
γλώσσης, ῥίζα μὲν, ὅθεν ἐκπέφυκεν· τὸ δὲ ἐν τῷ στόματι μυῶδες
γλῶσσα καλεῖται· αὐχὴν δὲ τὸ ἐφεξῆς· παράσειρα δὲ τὰ ἔνθεν καὶ
ἔνθεν τῆς γλώσσης. Ὑπογλωσσὶς δὲ, τὸ κάτωθεν· ἐπιγλωσσὶς δὲ τὸ 58
ἔνδον ὑπὲρ τοῦ βρόγχου πῶμά τι γινόμενον, ὅταν καταπίνωμεν, τοῦ

puis viennent les *canines*, une de chaque côté; ensuite les *molaires* ou
coins au nombre de cinq de chaque côté; les *dents de sagesse* sont les
plus internes et les dernières venues des molaires; on les appelle ainsi
parce qu'elles poussent quand le moment est arrivé de prendre de la
raison. Telles sont les dents dont la mâchoire supérieure est pourvue; 52
on en compte autant pour la mâchoire inférieure, et elles portent les
mêmes noms. Le *frein* est la commissure des mâchoires. Les *tables* (*cou-* 53-54
ronnes) constituent la partie plate des molaires. Les *mortiers* ou *rateliers* 55
(*alvéoles*) sont les cavités des mâchoires où s'implantent les dents. Les 56
oules (*gencives*) sont les chairs qui entourent les racines des dents. La *ra-* 57
cine (*filet*, *frein*) est le point où la langue prend son origine; la portion
musculeuse qui est dans la bouche est appelée *glosse* (*langue*); le *col de la*
langue est ce qui vient après; les *parasires* sont les parties qui se trou-
vent de chaque côté de la langue. L'*hypoglosse* (*plancher de la bouche*) 58
est la région inférieure; l'*épiglosse* est la partie intérieure (*postérieure*);
elle retombe sur la *bronche* (*larynx*) comme un couvercle, afin que rien
n'arrive dans le poumon quand nous buvons; au contraire, elle s'élève

3. ἂν δεῖ Cl. — 4.-5. Τοσοῦτοι μὲν... ὠνομασμένοι ex em.; Τοσοῦτοι μὲν οἱ τῆς ἄνω γνάθου καὶ οὕτως ὠνομασμένοι, τοσοῦτοι δὲ καὶ οἱ τῆς κάτω γνάθου, καὶ ὡσαύτως ὠνομασμένοι L.; Τοσοῦτοι μὲν οἱ τῆς ἄνω γνάθου καὶ ὡσαύτως ὠνομασμένοι Cl. — 7. Ὁλμίσκοι δὲ καὶ φάτναι αἱ τῶν W; Ἀνίσκοι δὲ καὶ αἰτίαι αἱ τῶν L; Ὁλμ. δὲ καὶ αἱ τῶν Cl. — 9. γλώσσης]. Voy. les scholies.

Clinch 27-28.

μηδὲν εἰς τὸν πλεύμονα ἐμπίπῖειν· ἀναπνεόντων δὲ μετέωρόν ἐσῖιν,
59 *ὡς μὴ κωλύῃ τὸ ἀναπνεῖν. Οὐρανὸς δὲ καὶ ὑπερῴα τὸ περιφερὲς τῆς*
28
60 *ἄνω | γνάθου. Κίων δὲ καὶ γαργαρεὼν ἡ ἐκ τῆς ὑπερῴας πρόσφυσις.*
61 *Ἀρισῖοτέλης δὲ σῖαφυλοφόρον αὐτὸ καλεῖ, ὅτι φλεγμήναντος σῖα-*
φυλῇ τι ὅμοιον ἐξ αὐτοῦ κρεμάννυται· σῖαφυλὴν γάρ, οὐ τὸ μό-
62 *ριον, ἀλλὰ τὸ πάθημα χρὴ ὀνομάζειν. Φάρυγξ δὲ ἢ φαρύγεθρον,*
63 *ἡ πρὸς τῇ καταπόσει πᾶσα εὐρυχωρία. Ταῦτα ἄρα καὶ Ὅμηρος*
ἐποίησεν·

> *. . . . . φάρυγος δ' ἐξέσσυτο οἶνος*
> *ψωμοί τ' ἀνδρόμεοι· . . . . .*

οὐ γὰρ δὴ ἐκ τοῦ βρόγχου καὶ τοῦ πλεύμονος ἐπανήμει ὁ Κύκλωψ
64 *τὸ σιτίον καὶ πόμα· τοῦτο γὰρ δεινῶς ἀμαθὲς καὶ ἀνόητον. Παρ-*
ίσθμια δὲ καὶ ἀντιάδες καὶ μῆλα, τὰ ἑκατέρωθεν τοῦ φαρυγέθρου
65 *σαρκώδη καὶ ἀδενοειδῆ. Τέσσαρες δέ εἰσιν αἱ ἀντιάδες, αἱ μὲν ἔνθεν*
καὶ ἔνθεν ἄκρου τοῦ βρόγχου· αἱ δὲ ἐφεξῆς καὶ κατωτέρω.

59 pendant la respiration pour ne pas empêcher l'entrée de l'air. Le *ciel*
60 ou *palais* est la voûte de la mâchoire supérieure. La *colonne* ou *gargaréôn*
61 (*luette*) est la production charnue qui pend du palais. Aristote (*Histoire des animaux*, I, XI, 12) la nomme *porte grain de raisin*, car il semble qu'un grain de raisin y soit suspendu quand elle est enflammée; il faut appeler *raisin* (*uvule*) non la partie elle-même, mais la maladie dont elle
62 est affectée. Le *pharynx* ou *pharygéthron* est tout l'espace libre servant à
63 la déglutition. Aussi Homère (*Odyss.* IX, 373-374) a-t-il dit :

> «Du vin et des débris humains s'échappaient du pharynx;»

ce n'est pas en effet de la trachée-artère et des poumons que le Cyclope vomissait la nourriture et la boisson; c'eût été dire une chose
64 singulièrement inouïe et absurde. Les excroissances charnues et glanduleuses, qui pendent de chaque côté du pharynx sont dites *glandes situées de chaque côté de l'isthme*, *glandes apposées l'une à l'autre*, ou
65 *pommes*. Elles sont au nombre de quatre; deux de chaque côté du sommet de la bronche (*larynx*) et deux un peu plus bas (*amygdales*).

2. *ἀνατείνειν* L. — 6. *Φάρυγξ*]. Voy. les scholies. — 15. *ἄκρον* Cl.

Μετὰ δὲ τὴν κεφαλὴν, τράχηλος· τὸ δὲ αὐτὸ καὶ δειρὴ καὶ αὐχήν· 66
ὑποδειρὶς δὲ τὸ ἐκ τῶν πρόσθεν τελευταῖον τῆς δειρῆς. Τραχήλου 67
δὲ τὸ μὲν ἔμπροσθεν, βρόγχος καὶ τραχεῖα ἀρτηρία, διὰ οὗ ἀναπνέομεν· καὶ ἡ ὑπεροχὴ τοῦ βρόγχου, λάρυγξ· τὸ δὲ ὄπισθεν αὐτοῦ, τένοντες. Τὸ δὲ πρὸς ταῖς κλεισὶ κοῖλον Ὅμηρος μὲν καλεῖ 68
λευκανίην, οἱ δὲ ἰατροὶ ἀντικάρδιον καὶ σφαγήν. Τὰ δὲ ἀπὸ τῶν 69
τενόντων ἐπὶ τοὺς ὤμους καθήκοντα, ἐπωμίδες.

Ὦμος δὲ, ἡ κεφαλὴ τοῦ βραχίονος, ἡ πρὸς τὴν ὠμοπλάτην, καὶ 70
τὸ σύμπαν ἄρθρον· κοτύλη δὲ ὤμου τὸ κοῖλον τῆς ὠμοπλάτης. Ὠμο- 71
πλάται δὲ τὰ ἐγκείμενα τῷ νώτῳ πλατέα ὀστᾶ, ὧν αἱ διὰ μέσου
ὑπεροχαὶ, ῥάχεις ὠμοπλατῶν. | Ἀκρώμιον δὲ ὁ σύνδεσμος τῆς κλειδὸς 29 72
καὶ τῆς ὠμοπλάτης. Εὔδημος δὲ ὀστάριον εἶναί φησι μικρὸν τὸ 73
ἀκρώμιον. Κλεῖδες δὲ τὰ ὑπὸ τῷ τραχήλῳ ὀστᾶ· αὗται πρὸς τὸ 74
στῆθος ἠρθρωμέναι εἴργουσι τοὺς ὤμους καὶ τὰς ὠμοπλάτας μὴ συμ-

Après la tête vient le *trachèle* (*cou*), qui porte aussi le nom de *diré* 66
et d'*auchène;* l'*hypodiris* est la terminaison de la partie antérieure du
diré. La partie antérieure du cou est la *bronche* ou *trachée-artère,* canal 67
à travers lequel nous respirons; la saillie que forme la bronche est le
larynx; on appelle *tendons* (*saillie longitudinale des muscles*) la partie postérieure du cou. Quant à la cavité qui se trouve entre les deux clavicules, 68
Homère (*Il.* XXII, 325) la nomme *leucanie* (*gouffre, — fossette jugulaire*);
mais les médecins la désignent par les mots *anti-cardion* ou *lieu propre à égorger.* La région qui des *tendons* s'étend vers les épaules a reçu le nom 69
de *surôme* (*région cervicale*).

On appelle *ôme* la tête du *bras* (*tête de l'humérus*), celle qui s'unit 70
à l'omoplate, et aussi toute l'articulation (*moignon de l'épaule*); *cotyle de l'ôme* la cavité de l'omoplate (*cavité glénoïde*). Les *omoplates* sont les os 71
larges couchés sur le dos; la saillie osseuse qui s'élève au milieu de
l'omoplate est l'*épine*. L'*acromion* est le lien de la clavicule et de l'omo- 72
plate. Eudème dit que l'acromion est un petit osselet. Les *clefs* (*cla-* 73-
vicules) sont les os placés au-dessous du cou; en s'articulant au ster-

6. λευκανίαν L. — 11. ῥάχεις ex em.; ῥάχις L Cl.

Clinch 29.

πίπτειν, ὥσπερ τοῖς ἄλλοις ζώοις· ἐκεῖνα γὰρ κλεῖδας οὐκ ἔχει· διὰ
75 τοῦτο καὶ ἄνθρωπος πλατυστερνότατος. Μασχάλη δέ ἐστι τὸ ὑπὸ τῷ
76 ὤμῳ κοῖλον, εἰς ἣν τὰ πολλὰ ὀλισθαίνει ὁ ὦμος. Μάλην δὲ οὐχ ἑλληνικὸν ὀνομάζειν· τὸ δὲ φέρειν τι κρύπτοντα ἐν τῇ μασχάλῃ, ὑπὸ
77 μάλης ἔχειν λέγεται. — Βραχίων δὲ τὸ ἐφεξῆς τοῦ ὤμου· τούτου δὲ ἡ μὲν πρὸς τῷ ὤμῳ περιφέρεια, κεφαλὴ βραχίονος, καὶ ἡ ἔσω ὑπεροχὴ παρὰ τὸν ἀγκῶνα, ἥν δή φησιν Ἱπποκράτης ἐνίους ἀμαθῶς νομίζειν ἀπόφυσιν εἶναι τοῦ πήχεος, καὶ αὐτὴ κεφαλὴ βραχίονος.
78 Μετὰ δὲ τὸν βραχίονα, ἀγκὼν τὸ σύμπαν ἄρθρον, καὶ τὸ ὀξὺ ἐπὶ οὗ
79 κλινόμενοι στηριζόμεθα. Οἱ δὲ ὀλέκρανον καλοῦσιν· Δωριεῖς δὲ οἱ ἐν Σικελίᾳ κύβιτον· Ἐπίχαρμος δὲ καὶ τὸ παίειν τῷ ἀγκῶνι κυβιτίζειν
80 ἔλεγεν. — Τῶν δὲ ὀστῶν τοῦ ἀγκῶνος, τὸ μὲν ὑποτεταγμένον, πῆχυς, τὸ δὲ ἐπικείμενον, κερκίς· περαίνει δὲ ταῦτα πρὸς τὸν καρ-

num, elles empêchent les épaules et les omoplates de se toucher des deux côtés, comme cela a lieu chez les autres animaux, car ils n'ont pas de clavicules; c'est pour cette raison que l'homme est, de tous les ani-
75 maux, celui qui a la poitrine la plus large. La *maschalé* (*aisselle*) est le creux qu'on voit sous le moignon de l'épaule; c'est là où se luxe le plus
76 souvent la tête de l'humérus. Ce n'est pas parler grec que de se servir du mot μάλη, au lieu du mot μασχάλη, mais on dit, à propos de quelqu'un qui cache un objet sous l'aisselle : il a quelque chose sous la μάλη.
77 — Le *bras* (*humérus*) vient après le moignon de l'épaule; la protubérance arrondie qui se trouve en rapport avec le moignon de l'épaule s'appelle *tête du bras* (*tête de l'humérus*); la saillie interne qui existe au niveau du coude, et que certains anatomistes, à ce que rapporte Hippocrate (*Fract.* § 3), regardaient à tort comme une apophyse du cubitus, est aussi une
78 tête du bras. Après le bras se trouve le *coude,* nom qui désigne à la fois toute l'articulation et l'éminence pointue sur laquelle nous nous ap-
79 puyons quand nous sommes penchés. Quelques auteurs se servent aussi du mot *olécrâne;* les Doriens qui habitent la Sicile appellent cette partie *cubitus;* Épicharme emploie le mot κυβιτίζειν pour désigner l'action de
80 frapper avec le coude. — Des deux os du *coude* (*avant-bras*), l'un, l'inférieur, se nomme *pêchus* (*cubitus*); l'autre, le supérieur, *rayon* (*radius*);

4. ἐν om. L.

πόν. Τὸ δὲ ἐφεξῆς τοῦ καρποῦ πλατὺ καὶ συμφυὲς, μετακάρπιον, 81
καὶ ταρσός· εἶτα δάκτυλοι. Χεὶρ δὲ τὸ ὅλον ἀπὸ τοῦ ὤμου καὶ ᾧ 82
κρατοῦμεν. Δακτύλων δὲ ὁ μέν τις μέγας, ἀφεστηκὼς τῶν ἄλλων· 83
ὁ δὲ λιχανὸς, |ὁ πρῶτος τῶν τεσσάρων· ὁ δὲ μέσος, ὁ δὲ παρά- 30
μεσος, ὁ δὲ μικρός. Τὰ δὲ ὀστᾶ αὐτῶν, σκυταλίδες καὶ φάλαγγες· 84
τὰ δὲ πρῶτα ἄρθρα προκόνδυλοι, τὰ δὲ ἐφεξῆς κόνδυλοι, τὰ δὲ
τελευταῖα μετακόνδυλοι. Αἱ δὲ τῶν ὀνύχων ἀρχαὶ, ῥιζωνύχια· τὰ 85
δὲ ἔσωθεν πέρατα τῶν δακτύλων, ῥᾶγες, καὶ κορυφαί. Στῆθος δὲ 86
τὸ ὑπερέχον ἀπὸ τοῦ μεγάλου δακτύλου σαρκῶδες ὑπὸ τὸ κοῖλον
τῆς χειρός. Θέναρ δὲ τὸ μεταξὺ διάστημα τοῦ λιχανοῦ καὶ τοῦ με- 87
γάλου δακτύλου σαρκῶδες, ὑπὸ ᾧ τὸ κοῖλον τῆς χειρός· ὑπόθεναρ
δὲ τὸ ὑπὸ τοῖς τέσσαρσι δακτύλοις. Δοκεῖ δέ μοι Ἱπποκράτης πᾶν 88
τὸ πλατὺ τῆς χειρὸς θέναρ ὀνομάζειν.

ces deux os se terminent au *carpe*. Au carpe succède le *métacarpe* ou 81
tarse, partie large et formée d'os liés ensemble; ensuite viennent les
dactyles (*doigts*). *Chir* est un mot qui désigne aussi bien tout l'ensemble 82
du membre, depuis l'épaule (*bras*), que l'extrémité à l'aide de laquelle
nous saisissons les objets (*main*). Un des doigts qu'on appelle *le grand* 83
(*pouce*) est celui qui est écarté des autres; le premier des quatre qui
suivent est le *lichanos* (*indicateur*), puis suivent le *doigt du milieu* (*mé-
dius*), le *doigt voisin de celui du milieu* (*annulaire*), enfin le *petit doigt*
(*auriculaire*). Les os dont les doigts se composent sont appelés *petits* 84
bâtons et *phalanges* (*phalanges, phalangines, phalangettes*); les premières
articulations se nomment *procondyles* (*articulations métacarpo-phalan-
giennes*), celles qui suivent, *condyles* (*articulations phalangiennes*), et les
dernières *métacondyles* (*id.*). On appelle *racines des ongles* les origines des 85
ongles, *grains de raisins* ou *sommets* l'extrémité des doigts. Le *stèthos* (*poi-* 86
trine) est la région charnue qui, après le grand doigt, fait saillie au-des-
sous du creux de la main. Le *thénar* est la partie charnue qui sépare le 87
grand doigt de l'indicateur; au-dessous du thénar se trouve le *creux* de
la main; enfin l'*hypothénar* est la région qui s'étend au-dessous des
quatre doigts. Il me semble qu'Hippocrate (*Fract.* § 4) appelle *thénar* 88
toute la partie plate de la main (*paume*).

11. χειρὸς θέναρ· ὑποθέναρ L. — 12. τέτρασι L.

Clinch 30-31.

89 Ἀπὸ δὲ τῶν κλειδῶν σΊῆθος μὲν τὸ ἔμπροσθεν τὸ μέσον· εἰς ὃ
90 δὲ ἐμβάλλουσιν αἱ ϖλευραὶ, σΊέρνον. Νῶτον δὲ τὸ ἐξόπισθεν ἀπὸ
τοῦ αὐχένος μέχρι τοῦ μεταφρένου· μετάφρενον δὲ τὸ μεταξὺ τοῦ
νώτου καὶ ὀσφύος κατὰ τὴν τῶν φρενῶν ϖρόσφυσιν· ὀσφὺς δὲ τὸ
91 τελευταῖον τῆς ῥάχεως. Αἱ δὲ ὑπὸ τῷ σΊήθει σαρκώδεις ὑπεροχαὶ,
92 μασΊοὶ, καὶ τιτθοί· μασΊοῦ δὲ τὸ μὲν ἄκρον, θηλή. Ἡ δὲ ϖρώτη
ἐν τῷ ἡβάσκειν αὔξησις, κύαμος· ὁ δὲ ὅλος ὄγκος, ἄσκωμα· κυριώ-
93 τερον δὲ ἐν γυναικί. Πλευρὸν δὲ καλεῖται ϖᾶν τὸ ὑπὸ τῇ μασχάλῃ·
94 τὰ δὲ ὀσΊᾶ, ϖλευραί· τὰ δὲ μεταξὺ αὐτῶν, μεσοπλεύρια. Νόθαι δὲ
95 ϖλευραὶ, αἱ μὴ ϖεραίνουσαι ϖρὸς τὸ σΊέρνον. Τὸ δὲ ὑπὸ τῷ σΊήθει
κοῖλον, σΊόμα κοιλίας· οἱ δὲ ϖροκάρδιον, οἱ δὲ καρδίαν ὀνομάζουσι,
31
96 καὶ τοὺς ϖόνους τοὺς | ἐνταῦθα, καρδιωγμοὺς καὶ καρδιαλγίας. Χόν-
δροι δὲ τὰ ϖέρατα τῶν ϖλευρῶν τῶν νόθων· ὑποχόνδρια δὲ τὰ ὑπὸ

89 A partir des clavicules, la région antérieure et moyenne du corps se nomme *stèthos* (*poitrine*); le *sternum* est la partie où aboutissent les côtes.
90 Le *nôtos* (*dos*) s'étend en arrière depuis le cou jusqu'au *métaphrène;* le *métaphrène* commence où finit le dos, et se prolonge jusqu'à l'*osphys* (*lombes*), là où s'insèrent les *phrènes* (*diaphragme*); on appelle *lombes* la ré-
91 gion qui termine le *rachis.* Les proéminences charnues qui se voient sur la poitrine sont les *mamelles* ou *tetines;* l'extrémité de la mamelle est la
92 *papille.* Quand, à l'époque de la puberté, les mamelles commencent à grossir, on les appelle *fèves,* et *outres* lorsqu'elles sont arrivées à tout leur développement; c'est surtout pour les femmes que ces appellations
93 conviennent. On nomme *côtés* toute la partie qui est placée au-dessous des aisselles, *côtes* les os, et *intercôtes* (*espaces intercostaux*) les espaces
94 qui séparent les os. Les *fausses côtes* sont celles qui n'arrivent pas immé-
95 diatement sur le sternum. La dépression qui existe au-dessous de la poitrine est la *bouche du ventre;* les uns l'appellent *procardion* et les autres *cardia;* on nomme *cardiogmes* ou *cardialgies* les douleurs qu'on y res-
96 sent. *Les chondres* (*cartilages*) sont les extrémités des fausses côtes, et les *hypocondres* les parties musculeuses situées au-dessous des cartilages.

4. νεφρῶν Cl. — 6. μασΊοῦ μὲν τὸ μέν L. — 8-10. μασχάλῃ· τὰ δὲ (ὀσΊᾶ erasum) ϖλευραί, αἱ μὴ ϖεραίνουσαι L 1ª m.; μασχάλῃ· τὰ δὲ μεταξὺ αὐτῶν μεσοπλεύρια. Νόθαι δὲ αἱ μὴ ϖεραίνουσα 2ª m. in ora.

Clinch 31.

τοῖς χόνδροις μυώδη. — Κοιλία δὲ καὶ γαστὴρ, τὸ ἐφεξῆς· ἐπι- 97
γάστριον δὲ τὸ ἐπὶ τῆς γαστρὸς δέρμα. Ὀμφαλὸς δὲ τὸ ἐν μέσῳ 98
κοῖλον, ἡ ἀποτομὴ τῶν φλεβῶν, διὰ ὧν τὸ ἔμβρυον τρέφεται· τούτου
δὲ τὸ ἐν μέσῳ, ἀκρόμφαλον. Τὸ δὲ ὑποκείμενον τῷ ὀμφαλῷ δέρμα, 99
γραῖα, ὅτι ῥυτιδούμενον γῆρας σημαίνει. Τὸ δὲ ὑποκάτω τοῦ ὀμφα- 100
λοῦ, ὑπογάστριον καὶ ἦτρον· τὸ δὲ συνεχὲς τούτῳ μέχρι τῶν αἰ-
δοίων ἐπίσειον, καὶ ἥβην, ἄλλοι δὲ ἐφήβαιον καλοῦσιν. — Τῶν δὲ 101
αἰδοίων, τοῦ μὲν τοῦ ἄῤῥενος ἡ μὲν ἀποκρεμὴς φύσις, καυλὸς, καὶ
στῆμα· τὸ δὲ μὴ ἐκκρεμὲς, ὑπόστημα, καὶ κύστεως τράχηλος· καὶ
ἡ διὰ μέσου γραμμὴ, τραμίς· οἱ δὲ ὄῤῥον ὀνομάζουσιν. Τὸ δὲ πέρας 102
τοῦ καυλοῦ, βάλανος, καὶ τὸ δέρμα τὸ περὶ αὐτῇ, πόσθη, καὶ τὸ
ἔσχατον τῆς ποσθῆς, ἀκροπόσθιον. Καὶ τὸ κοίλωμα διὰ οὗ τὸ 103
σπέρμα καὶ τὸ οὖρον ἀποκρίνεται, οὐρήθρα, καὶ πόρος οὐρητικός·
οὐρητῆρα δὲ οὐ χρὴ καλεῖν· εἰσὶ γὰρ οὐρητῆρες ἄλλοι, διὰ ὧν τὸ
οὖρον ἀπὸ νεφρῶν εἰς κύστιν ῥεῖ. Ὄσχεος δέ ἐστιν ἐν ᾧ οἱ δίδυμοι· 104

—Le *ventre* ou *gaster* est ce qui vient après; l'*épigastre* est la peau qui re- 97
couvre le gaster. L'*omphale* (*ombilic, nombril*) est le creux qui occupe le 98
milieu du ventre, là où l'on a coupé les veines qui nourrissent le fé-
tus; la partie médiane de ce creux est la *pointe de l'omphale.* La peau 99
qui s'étend au-dessous de l'ombilic est appelée la *vieille,* attendu que
c'est un signe de vieillesse quand elle se ride. La région située au-des- 100
sous du nombril se nomme *hypogastre* ou *êtron;* celle qui s'étend de
l'hypogastre aux parties génitales est désignée par les mots *épision, hêbé*
ou *éphèbéon* (*pubis*). — Quant aux organes génitaux, la partie pendante 101
de ceux des hommes est la *tige* ou le *fil* (*pénis*); la partie non pendante
se nomme *sous-fil,* ou, suivant d'autres, *col de la vessie;* la ligne médiane
se nomme *tramis,* ou, suivant d'autres, *orrhon* (*raphé*). Le *gland* est l'extré- 102
mité du membre; la *posthé* (*prépuce*) est la peau qui recouvre le gland;
l'*acroposthé* est l'extrémité du prépuce. L'*urètre,* ou *conduit urinaire,* est 103
le canal par où s'échappe le sperme et l'urine; il ne faut pas se servir
du mot *uretère* pour désigner ce canal, car les uretères sont d'autres
conduits, qui portent l'urine des reins dans la vessie. Dans la *bourse* (*scro-* 104

1. τὰ ἐφεξῆς Cl. — 4. ὑπερκείμ. Cl. — 6. τοῦτο Cl. — 8. τὸ μέν L. — 9-10. ὑπόστημα. . . . . διὰ μέσου om. L. — 11. τὸ δέρμα τὸ πέρας τὸ περί L.

Clinch 31-32.

105 διδύμους δὲ ἢ ὄρχεις καλεῖν οὐδὲν διαφέρει. Τῶν δὲ διδύμων τὸ
106 μὲν ἐπάνω, κεφαλὴ, τὸ δὲ κάτω, πυθμήν. Καὶ τὸ χαλώμενον τοῦ
107 ὀσχέου λακκόπεδον. Ὧ δὲ ἀεὶ χαλαρὸν, λακκοσχέαν τοῦτον Ἀθηναῖοι
108 καλοῦσιν. Τὰ δὲ μεταξὺ ὀσχέου καὶ ὑποσΊήματος καὶ μηροῦ, πλι-
32 109 χάδες. — | Τῆς δὲ γυναικὸς τὸ αἰδοῖον, κτεὶς μὲν τὸ τρίγωνον πέρας
110 τοῦ ὑπογασΊρίου· ἄλλοι δὲ ἐπίσειον καλοῦσιν. Σχίσμα δὲ, ἡ τομὴ
111 τοῦ αἰδοίου. Τὸ δὲ μυῶδες ἐν μέσῳ σαρκίον, νύμφη, καὶ μύρτον· οἱ
δὲ ὑποδερμίδα, οἱ δὲ κλειτορίδα ὀνομάζουσι, καὶ τὸ ἀκολάσΊως
112 τούτου ἅπΊεσθαι κλειτοριάζειν λέγουσιν. Μυρτόχειλα δὲ τὰ ἑκατέ-
ρωθεν σαρκώδη· ταῦτα δὲ Εὐρυφῶν καὶ κρημνοὺς καλεῖ· οἱ δὲ νῦν
113 τὰ μὲν μυρτόχειλα, πΊερυγώματα, τὸ δὲ μύρτον, νύμφην. — Τῆς
δὲ ῥάχεως τὰ ὀσΊᾶ σφόνδυλοι· Ὅμηρος δὲ καὶ ἀσΊραγάλους αὐτὰ

tum) sont renfermés les *jumeaux* (*testicules*); on peut dire indifférem-
105 ment les *jumeaux* ou les *orchis*. On nomme la partie supérieure des
106 testicules *tête*, la partie inférieure *fond*. La partie lâche de la bourse est
107 dite *laccopédon*. Quand un individu a la bourse toujours relâchée, les
108 Athéniens le désignent par le mot *laccoscheas*. La région comprise entre
les bourses, le col de la vessie et les cuisses, se nomme *plichades* (*pé-*
109 *rinée*). — Quant aux parties honteuses chez la femme, on appelle *peigne* et,
suivant quelques-uns, *épision*, l'extrémité triangulaire de l'hypogastre
111 (*pubis*). La *fente* est l'ouverture des organes génitaux (*vulve*). La *nymphe*,
ou le *myrte*, est le petit morceau de chair musculeuse qui pend au mi-
lieu; d'autres l'appellent *hypodermis*, d'autres *clitoris*, et l'on dit *clitoriser*
112 pour exprimer l'attouchement lascif de cette partie. Les *lèvres de myrte*
(*grandes lèvres*) sont les parties charnues qui se détachent de chaque
côté; Euryphon les nomme aussi *bords escarpés*; aujourd'hui on a subs-
113 titué le mot *ailes* à l'expression *lèvres de myrte*, et *nymphe* à *myrte*. — On
appelle *sphondyles* (*vertèbres*) les os du rachis: Homère (*Il.* XXIV, 466)
les nomme aussi *astragales* (*dés*); l'apophyse des vertèbres a reçu le nom

1. οὐδέν om. L. — Ib. Τῶν διδύμων Cl. — 3. ᾧ δὲ ἀεὶ χαλαρὸν λακκοσχέαν ex em. Οἱ δὲ ἀχιχάδαρον ἢ λακκοσχέαν L Cl.; Voy. Pollux, II, 172 et les notes. — Τὸ δὲ μεταξὺ Cl. — 4.-5. πληχάδα Cl. Voy. les scholies. — 5. κλείς Cl. — 9. κλειτορίζειν Cl. — Ib. Μυρτόχειλα ex em.; Μυρτοχείλας L Cl. It. l. 11. — 11. τὰς μυρτοχείλας δὲ τὰ ἑκατέρωθεν πΊερυγώματα L.

καλεῖ· καὶ ἡ ἀπόφυσις τῶν σφονδύλων, ἄκανθα. Τὸ δὲ τελευταῖον 114
ὀστοῦν τῆς ὀσφύος, ἱερὸν ὀστοῦν· οἱ δὲ ὑποσφόνδυλον καλοῦσιν· τὸ
δὲ ἄκρον αὐτοῦ, κόκκυγα. — Τὰ δὲ ὑπὸ ταῖς πλευραῖς, λαπάραι καὶ 115
κενεῶνες· εἶτα λαγόνων ὀστᾶ, καὶ τούτων αἱ κοιλότητες, κοτύλαι.

Πυγαὶ δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, καὶ ἐφέδρανα, ἐπὶ ὧν 116
καθίζομεν· ἄλλοι δὲ γλουτοὺς καλοῦσιν· τὰ δὲ ὑπὸ τοὺς γλουτούς,
ὑπογλουτίδες. — |Βουβῶνες δὲ τὰ ἔμπροσθεν τῶν μηρῶν τὰ παρὰ 33 117
τὴν ἥβην. Ἰσχίον δὲ καὶ τὸ νεῦρον τὸ πρὸς τὴν κοτύλην, καὶ ὅλον τὸ 118
ἄρθρον. Τῶν δὲ μηρῶν τὰ ἔσω, παραμήρια· τὰ δὲ μεταξὺ τῶν μη- 119
ρῶν, μεσομήρια. Οἱ δὲ πρὸς τοῖς γόνασι μύες, ἐπιγουνίδες, καὶ τὸ 120
ὀστοῦν τὸ ἐπὶ τῷ γόνατι, ἐπιγονατίς· Ἱπποκράτης δὲ ἐπιμυλίδα
ὀνομάζει. Γόνυ δέ ἐστι τὸ ἄρθρον τοῦ μηροῦ τὸ πρὸς τὴν κνήμην, 121
καὶ ἰγνύα τὸ ὄπισθέν, ἐν ᾧ κάμπτομεν τὸ γόνυ. Γαστροκνημία δέ, ὁ 122

d'*épine*. Le dernier os des lombes est l'*os sacré;* d'autres le désignent 114
par l'expression *sous-sphondyle*, et on donne le nom de *coccyx* à l'extré-
mité de cet os. — Les parties qui descendent au-dessous des côtes sont 115
dites *régions flasques* et *régions vides* (*cavités iliaques*, *flancs*); viennent en-
suite les os des cavités (*os des iles*), dont les creux sont appelés *cotyles*
(*cavités cotyloïdes*).

Les parties charnues qui se trouvent après les lombes, et sur les- 116
quelles nous nous asseyons, sont les *pyges* ou *siége* (*fesses*); on les
nomme aussi *gloutes;* au-dessous sont les *hypogloutes*. — Les *bubons* 117
(*aines*) sont les parties antérieures [et supérieures] des cuisses, auprès
du pubis. Le mot *ischion* désigne le *nerf* (*ligament intra-articulaire*) qui 118
se fixe dans la cavité cotyloïde, et aussi toute l'articulation. On nomme 119
côtés des cuisses la partie interne des cuisses et *intercuisses* la région qui
[en haut] sépare les deux cuisses. On appelle *épigounides* (*sur-genou*) les 120
muscles qui s'implantent sur le genou (*m. droit antérieur, triceps crural*);
et *épigonatis* (*sur-genou;—rotule*), l'os qui est appliqué sur le genou; Hip-
pocrate (*Mochl.* § 1), le nomme *épimylis*. Le *genou* est l'articulation de la 121
cuisse avec la *cnêmé* (*tibia* et *jambe*); l'*ignya* (*jarret*) est la partie posté-
rieure au niveau de laquelle nous fléchissons le genou. Le *ventre de la* 122

1. ἀπόφυσις ex em.; φύσις L Cl. — 3. πλευραῖς, μαλακά, λαπάραι Cl.

Clinch 33.
μέγας μῦς ὁ ὄπισθεν τῆς κνήμης, ἀπὸ οὗ τὸ ϖλατὺ νεῦρον τὸ ϖρὸς
123 τῇ ϖτέρνῃ ϖέφυκεν. Τῶν δὲ ὀστῶν τὸ μὲν ἔσω, κνήμη, καὶ τούτου
τὸ ἔμπροσθεν, ἀντικνήμιον· [τὸ δὲ ἔξω, κερκίς·] Ἡρόφιλος δὲ καὶ
124 τὴν κνήμην κερκίδα ὀνομάζει. Τὰ δὲ ἄκρα ἀμφοῖν τοῖν ὀστοῖν τὰ
ϖρὸς τῷ ϖοδὶ, σφυρὰ καλεῖται, ἀστράγαλοι δὲ οὐκ ὀρθῶς· ἔχει μὲν
γὰρ καὶ ἀστράγαλον ὁ ϖοὺς τοῦ ἀνθρώπου ὑπὸ τῷ σφυρῷ, κἂν
125 οὐκ ἐμφανῇ. Πτέρνα δὲ τὸ ὄπισθεν ϖεριφερὲς τοῦ ϖοδός· ϖεδίον
δὲ καὶ ταρσὸς τὸ ἔμπροσθεν ϖλατύ· στῆθος δὲ τὸ κάτωθεν μετὰ τὸ
126 κοῖλον, ἀπὸ οὗ οἱ δάκτυλοι. Καλεῖν δὲ τούτους ἀνάλογον τοῖς τῆς
χειρὸς δακτύλοις, καὶ τὰ ἄλλα κοινὰ ϖρὸς τοὺς τῶν χειρῶν δακτύλους οὐδὲν κωλύει.

127 Τὰ μὲν οὖν ἐπιφανῆ, ὦ ϖαῖ, σὺν τοῖς ὑποκειμένοις ὀστοῖς οὕτω
χρὴ καλεῖν τὰ δὲ ἔνδον τουτονὶ τὸν ϖίθηκον ἀνατέμνοντες, ὀνο-

jambe (*jumeaux* et *soléaires*) est le grand muscle situé en arrière de la
jambe et d'où provient le nerf large qui l'attache au talon (*tendon d'A-*
123 *chille*). Des deux os de la jambe, l'un, interne, se nomme *cnêmé* (*tibia*);
la face antérieure est dite *anticnémion;* l'autre os, externe, est appelé
124 *rayon* (*radius*); Hérophile nomme *rayon* la *cnêmé*. L'extrémité des deux
os, au voisinage du pied, sont les *maillets* (*chevilles*), et non pas les *as-*
tragales, comme on le dit à tort; en effet, le pied de l'homme a aussi un
125 *astragale* sous la cheville, mais cet os n'est pas apparent. La *pterna* (*ta-*
lon, calcanéum) est la partie postérieure arrondie du pied, tandis qu'on
nomme *champ* ou *claie* la partie large qui est en avant du talon (*partie*
antérieure de la plante) et *poitrine* la région inférieure qui vient après la
partie concave (*partie antérieure de la plante*); c'est de la *poitrine* que
126 partent les doigts. Rien n'empêche qu'on ne désigne les doigts du pied
(*orteils*) et leurs parties analogues à celles des doigts de la main, par
les mêmes noms que nous avons donnés plus haut (p. 144, lig. 5).
127 Tels sont, jeune homme, les noms qu'il faut donner aux parties
apparentes et aux os sous-jacents; nous tâcherons maintenant, en dissé-
quant notre singe, de vous apprendre la nomenclature des parties

2. ϖτέρνῃ ϖέφυκεν ex em.; ϖτ. τένων ϖεφ. L Cl. — Ib. τοῦτο L. — 3. [τὸ δὲ ἔξω κερκίς] ex em.; om. L Cl. — 5. ἀστράγαλοι ex em.; ἀστράγαλος L Cl. — 6. κἂν ex em.; καί L Cl. — 11. οὐθέν L. — 13. τούτων Cl.

μάζειν πειρασόμεθα· ἐγγυτάτω γὰρ τὴν φύσιν ἀνθρώπου καὶ τοῖς
ὀστοῖς, καὶ τοῖς μυσὶ, καὶ τοῖς σπλάγχνοις, καὶ ταῖς ἀρτηρίαις,
καὶ ταῖς φλεψὶ, καὶ τοῖς νεύροις· | δεύτερα δὲ τὰ ἄλλα τὰ πολυσχιδῆ· 34
τρίτα τὰ ἀμφώδοντα τῶν διχήλων· τὰ δὲ μὴ ἀμφώδοντα καὶ μώ-
νυχα, προσωτάτω. Εἰ δέ τι ἤδη εἴρηται μετὰ τῶν ἐπιφανῶν, οὐδὲν 128
δεῖ ὑπὲρ τούτου δὶς λέγειν.

Ὅρα δὴ τοίνυν τὸν ὑπὸ τῷ δέρματι τοῦ κρανίου χιτῶνα· οὗτος 129
περικράνιος καλεῖται· ὃν δὲ ἂν ἴδοις περὶ τοῖς ἄλλοις ὀστέοις,
περιόστεος καλεῖται. Τὰς δὲ συμβολὰς τῶν ὀστῶν τοῦ κρανίου, ῥα- 130
φὰς καλοῦσιν· ἐοίκασι δὲ δυοῖν πριόνων συνθέσει· ὧν μία μὲν
περιφερὴς ῥαφὴ τὸ βρέγμα περιτέμνεται· ἄλλη δὲ τὸ ἰνίον, ἄλλη
δὲ μέσην τὴν κορυφήν. Ἔστι δὲ οἷς αὕτη ὑπερβᾶσα τὴν διὰ τοῦ 131
βρέγματος, τελευτᾷ εἰς τὸ μεσόφρυον. Δύο δὲ ἄλλαι τοῖς ὀστοῖς 132
τῶν κροτάφων, ὥσπερ λεπίδες ἐπιπεφύκασιν. Ὀνόματα δὲ αὐτῶν 133

internes; le singe, en effet, est de tous les animaux celui qui se rap-
proche le plus de l'homme par la disposition des os, des muscles, des
viscères, des artères, des veines et des nerfs; viennent ensuite les autres
animaux dont le pied est partagé en doigts, puis ceux qui, présentant une
double rangée de dents, ont le sabot divisé en deux; les animaux qui
n'ont qu'une rangée de dents, et dont le sabot n'est pas divisé, offrent
le plus de différence avec l'homme. Si déjà on a nommé quelques par- 128
ties profondes en même temps que les parties superficielles, il n'est pas
nécessaire d'en parler une seconde fois.

Voyez donc d'abord l'enveloppe qui est sous la peau du crâne; elle 129
s'appelle *péricrâne;* on nomme *périoste* celle qu'on aperçoit sur les autres
os. L'assemblage des os du crâne est désigné par le mot *sutures;* elles 130
imitent l'engrenage de deux scies; l'une est circulaire et délimite le
bregma (*sinciput, sut. fronto-pariétale*), l'autre, l'*occiput* (*sut. lambdoïde*);
une troisième partage le sommet de la tête (*sut. bipariétale*). Il arrive 131
aussi, chez quelques individus, que cette dernière suture, dépassant la
suture du bregma, vient jusqu'à la région intersourcilière. Les deux 132
dernières sutures se réunissent sous forme d'écailles (*sut. écailleuses*)
avec les *os des crotaphes* (*os des tempes*). Les sutures n'ont pas de noms 133

5. Εἰ δέ τινα εἴρηται Cl. — 11. τὸ δὲ βρέγμα Cl.

Clinch 34-35.

ϖαλαιὰ οὐκ ἔστιν, ἀλλὰ νῦν ἐτέθη ὑπό τινων Αἰγυπτίων ἰατρῶν
φαύλως ἑλληνιζόντων· στεφανιαία μὲν τῇ ϖρὸς τὸ βρέγμα, λαμ-
βδοειδὴς δὲ, τῇ ϖερὶ τὸ ἰνίον, ἐπιζευγνύουσα δὲ, τῇ μέσῃ· λεπιδοει-
134 δεῖς δὲ, ταῖς τῶν κροτάφων. Οὗτοι δὲ καὶ τῶν ἄλλων ὀστῶν μόρια
ὀνομάζουσιν ἀνώνυμα τοῖς ϖάλαι, ἃ ἐγὼ οὐ ϖαραλείψω διὰ τὴν
135 εἰς τὰ νῦν τῶν ἰατρῶν δήλωσιν. — Διπλόη δὲ τὸ μεταξὺ τῶν ὀστῶν
136 τοῦ κρανίου, ὅθεν δὴ ἡ ῥὶς ἄρχεται. Τὰ ϖυκνὰ ταύτῃ τρήματα
35 ἠθμοειδῆ καλεῖται, | διὰ ὧν τὸ μὲν ἀληθὲς ϖταρμὸς καὶ μύξα ἀποκρί-
νεται· οἱ δὲ καὶ ἀναπνεῖν ἡμᾶς εἰς ἐγκέφαλον ταύτῃ λέγουσιν. —
137 Τὰ δὲ ϖλησίον τῶν ὤτων ὀστᾶ, διὰ στερεότητα λιθοειδῆ ὠνόμασται.
138 Ἔστι δὲ ἑκατέρωθεν ἓν σκληρὸν καὶ ὑπόλευκον, ὅσον κεφαλὴ τοῦ
139 μεγάλου τῆς χειρὸς δακτύλου, διὰ ὧν αἱ ἀκοαὶ τέτρηνται. Ἄλλοι δὲ
τὰς ϖρὸς τῷ ἰνίῳ καταφερεῖς ὑπεροχὰς λιθοειδεῖς καλοῦσιν· ἀλλὰ
οὐκ ὀρθῶς· ὑπόκενοι γὰρ καὶ σηραγγώδεις, καὶ οὐ στερεαὶ κατὰ

anciens; des médecins égyptiens qui savaient mal le grec les ont dénommées, de nos jours, de la manière suivante : *coronale* la suture du bregma; *lambdoïde* (en forme de Λ), celle de l'occiput; *trait d'union,* celle qui occupe le milieu de la tête; enfin *écailleuses,* les sutures des os des tempes.
134 Ces mêmes médecins ont aussi imposé des noms à certaines parties des os de la tête qui étaient restés anonymes; je ne veux pas passer ces noms sous silence; ils servent à l'explication des traités des médecins d'aujourd'hui.
135 — Le *diploé* est la partie [spongieuse] qui sépare les deux tables du crâne,
136 et d'où procède le nez. Les pertuis nombreux qui se trouvent au diploé sont appelés *trous cribleux* (*trous de l'ethmoïde*); c'est à travers ces trous qu'indubitablement se produit l'éternument et s'échappe le mucus; on affirme même que c'est par ces pertuis que le souffle arrive au cerveau
137 par la respiration. — Les os qui sont proche des oreilles ont reçu le
138 nom d'*os pétreux* à cause de leur dureté (*temporaux*). Il y a aussi, de chaque côté, un os dur, blanc et grand comme la tête du grand doigt de la main, à travers lequel sont percés les conduits acoustiques (*ro-*
139 *cher*). On appelle aussi *os pétreux* les apophyses qui, se détachant au voisinage de l'occiput, se dirigent en bas (*apoph. mastoïde*); mais c'est à tort qu'on leur a imposé ce nom, car ces apophyses sont creuses, sil-

5. ἀνώνυμα δὲ τοῖς L. — 7. δή om. Cl.

Clinch 35.

τοὔνομα. Αἱ δὲ ἀπὸ τῶν ἀκοῶν τείνουσαι πρὸς τὰ μῆλα ἀποφύσεις, 140
ζυγώματα. — Καὶ οἱ μύες, οἱ μὲν ἐν ταῖς κοιλότησι τῶν κροτά- 141
φων, κροταφῖται· οἱ δὲ περὶ τὴν κάτω γνάθον, μασητῆρες. Αὐταὶ 142
δὲ αἱ λεπταὶ καὶ ὑπομήκεις καὶ κάτω πρὸς τὸ φαρύγεθρον νεύου-
σαι ἀποφύσεις, στιλοειδεῖς καλοῦνται. Εὔδημος δὲ εἰκάζει μὲν αὐ- 143
τὰς ἀλεκτρυόνων πλήκτροις, ἀνωνύμους δὲ ἐᾷ. — Τρήματα δὲ πολλὰ 144
μὲν διατέτρηται διὰ τοῦ κρανίου· πάντα δὲ οὐκ ὠνόμασται χωρὶς
δυοῖν· τυφλὰ δὲ ταῦτα καλοῦσιν· καὶ οἱ ἰατροὶ διαφέρονται πρὸς
ἀλλήλους, ὁπότερα χρὴ καλεῖν τυφλὰ, ἆρά γε τὰ πρὸς τῷ μεγίστῳ
τρήματι τοῦ κρανίου, διὰ οὗ ὁ νωτιαῖος εἰς τοὺς σφονδύλους ἐμβάλ-
λει, ἢ τὰ πρὸς ταῖς ἀκοαῖς, καὶ μικρὸν ἔμπροσθεν παρὰ τὰ ἄρθρα
τῆς γέννος. Ἔστι δὲ οὔτε ἐκεῖνα, οὔτε ταῦτα οὕτω τυφλὰ, ὥστε μὴ 145
διατετρῆσθαι, τὰ μὲν εἰς τὸ μέγα κοίλωμα τοῦ νωτιαίου, τὰ δὲ ὑπὸ τὰ

lonnées par des canaux, et ne sont pas dures, comme leur nom le ferait
croire. Les apophyses qui se prolongent des conduits auditifs aux pom- 140
mettes (*os malaires*) sont appelées *jougs* (*arcades zygomatiques*). — Les 141
muscles (*m. crotaphytes* ou *temporaux*) qui remplissent les cavités des
crotaphes (*os temporaux*) sont dits *crotaphites;* ceux qui se fixent à la
mâchoire inférieure sont dits *masticateurs* (*masséters*). Les apophyses 142
minces et longues qui descendent vers le pharynx sont appelées *apo-
physes stiloïdes.* Eudème les compare à l'éperon du coq, mais il les a 143
laissées sans nom. — Beaucoup de trous traversent le crâne; mais, à 144
l'exception de deux, tous les autres sont anonymes; ces deux on les
appelle *trous borgnes;* encore les médecins ne sont pas d'accord pour
déterminer quels trous il faut appeler ainsi : pour les uns, ce sont les
deux trous (*trous condyloïdiens antérieurs*) qui se voient de chaque côté de
la plus grande des ouvertures (*trou occipital*) par laquelle passe la moelle
épinière pour se rendre dans le canal vertébral; pour les autres, au con-
traire, ce sont les trous qui se trouvent proche des oreilles, non loin en
avant de l'articulation de la mâchoire (*trou stilo-mastoïdien*). Mais ni les 145
uns ni les autres ne sont borgnes de façon à ne pouvoir être traversés :
en effet, les premiers débouchent dans le canal rachidien, les seconds,

2. ἐν] περί Cl. — 5. στιλοειδεῖς ex em.; στηλοειδεῖς L Cl. — 7. διατέτρηνται Cl. — 12. οὕτως L. — 13. διατρηθῆναι Cl.

Clinch 35-36.

ἠθμοειδῆ, καὶ διὰ πάντων αὐτῶν νεῦρα διαπεφυκότα ὁρᾶται, ὑπὲρ
36 146 ὧν ἐν ταῖς διαιρέσεσιν εἰρή|σεται. Ἐοίκασι δὲ τυφλὰ αὐτὰ ὀνομάζειν,
147 ὅτι οὐκ εἰς εὐθὺ φαίνεται διατετρημένα. — Ἐν δὲ τῷ κρανίῳ ἔνεστιν ὁ ἐγκέφαλος· τοῦτον δὲ καλύπτουσιν αἱ μήνιγγες· ἡ μὲν παχυτέρα καὶ ῥωμαλεωτέρα, [ἡ] πρὸς τῷ ὀστῷ· ἡ δὲ λεπτοτέρα, καὶ εὔρωστος
148 μὲν, ἀλλὰ ἧσσον, ἡ πρὸς τῷ ἐγκεφάλῳ. Τὸ δὲ ἄνωθεν τοῦ ἐγκεφάλου, κιρσοειδές· τὸ δὲ κάτωθεν, καὶ ὀπίσω, βάσις· ἡ δὲ ἀπὸ τῆς βάσεως ἔκφυσις, παρεγκεφαλίς· αἱ δὲ κοιλότητες, κοιλίαι ἐγκε-
149 φάλου. Ὁ δὲ καλύπτων τὰς κοιλίας ἔνδοθεν χιτὼν χοριοειδής· Ἡρό-
150 φιλος δὲ καὶ μήνιγγα χοριοειδῆ καλεῖ. Τὰ δὲ ἀπὸ τοῦ ἐγκεφάλου βλαστήματα, νεῦρα αἰσθητικὰ, καὶ προαιρετικὰ, διὰ ὧν αἴσθησις καὶ προαιρετικὴ κίνησις, καὶ πᾶσα σώματος πρᾶξις συντελεῖται.
151 Τούτων δὲ τῶν νεύρων ἔνια καὶ ἀπὸ τοῦ νωτιαίου μυελοῦ πέφυκε
152 καὶ τῆς μήνιγγος τῆς περὶ τοῦτον. Νωτιαῖον δὲ καὶ ῥαχίτην ὡσαύ-

vers les ethmoïdes, et, à travers ces trous, on voit s'échapper des nerfs (*grand hypoglosse et nerf facial*) dont il sera question dans les dissections.
146 On a cru devoir les appeler *borgnes* parce qu'ils ne sont pas percés droit.
147 — Dans l'intérieur du crâne est contenu l'*encéphale;* il est recouvert par les *méninges;* l'une, plus épaisse, plus résistante, est adhérente à l'os (*dure-mère*); l'autre, plus mince, mais résistante aussi, quoique à un moindre
148 degré, est étendue sur l'encéphale. La surface supérieure de l'encéphale est dite *variqueuse* (*circonvolutions*); sa surface inférieure et postérieure est dite *base;* le prolongement qui prend naissance à la base est le *parencéphale* (*cervelet*); les cavités de l'encéphale ont reçu le nom de *ventres*
149 (*ventricules*). La membrane qui revêt intérieurement les ventricules s'appelle *tunique chorioïde* (*toile* et *plexus chorioïdiens*); Hérophile l'appelle
150 aussi *méninge chorioïde.* Les *pousses* du cerveau sont des *nerfs sensitifs* et *moteurs*, à l'aide desquels nous viennent le sentiment et le mouvement volon-
151 taire, et par lesquels s'accomplit toute opération du corps. Il y a aussi de ces nerfs qui s'échappent de la moelle épinière et de la méninge qui l'en-
152 veloppe. On peut désigner indifféremment sous le nom de *moelle dorsale* ou de *moelle du rachis* toute la moelle qui descend à travers les ver-

1. ὑπέρ om. L. — 5. [ἡ] ex em.; om. L Cl. — 6. ἧσσον ex em.; ἥσσων L Cl. — 9. χοριοειδής ex em.; χοροειδής L Cl. et sic semp. — 14. τοῦτο Cl.

τως καλοῖς ἂν πάντα τὸν διὰ τῶν σφονδύλων μυελόν. — Τῶν δὲ 153
*τοῦ ὀφθαλμοῦ χιτώνων, ὁ μὲν πρῶτος ἐν τοῖς ἐπιφανέσιν ὠνόμα-
σται κερατοειδής· οἱ δὲ ἄλλοι, ὁ μὲν δεύτερος, ῥαγοειδὴς, καὶ χο-
ριοειδής· τὸ μὲν ὑποκείμενον αὐτῷ τῷ κερατοειδεῖ, ῥαγοειδὴς, ὅτι
ἔοικε ῥαγὶ τῇ ἔξωθεν λειότητι, καὶ τῇ ἔσωθεν δασύτητι· τὸ δὲ ὑπὸ
τῷ λευκῷ, χοριοειδὴς, ὅτι κατάφλεβόν ἐστι τῷ περὶ τῷ ἐμβρύῳ
περικειμένῳ χοριοειδεῖ ἐοικός· ὁ δὲ τρίτος περιέχει μὲν ὑαλοειδὲς
ὑγρόν· καλεῖται δὲ ἀρχαῖον ὄνομα ἀραχνοειδὴς διὰ λεπτό|τητα·* 37
*ἐπειδὴ δὲ Ἡρόφιλος εἰκάζει αὐτὸν ἀμφιβλήστρῳ ἀνασπωμένῳ,
ἔνιοι καὶ ἀμφιβληστροειδῆ καλοῦσιν· ἄλλοι δὲ καὶ ὑαλοειδῆ ἀπὸ
τοῦ ὑγροῦ· ὁ δὲ τέταρτος περιέχει μὲν τὸ κρυσταλλοειδὲς ὑγρὸν,
ἀνώνυμος δὲ ὢν ἐξ ἀρχῆς, ὕστερον φακοειδὴς μὲν διὰ τὸ σχῆμα,
κρυσταλλοειδὴς δὲ διὰ τὸ ὑγρὸν ὠνομάσθη. — Τὸν δὲ πρῶτον τοῦ* 154

tèbres. — Des diverses tuniques de l'œil, la première, celle qui est ap- 153
parente, se nomme *semblable à de la corne* (*cornée*); quant aux noms des autres, la seconde (*m. chorioïde*) est appelée *semblable à un grain de raisin* et *semblable au chorion;* elle est dite semblable à un grain de raisin, si on considère la partie qui est sous-jacente à la cornée, car elle est, par sa face externe, lisse comme la peau d'un grain de raisin, et, par sa face interne, rugueuse comme l'intérieur de ce même grain; la dénomination, *semblable au chorion,* appartient à la portion qui tapisse le *blanc* (*sclérotique*), attendu qu'elle ressemble, par l'entrelacement des vaisseaux, à la membrane qui entoure le fœtus; la troisième renferme l'*humeur vitrée;* son nom ancien est *membrane semblable à une toile d'araignée;* il lui vient de sa ténuité; comme Hérophile l'a comparée à un *filet ramassé,* quelques médecins l'appellent *rétiforme* (*rétine*); d'autres l'appellent vitrée à cause de l'humeur qu'elle contient; la quatrième tunique enveloppe l'*humeur cristalline;* elle était d'abord anonyme, ensuite on l'a nommée *lenticulaire,* à cause de sa forme, et *semblable à du cristal,* à cause du liquide qui
s'y trouve (*capsule du cristallin*). — Il me semble qu'Hippocrate (*Épid.* 154

1. *καλοῖς ἂν* ex em.; *καλεῖν* L Cl. — 3. *ὁ κερατοειδής* L. — 6. *κατάφλεβον* ex em.; *κατὰ φλέβον* L; *μετὰ φλεβῶν* Cl. — Ib. *τὸ ἔμβρυον* Cl. — 7. *ἐοικός* ex em.; *ἐοικώς* L Cl. — 9. *ἀνεσπασμένῳ* Cl. — 10-11. *καλοῦσιν· ἄλλοι δὲ καὶ ὑαλοειδῆ ἀπὸ τοῦ ὑγροῦ* ex em.; *καλοῦσι αὐτόν· ἄλλοι δὲ καὶ ὑαλοειδῆ ἀπὸ τοῦ ὑγροῦ* L; *καλοῦσιν ἀπὸ τοῦ ὑγροῦ αὐτὸν, ἄλλοι καὶ ὑαλ.* Cl.

Clinch 37.

155 τραχήλου σφόνδυλον, Ἱπποκράτης ὀδόντα δοκεῖ μοι καλεῖν. Τὸ δὲ ὑπὸ ταῖς ἀντιάσιν ὀσ7οῦν, τὸ περιειληφὸς τὴν κεφαλὴν τοῦ βρόγχου, οἱ μὲν ὑοειδὲς διὰ τὸ σχῆμα ὀνομάζουσιν, ὅτι ἔοικεν τῷ Υ γράμματι· Ἡρόφιλος δὲ παρασ7άτην καλεῖ, ὅτι παρέσ7ηκε ταῖς
156 ἀντιάσιν. Ἡ δὲ τοῦ δευτέρου σφονδύλου εἰς τὸ ἄνω καὶ ἔμπροσθεν ἀπόφυσις, πυρηνοειδὴς καλεῖται.

157 Ὧ δὲ τὰ σιτία καὶ τὰ ποτὰ εἰς τὴν κοιλίαν κάτεισι, σ7όμα-
158 χος, καὶ οἰσοφάγος. Καὶ τὰ νεῦρα τὰ ἑκατέρωθεν αὐτοῦ, τόνοι·
159 καὶ τὰ ἄλλα αἰσθητικὰ καὶ ἰνώδη, τόνοι ὡσαύτως. Τῆς δὲ τραχείας ἀρτηρίας [ὅλος ὁ πόρος] καλεῖται βρόγχος· αἱ δὲ εἰς τὸν πλεύμονα
160 ἀποφύσεις, βρογχίαι, καὶ σήραγγες, καὶ ἀορταί. — Ἡ δὲ ἀρχὴ τοῦ θερμοῦ, καὶ τοῦ ζῆν, καὶ τοῦ σφύζειν, καρδία· καὶ ταύτης τὸ μὲν ἄνω, κεφαλή, τὸ δὲ ἄκρον καὶ ὀξύ, πυθμήν, καὶ τὰ κοιλώματα,
161 κοιλίαι. Ἡ μὲν παχυτέρα καὶ ἐν ἀρισ7ερᾷ, ἀρτηριώδης· ἡ δὲ λε-

155 II, ii, 24) appelle *dent* la première vertèbre du cou. L'os qui est au-dessous des amygdales et qui embrasse la tête de la trachée (*larynx*) est appelé par quelques médecins *os semblable à l'hypsilon* (*hyoïde*), à cause de la forme qui le fait ressembler à cette lettre; Hérophile le nomme
156 *assesseur*, parce qu'il se tient auprès des amygdales. L'apophyse de la seconde vertèbre, qui monte en haut et en avant (*apoph. odontoïde*), est dite *apophyse en forme de noyau.*

157 On nomme *estomac* ou *œsophage* le canal à travers lequel les aliments
158 et les boissons descendent dans le ventricule. Les nerfs qui l'accompagnent de chaque côté (*n. pneumogastriques*) sont dits *cordons;* les autres
159 nerfs sensitifs et fibreux ont également reçu le nom de *cordons.* On nomme *bronche* tout le canal de l'artère rugueuse (*trachée-artère*), et *bronchies, cavernes* ou *aortes,* les prolongements de la bronche dans le pou-
160 mon. — Le principe de la chaleur, de la vie et du pouls, est le *cœur;* on nomme *tête du cœur* (*base*) la partie supérieure, *fond* (*pointe*) la partie
161 inférieure et pointue, *ventres* (*ventricules*), les cavités. La cavité qui a les parois les plus épaisses, et qui est située à gauche, est dite *artérieuse* (*ven-*

3. ὑψηλοειδές Cl. — 5. Ἡ δέ om. L. — 7. Ὦ ex em.; Ὁ L.; Διὰ οὗ] Cl. — 10. [ὅλος ὁ πόρος] e conj.; om. L Cl. — Ib. δέ om. L. — Ib. πλεύμονα] πλέγμα Cl. — 11. βρόγχια Cl. — 13. καὶ τά] τὰ δέ Cl. — 14. ἐν om. L.

Clinch 37-38.

πτοτέρα, καὶ ἐν δεξιᾷ, φλεϐώδης· αὕτη δὲ καὶ εὐρυκοιλιωτέρα τῆς
ἑτέρας. Τὰ δὲ ἑκατέρωθεν τῆς κεφαλῆς ὥσπερ ϖτερύγια κοῖλα, 162
καὶ μαλακὰ, καὶ κινητὰ, ἐν ᾧ ϖᾶσα σφύζει ἡ καρδία, ὦτα καρ-
δίας. Ὁ δὲ ϖερὶ τὴν καρδίαν χιτὼν ϖερικάρδιος. Καὶ τὰ ὑπὸ τῶν 163-1
ὑμένων διαπεφραγμένα τοῦ θώρακος ἐν οἷς ὁ ϖλεύμων, κενὰ θώ-
ρακος. Καὶ οἱ ὑπὸ | ταῖς ϖλευραῖς ὑμένες, ὑπεζωκότες. Καὶ ὁ δια- 38 165-1
χωρίζων τὰ ἐν τῷ στήθει σπλάγχνα τῶν κάτω, διάφραγμα καὶ φρέ-
νες. — Ἐκ δὲ τοῦ γένους τῶν ἀδένων, ϖολλαὶ δέ εἰσιν, αἱ μὲν ϖρὸς 167
τῷ τραχήλῳ, αἱ δὲ ὑπὸ ταῖς μασχάλαις, αἱ δὲ ἐν τοῖς βουϐῶσιν, αἱ
δὲ ἐν τῷ μεσαραίῳ, σάρκες τινὲς ἡσυχῇ ὑποπίμελοι καὶ ψαθυραί.
Ἐκ τούτων τῶν ἀδένων καὶ ὁ καλούμενος θύμος ἐστὶ, ϖεφυκὼς μὲν 168
κατὰ τὴν κεφαλὴν τῆς καρδίας, ἐπιϐάλλων δὲ τῷ τε ἑϐδόμῳ τοῦ
τραχήλου σφονδύλῳ, καὶ τοῦ βρόγχου τῷ ϖρὸς ϖλεύμονι ϖέρατι,
οὐκ ἐν ϖᾶσιν ἑωραμένος. — Ὑπὸ δὲ τῷ διαφράγματι, γαστήρ· τὸ 169

tricule gauche); celle dont les parois sont plus minces et qui se trouve
à droite est dite *veineuse* (*ventricule droit*); sa capacité est plus grande
que celle de l'autre cavité. Les parties molles et creuses qui se meuvent 162
quand se produit la pulsation de tout le viscère, et qui s'étendent
comme des ailes de chaque côté de la *tête* sont les *oreilles* du cœur. Le 163
péricarde est la tunique qui enveloppe le cœur. On appelle *vides du tho-* 164
rax les cavités formées dans le thorax par l'intersection des membranes
(*médiastins*), et où se logent les poumons. On nomme *enveloppantes* (*plè-* 165
vres) les membranes qui tapissent les côtés. La cloison qui isole les vis- 166
cères contenus dans la poitrine de ceux qui sont placés au-dessous est
dite *diaphragme* ou *phrènes*. — Parmi les glandes, et ce genre est nom- 167
breux, les unes sont situées au cou (*parotides?*), les autres sous les
aisselles (*glandes axillaires*), celles-ci aux aines (*glandes inguinales*), celles-
là dans le *mésaréon* (*ganglions du mésentère*); ce sont des chairs un peu
grasses et friables. Le *thymus* est une de ces glandes; prenant naissance 168
proche de la *tête* du cœur, il se dirige vers la septième vertèbre du cou
et vers l'extrémité de la *bronche* qui touche aux poumons; on ne le ren-
contre pas chez tous les animaux. — Au-dessous du diaphragme apparaît 169

1. εὐρυκλειοτέρα Cl. — 5-6. κενὰ τοῦ θώρακος. Καὶ οἱ ὑπό Cl. — 7. κατά L.

Clinch 38-39.
δὲ αὐτὸ καὶ ἄνω κοιλία· εἶτα ἡ ϖρώτη τοῦ ἐντέρου ἔκφυσις, ϖυ-
λωρός· εἶτα νῆστις· ἔντερον τροφῆς διὰ ϖαντὸς κενὸν, ἀπὸ οὗ καὶ
170 νῆστις ὠνόμασται. Συνεχὲς δὲ τούτῳ τὸ λεπτὸν ἔντερον· ἐκ δὲ τοῦ
λεπτοῦ δικραία ἔκφυσις· καλεῖται δὲ τὸ μὲν τυφλὸν, ὅτι ἀληθῶς
τυφλόν ἐστιν· τὸ δὲ κόλον, καὶ κάτω κοιλία, ἣν καὶ νειαίρην Ὅμη-
171 ρος καλεῖ. Ἔστι δὲ ὁ σύνδεσμος τῶν ἐντέρων ϖᾶς, μεσεντέριον καὶ
μεσάραιον· ἀραιὰν δὲ γαστέρα καὶ τὸ σύμπαν ἔντερον ϖάλαι ϖοτὲ
ὠνόμαζον, ἀπὸ οὗ ἐμμεμένηκεν οὕτως ἔτι καὶ νῦν τὸ μεσάραιον
172 καλεῖν. Ἐπὶ δὲ τῷ κόλῳ τὸ ἀπευθυσμένον ϖρὸς τὴν ἕδραν καὶ
39
173 τὸν ἀρ|χόν. Τὸ δὲ ἐκπεφυκὸς μὲν ἐκ τοῦ ϖεριφεροῦς τῆς γαστρὸς,
καλύπτον δὲ αὐτήν τε καὶ μέρος τι τοῦ ἄλλου ἐντέρου, ἐπίπλοον.
174 Καὶ ὁ ἀπὸ τῶν φρενῶν ϖερὶ ϖάντα τὰ ἔντερα χιτὼν τείνων, ϖε-
175 ριτόναιον. Ἡ δὲ ϖαρὰ τὴν ϖρώτην τοῦ ἐντέρου ἔκφυσιν κειμένη
176 σὰρξ διαπίμελος καὶ ἀδενώδης, ϖάγκρεας. — Ἐκ δὲ τῶν δεξιῶν

le *gaster;* on l'appelle aussi *ventre supérieur* (*estomac*); le lieu où l'intestin
prend son origine se nomme *portier* (*pylore* et *duodenum*); après cela vient
l'*intestin qui est à jeun* (*jejunum*), ainsi dénommé parce qu'il est tou-
170 jours vide d'aliment. L'*intestin grêle* lui fait suite; cet intestin a deux
prolongements : l'un qu'on appelle *borgne* (*cæcum*) parce que, en réalité,
il n'a qu'une ouverture; l'autre qui se nomme *colon* ou *ventre inférieur,*
171 ou, chez Homère (*Il.* V, 539), *niarée* (*bas-ventre*). La membrane qui
forme le lien commun de tous les intestins est dite *entre-deux des in-*
testins ou *entre-deux des rares* (*mésentère*, *mésaréon*); car autrefois, on ap-
pelait *ventre rare* tout l'ensemble des intestins; c'est même du souvenir
172 de cette antique appellation que vient notre mot μεσάραιον. Au colon
succède l'*intestin droit* (*rectum*), qui descend vers le *siége* et le *fondement.*
173 La *tunique flottante* (*épiploon*) est celle qui, prenant naissance sur la face ar-
rondie de l'estomac, recouvre ce viscère, ainsi qu'une partie des autres
174 intestins. Celle qui part du diaphragme et qui s'étend autour de tous les
175 intestins se nomme *membrane tendue tout autour* (*péritoine*). La chair pleine
de graisse et glanduleuse que l'on voit couchée au niveau de l'origine
176 des intestins s'appelle *toute-chair* (*pancréas*). — A droite de l'estomac

1. κοιλία ἡ ϖρώτη εἶτα Cl. — 4. δικρόα Cl. — 6. καλεῖται τὸ κῶλον. Ἔστι L. — 7. ἀρ. δὲ γαστέρα ex em.; ἀρ. δὲ τὴν γ. L Cl. — 12. νεφρῶν Cl.

Clinch 39.

τῆς κοιλίας, ἧπαρ. Τοῦ δὲ ἥπατος, τὰ μὲν τῶν Φρενῶν καὶ [τοῦ] 177
περιτοναίου ψαύοντα, κυρτά· τὰ δὲ κάτωθεν καὶ τῆς γασ7ρὸς
ψαύοντα, σιμά. Καὶ ἐπὶ τοῦ μεγίσ7ου λοβοῦ χολῆς ἀγγεῖον· τούτου 178
δὲ τὸ μέσον σ7ενὸν, αὐχήν· τὸ δὲ κάτω, πυθμήν. Πύλη δὲ ἥπατος 179
ἡ Φλὲψ, διὰ ἧς ἡ τροφὴ εἰσέρχεται. Ἃ δὲ ἐν ἱεροσκοπίᾳ, πύλας, 180
καὶ τράπεζαν, καὶ μάχαιραν, καὶ ὄνυχα καλοῦσιν, ἔσ7ι μὲν καὶ ἐν
ἀνθρώπῳ, ἀσαφῆ δὲ καὶ οὐκ εὔδηλα, καὶ εἰς οὐδὲν ἰατρικὸν ἀναγκαίως
ὀνομασθέντα. Ἐκ δὲ τῶν ἀρισ7ερῶν τῆς κοιλίας, σπλήν· καὶ τού- 181
του τὸ παχὺ καὶ ἀνωτάτω, κεφαλή. Πρὸς δὲ ταῖς ἐσχάταις πλευ- 182
ραῖς νεφροὶ δύο· καὶ ἀπὸ τούτων οὐρητῆρες δύο, οἵτινες εἰσβάλ-
λουσιν εἰς τὴν κύσ7ιν. Ἔσ7ι δὲ ἡ κύσ7ις, εἰς ἣν τὸ οὖρον τὸ ἐκ τῶν 183
νεφρῶν καὶ τῶν οὐρητήρων καταῤῥεῖ, καὶ ἀπὸ τῆς κύσ7εως ὁ τρά-
χηλος, καὶ τὸ ὑπόσ7ημα, καὶ ἡ τραμὶς, καὶ τὰ ἄλλα τὰ ἤδη εἰρη-
μένα.

Τὰ δὲ σπερματικὰ ἀγγεῖα ἔσ7ι μὲν τέσσαρα, δύο μὲν κιρσοειδῆ, 184

se trouve l'*hépar* (*foie*). La surface qui touche au diaphragme et au péri- 177
toine est dite *convexité;* celle qui regarde en bas et touche à l'estomac
est dite *concavité.* Sur le grand lobe est couché le *vaisseau de la bile* (*vé-* 178
sicule et canal biliaires); la partie moyenne étroite est le *col;* la partie
inférieure, le *fond.* La *porte* du foie est la veine (*veine-porte*) par où lui 179
arrive la nourriture. Ce que, dans l'inspection des victimes sacrées, on 180
appelle *porte, table, épée, ongle,* se trouve aussi chez l'homme, mais sous
une forme indécise et peu apparente; il n'importe pas, en médecine,
que ces parties reçoivent un nom. Le *splen* (*rate*) est situé à gauche 181
de l'estomac; la partie épaisse et la plus élevée de ce viscère s'appelle
tête. Au niveau des dernières côtes sont les deux *nèphres* (*reins*), d'où 182
s'échappent les deux *uretères,* qui débouchent dans la vessie. La *vessie* est 183
la cavité où les reins versent l'urine à travers les uretères; puis il y a le
col de la vessie, le *sous-fil,* la *tramis,* et les autres parties que j'ai déjà
énumérées plus haut (p. 146, l. 9).

Les vaisseaux spermatiques sont au nombre de quatre, deux *vari-* 184
queux (*canaux déférents*) et deux *glanduleux* (*prostates*); on les nommait

1. [τοῦ] ex em.; om. L Cl. — 8. κοιλίας, σπλήν ex em.; κοιλίας, ὁ σπλήν L Cl. — 13-14. καὶ τὰ ἄλλα τὰ διηρημένα Cl.

Clinch 39-40.

185 *δύο δὲ ἀδενοειδῆ· ἐκαλοῦντο δὲ καὶ γόνιμοι φλέβες. Καὶ τῶν κιρ-*
σοειδῶν, τὰ πρὸς τοῖς διδύμοις, παραστάται· ἐνίοις δὲ καὶ πάντα
40 186 *παραστάτας καλεῖν διαφέρει | οὐδέν. Σκεπτέον δὲ καὶ εἰ τοῖς θή-*
λεσι τὰ αὐτὰ πεποίηται, ὥσπερ καὶ τοῖς ἄῤῥεσιν· Ἡροφίλῳ μὲν
γὰρ οὐ δοκεῖ τὸ θῆλυ κιρσοειδεῖς ἔχειν παραστάτας· ἐν δὲ προ-
βάτου ὑστέρᾳ εἴδομεν ἐκ τῶν διδύμων πεφυκότα τὰ ἀγγεῖα κεκιρ-
σωμένα ἑκατέρωθεν· συνετέτρητο δὲ ταῦτα εἰς τὸ κοίλωμα τῆς
ὑστέρας, ἀπὸ ὧν ὑπόμυξον ὑγρὸν πιεζούντων ἀπεκρίνετο· καὶ ἦν
πολλὴ δόκησις σπερματικὰ ταῦτα εἶναι, καὶ τοῦ γένους τῶν κιρ-
187 *σοειδῶν. Τοῦτο μὲν δὴ οἷόν ἐστιν, αἱ ἀνατομαὶ τάχα δείξουσιν. —*
188 *Οἱ δὲ μύες οἱ ἔνδοθεν τῆς ὀσφύος, ψόαι, οἵπερ καὶ μόνοι τῆς ἄλλης*
189 *ῥάχεως τῇ ὀσφύϊ παραπεφύκασιν. Ἄλλοι δὲ νευρομήτρας καλοῦσιν·*
190 *ἄλλοι δὲ ἀλώπεκας. Τοῦτο ἄρα ἦν καὶ τὸ ἐν ταῖς Κνιδίαις γνώμαις*
γεγραμμένον· ἐὰν δὲ νεφρῖτις ἔχῃ, σημεῖα τάδε· ἐὰν οὐρῇ παχὺ,

185 aussi *veines génératrices*. Les parties des vaisseaux variqueux qui touchent
aux *didymes* (*testicules*) sont appelées *parastates* (*assesseurs*); quelques
auteurs ne font pas difficulté d'appeler *parastates* la totalité de ces vais-
186 seaux. Il convient d'examiner si la nature a pris les mêmes dispositions
chez les femelles que chez les mâles; Hérophile, en effet, est d'avis que
les femmes n'ont pas de *parastates variqueux;* mais, sur l'utérus d'une
brebis, nous avons vu, de chaque côté de ce viscère, des vaisseaux vari-
queux qui s'y insèrent; ils s'ouvraient dans la cavité de l'utérus (*trompes*
de Fallope), et, quand on les comprimait, il s'en échappait un liquide
légèrement muqueux; c'était là pour nous une grande présomption que
ce sont des vaisseaux spermatiques, de l'espèce des vaisseaux variqueux.
188 Les dissections montreront peut-être ce qui en est. — Les muscles qui
s'étendent en dedans (*en avant*) des lombes sont les *psoas;* les lombes sont
la seule région de tout le rachis qui ait des muscles ainsi disposés (*psoas*
189 et *iliaques*). On les appelle aussi tantôt *mères des nerfs* et tantôt *renards.*
190 Ce dernier terme est employé dans les *Sentences cnidiennes* : « S'il existe
« une *néphritis,* on la reconnaît à ces signes : que l'urine est épaisse et

1. ἀδενοειδῆ] ἐλαειδῆ (sic) L. — 2. τοὺς διδύμους Cl. — Ib. προστάται ἐνίοι L. — 8. ὑπό Cl. — Ib. πιεζόντων Cl. — 8-9. ἀπεκρίνετο· καὶ ἦν πολλὴ δόκησις σπερματικὰ ταῦτα εἶναι, καὶ τοῦ γένους τῶν om. L. — 10. δίχα Cl.

πυῶδες, καὶ ὀδύναι ἔχωσιν ἔς τε τὴν ὀσφὺν καὶ τοὺς κενεῶνας, καὶ
τοὺς βουβῶνας, καὶ τὸ ἐπίσειον, τοτὲ δὲ καὶ ἐς τὰς ἀλώπεκας. Ὧ 191
καὶ δῆλον ὅτι χρήσιμον τὰ τοιαῦτα εἰδέναι εἰς διάγνωσιν τῶν οὕτως
ὠνομασμένων. Κλείταρχος δὲ τοὺς ἔξω κατὰ τῆς ῥάχεως μύας, 192
ψόας, καὶ νευρομήτρας, καὶ ἀλώπεκάς φησι καλεῖσθαι οὐκ ὀρθῶς.
— Τῆς δὲ γυναικὸς τὸ γεννητικὸν μόριον, μήτρα, καὶ ὑσῖέρα· Ἱπ- 193
ποκράτης δὲ καὶ δελφὺν, καὶ γονὴν καλεῖ. Καὶ αἱ ἐπὶ τὰ ἄνω ἔνθεν 194
καὶ ἔνθεν ἐκφύσεις, κεραῖαι, καὶ πλεκτάναι, καὶ τὰ ἀνέχοντα αὐ-
τὴν ἀγγεῖα ἐκτός. Καὶ τὸ μέσον καὶ ἀνωτάτω, πυθμήν· καὶ τὰ 195
ἑκατέρωθεν, ὦμοι· καὶ τὸ ἄκρον, αὐχὴν καὶ τράχηλος· τραχήλου
δὲ τὸ σῖόμα, ὁ πρῶτος πόρος· Ἱπποκράτης δὲ | καὶ ἀμφίδιον ὀνο- 41
μάζει ἀπὸ τῶν κυκλοτερῶν σιδηρίων τῶν πρὸς τοῖς ἀρότροις. Εἶτα 196
τὸ κοίλωμα τὸ ἐφεξῆς, γυναικεῖος κόλπος, καὶ αἰδοῖον τὸ σύμπαν
σὺν τοῖς ἐπιφανέσιν. — Περὶ δὲ τοὺς διδύμους εἰσὶ χιτῶνες 197

« purulente, et que des douleurs occupent les lombes, les flancs, les
« aines, le pubis et les *renards.* » On voit par ce passage qu'il est utile de 191
se familiariser avec cette diversité de nomenclature pour reconnaître les
parties ainsi désignées. Clitarque dit, mais à tort, que ce sont les muscles 192
externes du rachis qui sont appelés *psoas, mères des nerfs* et *renards.* —
Le membre génital de la femme s'appelle *mère* (*matrice*) ou *hystera* 193
(*utérus*); Hippocrate le nomme parfois *delphys* (*Des Femmes stériles,*
§ 222) ou *génitrice.* Les prolongements qui montent en haut de 194
chaque côté de l'utérus sont les *antennes* ou *bras de poulpe* (*cornes;*
trompes de Fallope); noms qui s'appliquent aussi aux vaisseaux qui le
suspendent à l'extérieur (*ligaments ronds*). La portion moyenne et la 195
plus élevée de l'utérus est le *fond;* les parties latérales sont les *épaules;*
l'extrémité est l'*isthme* ou le *trachèle* (*col*); enfin l'ouverture du col est
l'*orifice antérieur* (*museau de tanche*); Hippocrate le nomme *amphidion*
(*Malad. des femmes,* § 47) à cause de sa ressemblance avec les cercles de
fer qui se trouvent aux charrues. La cavité qui lui fait suite est le *sinus* 196
féminin (*vagin*); on appelle *parties honteuses* toute cette cavité, y compris
les organes génitaux apparents. — Les testicules sont entourés par des 197

1. ἔχωσιν ex em.; ἔχουσιν codd. Cl. — Ib. ἔς τε] ὥσῖε Cl. — 2. Ὧς L. — 5. νευρομήτορας Cl. — 7. γονήν]. Voy. les notes. — Ib. αἱ om. L. — 9. ἀγγεῖα ἐκτός] ἀγγεῖεσῖω (sic) L. — Ib. ἀμέσον Cl.

Clinch. 41.

*ἐλυτροειδεῖς καὶ δαρτοὶ, καὶ νεῦρον εἰς τὸν δίδυμον καθῆκον κοῖλον, ὃ καὶ ἀορτὴρ καὶ κρεμασΊὴρ καλεῖται, καὶ Φλεβία διὰ ὧν τρέφονται οἱ δίδυμοι· καὶ ταῦτα *τρέφοντα τὸν δίδυμον* καλεῖται.*

198 *Τῶν δὲ ἄλλων Φλεβῶν τὰ ὀνόματα, τὸ μὲν κατὰ παντὸς εἰπεῖν, τὰ λεπΊὰ τῷ χιτῶνι ἀγγεῖα καὶ ἔναιμα Φλέβες καλοῦνται, καὶ πᾶ-*
199 *σαι αἱ μεγάλαι, κοῖλαι. ὝσΊερον δὲ διὰ ἔθους ἔσχον οἱ ἰατροὶ κοίλην ὀνομάζειν, τήν τε ἀπὸ τοῦ ἥπατος ἐπὶ [τοὺς] νεφροὺς πέμπουσαν τὰς ἀποφύσεις, ἔνθα Φησὶν ὁ Πραξαγόρας τὴν πρώτην ἀρχὴν εἶναι τῶν πυρετῶν· καὶ οὗτος κοίλην μόνην ταύτην καλεῖ· ἄλλοι δὲ καὶ τὴν ἄνω διὰ τῶν Φρενῶν ἐπὶ καρδίαν τείνουσαν· οἱ δὲ καὶ ταύτην τε καὶ τὴν προτέραν ἑνὶ ὀνόματι ἡπατῖτιν ὠνόμασαν· καὶ τὴν*
200 *ἀπὸ τοῦ σπληνὸς, σπληνῖτιν. Ἀλλὰ οὐκ ἔσΊιν ἀπὸ τοῦ σπληνὸς, ὥσπερ ἀπὸ τοῦ ἥπατος ἄνω καὶ κάτω διὰ τῶν ἀρισΊερῶν πεφυκυῖα Φλέψ, ἀλλὰ τοῦτο ψευδόμενοι λέγουσιν· τὰ δὲ ἐπὶ τὸν σπλῆνα τεί-*

tuniques *en forme d'étui* et *écorchées* (v. p. 182-183); un nerf creux se rend aussi à ces organes; on le nomme *corde* ou *crémaster* (*suspenseur*); il s'y rattache encore de petites veines qui portent la nourriture; on les appelle *veines nourricières des testicules.*

198 Quant aux noms des autres veines, pour le dire en général, on appelle proprement *veines* celles qui ont une tunique mince et qui con-
199 tiennent du sang; toutes les grandes veines sont dites *caves.* Plus tard les médecins ont pris l'habitude de nommer particulièrement *cave* la veine qui, du foie (*partie de la v. cave infér.*), envoie des prolongements vers les reins, là où, suivant Praxagore, est le point de départ de toutes les fièvres; ce médecin veut que le nom de *cave* lui soit exclusivement réservé; mais d'autres appellent aussi *cave* la veine qui monte au cœur à travers le diaphragme (*autre partie de la v. cave infér.*); enfin il en est qui donnent le nom d'*hépatitis* à l'une et à l'autre veine, et de *splénitis*
200 à celle qui part de la rate. Mais il n'y a pas à la rate comme au foie une veine qui, située à gauche, ait une portion descendante et une portion ascendante; ceux qui disent cela se trompent; les veines qui se dirigent

1. *ἐλυτροειδεῖς* ex em.; *ἐρυτροειδεῖς* L; *ἐρυθροειδεῖς* Cl. et sic semp. — Ib. *κοῖλον.* Voy. notes. — 2. *ἀρτηρία* Cl. — Ib. *καί* om. L. — 6-7. *ἔνθους ἔσχον ἰατροὶ κοίλην τε ὀνομ.* L. — Ib. *τοῦ* W.; om. L. Cl. — 7. [*τούς*] ex em.; om. L. Cl.

νοντα φλεβία, λεπτά τέ ἐστι, καὶ αὐτὸν πρὸς τὸν σπλῆνα περαί-
νεται. Φιλιστίων δὲ ὁ ἐξ Ἰταλίας, κατὰ τὸ ἐπιχώριον τοῖς ἐκεῖ 201
Δωριεῦσι, ἀετούς τινας ὀνομά|ζει φλέβας, τὰς διὰ κροτάφων ἐπὶ 42
κεφαλὴν τεινούσας. Ἱπποκράτης δὲ τὰς ἀπὸ καρδίας εὐθεῖς δρακον- 202
τίδας ὀνομάζει. Ἡρόφιλος δὲ ἀρτηριώδη φλέβα τὴν παχυτάτην καὶ 203
μεγίστην τὴν ἀπὸ τῆς καρδίας καλεῖ φερομένην ἐπὶ τὸν πλεύμονα·
ἔχει γὰρ ὑπεναντίως τῷ πλεύμονι πρὸς τὰ ἄλλα. Αἱ μὲν φλέβες 204
ἐνταῦθα ἐῤῥωμέναι καὶ ἐγγυτάτω τὴν φύσιν ἀρτηριῶν· αἱ δὲ ἀρτηρίαι
ἀσθενεῖς, καὶ ἐγγυτάτω τὴν φύσιν φλεβῶν. Ἐπανθισμοὺς δὲ πρῶτος 205
μὲν ὧν οἶδα ὠνόμασε Διονύσιος ὁ τοῦ Ὀξυμάχου· καί φησιν ὁ Εὔ-
δημος λέγεσθαι τὴν φλέβα, ἐπανθισμόν. Ἐμοὶ δὲ δοκεῖ Διονύσιος 206
ἐοικὸς μέν τι φλεβὶ τὸν ἐπανθισμὸν ὀνομάζειν, οὐ μὴν αὐτόφλεβα,
ἀλλά τι ἄλλο ἐπίκτητον ἀγγεῖον αἵματος. Δηλοῖ δὲ πολλάκις ἐν τῷ 207
αὐτῷ φλέβα, καὶ ἐπανθισμὸν, καὶ ἀρτηρίαν ὀνομάζων· οὐ γὰρ ἂν,

du côté de la rate sont grêles et se terminent à ce viscère. Philistion, 201
médecin d'Italie, se conformant au langage des Doriens qui habitent
ce pays, appelle *aigles* certaines veines qui se dirigent vers la tête le
long des tempes (*branches de la jugulaire externe*), Hippocrate nomme *dra-* 202
contides (*petits dragons*) les veines qui s'élèvent en ligne droite du cœur.
Hérophile désigne par les mots *veine artérieuse* (*artère pulmonaire*) le 203
vaisseau très-grand et très-épais qui se porte du cœur au poumon; car,
dans les poumons, les choses se passent autrement que dans les autres
parties. Les veines y sont résistantes et se rapprochent de la nature des 204
artères, tandis que les artères y sont faibles et se rapprochent de la na-
ture des veines. Denys, fils d'Oxymaque, s'est servi le premier, à ma con- 205
naissance, du mot *épanthisme;* et Eudème dit qu'on appelait les veines
épanthismes. Mais je crois que Denys a ainsi dénommé, non pas une veine, 206
mais quelque chose qui y ressemblait, par exemple, un réceptacle acci-
dentel de sang. Il le prouve en employant souvent dans la même phrase 207
les mots *veine*, *épanthisme* et *artère*, et il n'eût pas parlé ainsi, s'il n'y avait

1. *αὐτόν* ex em.; *αὐτοῦ* L Cl. — 2. *ἐξ*] *ἀπό* Cl. — 3. *ἀετούς*] *δὲ τούς* L. — 4. *εὐθεῖς* ex em.; *εὐθύς* L Cl. — 4-5. *δρακοντίτιδας* L. Voy. notes. — 6. *τῶν ἀπό* L. — 9. *πρῶτος* ex em.; *πρῶτον* L Cl. — 12. *ἐοικὸς μέν τι* ex em.; *ἐοικὸς μὲν τῇ* Cl. *ἐοικὸς δὲ τῇ* L. — 13. *ἀλλά τι καὶ ἄλλο* Cl. — Ib. *δέ* om. Cl.

Clinch. 42-43.

εἴπερ ταὐτὸν ἦν φλεβὶ, οὕτως ὠνόμαζεν· εἴ γε μηδέν ἐστιν ἕτερον
παρὰ τὴν φλέβα ἐπανθισμός, ἀλλὰ ἐκεῖνός γε ᾤετο, καὶ οὕτως ἐκάλει.
208 — Τὰς δὲ ἀρτηρίας τὸ ἀρχαιότατον φλέβας ὠνόμαζον· καὶ σφύζειν
ὁπότε λέγοιεν τὰς φλέβας, ἀρτηρίας ἐβούλοντο καλεῖν· ἀρτηριῶν γὰρ
τὸ σφύζειν ἔργον· ἔλεγον δὲ καὶ ἀορτὰς καὶ πνευματικὰ ἀγγεῖα, καὶ
209 σήραγγας, καὶ κενώματα, καὶ νεῦρα. Ἀορτὴν δὲ Ἀριστοτέλης ἐξαι-
ρέτως τὴν διὰ τῆς ῥάχεως ἀρτηρίαν ὀνομάζει, ἥ τις μεγίστη παρα-
τέταται τῇ ῥάχει· ταύτην δὲ παχεῖαν Πραξαγόρας εἴθισται καλεῖν.
210 Καρωτίδας δὲ τὰς διὰ τοῦ τραχήλου κοίλας ὠνόμαζον πάλαι, ὅτι
43 πιεζόντων καρώδεις καὶ ἄφωνοι ἐγίνοντο· ὤφθη δὲ νῦν τὸ | πάθημα
οὐ τῶν ἀρτηριῶν, ἀλλὰ νεύρων αἰσθητικῶν πεφυκότων πλησίον·
211 ὥστε εἰ ἐθέλοις μεταθεῖναι τοὔνομα, οὐκ ἂν ἁμαρτάνοις. — Νεῦρα
δὲ, τὰ μὲν ἀπὸ ἐγκεφάλου καὶ νωτιαίου, πρακτικὰ καὶ αἰσθητικὰ,
212 καὶ προαιρετικὰ, καὶ τόνοι· τὰ δὲ περὶ τὰ ἄρθρα συνδετικά. Αἱ δὲ

aucune différence entre l'*épanthisme* et la *veine;* du moins, si *épanthisme*
et *veine* sont même chose, Denys pensait qu'il en est autrement et écrivait
208 en conséquence. — Très-anciennement on appelait les artères *veines;* et,
quand on disait que les veines battaient on voulait parler des artères, car
battre est l'office des artères; on les nommait aussi *aortes* (*suspenseurs*),
209 *vaisseaux pneumatiques, cavernes, cavités* et *nerfs.* Aristote (*Hist. des anim.*
III, III, 7) désigne particulièrement sous le nom d'*aorte* la plus grande
des artères, celle qui descend le long du rachis; Praxagore a coutume
210 de l'appeler l'*épaisse.* On a autrefois appliqué le nom d'*assoupissants* (*ca-
rotides*) aux vaisseaux qui montent à travers le cou, parce qu'en les
comprimant, on produit l'assoupissement et l'aphonie; mais on sait au-
jourd'hui que ces symptômes résultent de la compression des nerfs et
non pas de celle des vaisseaux, de sorte qu'on ne ferait pas mal si on
211 pensait devoir changer ce nom. — Parmi les nerfs qui proviennent du
cerveau et de la moelle épinière, les uns actifs (*moteurs*) ou sensitifs sont
dits *volontaires* et *cordons;* les autres, qui entourent les articulations, sont
212 appelés *ligaments.* Les faisceaux épais qui s'étendent depuis la nuque,

1. εἰ γάρ Cl. — 1-2. ἕτερον παρὰ τὴν φλέβα om. L. — 2. ᾤετο] ὤστο (sic) L. — Ib. καλεῖ L. — 6. καὶ κενώματα] καλκεώματα L. — 12-13. Νεῦρα μέν Cl.

Clinch. 43.

παχεῖαι ἐκ τοῦ ἰνίου ἐκφύσεις, καὶ τὰ εἰς τὴν πτέρναν ἐκ τοῦ μυὸς
ἐκφυόμενα, τένοντες. — Χόνδροι δὲ τὰ ἐπὶ τοῖς πέρασι τῶν ὀστῶν· 213
σκληρότερα δὲ τῶν νεύρων. — Ὑμένες δὲ τὰ λεπτὰ καλύμματα· 214
χιτῶνες δὲ τὰ παχύτερα τῶν καλυμμάτων. — Πιμελὴ δὲ τὸ λιπα- 215
ρώτατον πῆγμα τῆς τροφῆς. — Σὰρξ δὲ τὸ ἐν τοῖς σπλάγχνοις 216
μεταξὺ τῶν ἀγγείων πεπηγὸς, ἅμα ὑφή τις καὶ πλήρωμα τοῦ πλέγματος τῶν ἀγγείων, ὡς μὴ κενὰ τὰ μεταξὺ ᾖ· καὶ ἡ τῶν μυῶν, ἰνώδης, καὶ στερεά· καὶ ἡ ἐπὶ τοῖς ἕλκεσι καὶ τοῖς κοιλώμασι τῶν
ὀστῶν ἄρτι πηγνυμένη. — Μυελὸς δὲ ὁ μὲν ἐν τῇ ῥάχει, ῥαχίτης· 217
ὁ δὲ διὰ νώτου, νωτιαῖος, καὶ ἡ περὶ αὐτὸν μῆνιγξ, νωτιαία· ὁ δὲ ἐν τῷ κρανίῳ, ἐγκέφαλος· ὁ δὲ ἐν τοῖς ἄλλοις ὀστέοις, ὀστίτης, ἐάν τε ἐν μεγάλοις ἐνῇ κοιλώμασιν ὥσπερ ἐν μηρῷ, καὶ ἐν βραχίονι, ἐάν τε ἐν σήραγξιν, ὥσπερ ἐν πλευραῖς καὶ κλεισίν.

Αἷμα δὲ ὁ θερμότατος καὶ ξανθότατος χυμός. — Φλέγμα δὲ τὸ 218-2

et celui qui, s'échappant du muscle (*soléaire, jumeaux*), se fixe au talon
(*tendon d'Achille*), sont appelés *tendons.* — Le *cartilage* est la substance 213
blanche plus dure que n'est celle des nerfs, et qui revêt l'extrémité des
articulations. — On nomme *membranes* les enveloppes minces, *tuniques* 214
les enveloppes épaisses. — La *graisse* est la partie coagulée la plus onc- 215
tueuse de l'aliment. — La *chair* est la partie solidifiée qui, dans les vis- 216
cères, se trouve entre les vaisseaux; c'est en même temps un certain tissu et un moyen de remplissage entre les mailles des vaisseaux, afin qu'il n'y ait point de vide entre eux; puis il y a la chair des muscles, fibreuse et résistante; enfin celle qui se forme sur les plaies ou qu'on trouve dans les
cavités des os est une coagulation. — La moelle contenue dans le rachis 217
s'appelle *moelle rachidienne,* et au dos, *moelle dorsale;* la méninge qui la revêt est dite *méninge dorsale;* la moelle renfermée dans le crâne est nommée *encéphale;* celle des autres os a reçu le nom de *moelle osseuse,* qu'elle se trouve soit dans de grandes cavités, à la cuisse et au bras, par exemple, soit dans de petites cavernes, comme aux côtes et à la clavicule.

Le *sang* est l'humeur la plus chaude et d'un jaune foncé. — Le *phlegme* 218-2

4. Πιμελὴ τό λιπαρ. L. — 6. πεπηγὸς, ἅμα ὑφή τις e conj.; πεπηγὸς ἀλλὰ ὑφεί τις L. Cl. — 7. πλεύμονος L. — Ib. ὡς μὴ τὰ κενὰ μεταξύ ᾖ Cl. — Ib. ἡ om. Cl. — 9. πηγνυμένης L. — 12-13. καὶ βραχίωνι Cl.

Clinch. 43-44.

220 λευκὸν καὶ παχὺ, καὶ ἡσυχῇ ἁλυκὸν περίσσωμα. * Τοῦτο δὲ ὅταν
221 αὐανθῇ, μέλαν Φλέγμα. — Χολὴ δὲ, ξανθὴ μὲν, τὸ πικρὸν καὶ ξανθὸν περίσσωμα· πρασοειδὴς δὲ, ἡ ὀξεῖα καὶ ὑπόχλωρος· ἰώδης δὲ,
44 ἡ ἰσχυρῶς κατακορὴς καὶ ἄκρατος· | μέλαινα δὲ, ἡ ὑποσΊάθμη τοῦ
222-223 αἵματος. Ἄλλοι δὲ τὸ μέλαν αἷμα, μέλαιναν καλοῦσιν. — Τὰ δὲ ὑπόλοιπα περισσώματα, σίελος μὲν ἡ τοῦ σΊόματος ὑγρότης· μύξα δὲ τὸ ἁλμυρὸν περίσσωμα τοῦ ἐγκεΦάλου· ἱδρὼς δὲ ἡ κατὰ πᾶν τὸ σῶμα ὑγρότης· οὖρον δὲ τὸ ἐν κύσΊει νιτρῶδες ὑγρὸν κατιόν· Φῦσα δὲ τὸ ἐν τοῖς ἐντέροις περισσὸν πνεῦμα· κυψελὶς δὲ ὁ ἐν τοῖς ὠσὶ ῥύπος· καταμήνιον δὲ αἱ ἐν ταῖς θήλεσιν ἐπὶ μηνὶ αἱματώδεις ἐκκρίσεις· ὅταν δὲ λευκὰ ἐπιΦέρηται, καταμήνιον οὐ καλεῖται, ἀλλὰ
224-225 ῥοῦς. Γάλα δὲ ἡ ἐν τοῖς μασΊοῖς πέψις τῆς τροΦῆς. Σπέρμα δὲ καὶ θορὴ καὶ γόνος τὸ αὐτὸ, ἡ ἐν παρασΊάταις γεννητικὴ πέψις ὁμοῦ
226 πνεύματος καὶ τροΦῆς. — Πραξαγόρας δὲ ἴδιον τρόπον τοὺς χυμοὺς ὠνόμαζε, γλυκὺν, καὶ ἰσόκρατον, καὶ ὑαλοειδῆ· τούτους μὲν κατὰ

220 est l'*excrément* blanc, épais, légèrement salé. Quand il se dessèche on le
221 nomme *phlegme noir.* — La *bile* est dite *jaune* quand il s'agit de l'excrément amer et jaune; *porracée,* s'il est aigre et un peu jaune; *érugineuse,* s'il est très-foncé et sans mélange; *noire* quand il est le dépôt du sang.
222-223 Quelques médecins appellent *bile noire* le sang noir.—Les autres excréments sont : la *salive,* liquide de la bouche; le *mucus,* superfluité salée du cerveau; la *sueur,* sécrétion humide de tout le corps; l'*urine,* humeur *sodique* qui se rend dans la vessie; les *vents,* flatulences superflues qui se forment dans les intestins; la *cypsèle* (*cérumen*), crasse formée dans les oreilles; l'*éruption mensuelle,* écoulement sanguin qui se produit chaque mois chez les femmes; quand cet écoulement est blanc on l'ap-
224 pelle *flux* et non pas *éruption mensuelle.* Le *lait* est le liquide contenu
225 dans les mamelles et provenant de la coction de l'aliment. *Sperme, thore* et *géniture,* désignent la liqueur prolifique contenue dans les *parastates*
226 et résultant de la coction simultanée du pneuma et de l'aliment. — Praxagore désigne les humeurs d'une façon particulière; il les appelle :

1-2. Τοῦτο μὲν τοῦτο δὲ ἀνθῇ L. — 2. δέ om. Cl. — 9. κῦψις L. — Ib. ὠτοῖς L. — 10-11. ὁ ἐν ταῖς. . . . . αἱματωδῆς ἔκκρισις L. — 12. τοῖς om. L. — 15. ὠνόμασε Cl. — Ib. ἰσόκρατα L. — Ib. ὑαλοειδεῖς L.

τὴν ἰδέαν τοῦ φλέγματος· ἄλλους δὲ ὀξὺν καὶ νιτρώδη, καὶ ἁλυκὸν,
καὶ ϖικρόν· τούτους δὲ ὡς γευσαμένῳ φαίνονται· ἄλλους δὲ, ϖρα-
σοειδῆ μὲν τῇ χρόᾳ, λεκιθώδη δὲ τῇ ϖαχύτητι· ἄλλους δὲ, ξυ-
σ7ικὸν μὲν, ὅτι ξύεσθαι ϖαρασκευάζει· σ7άσιμον δὲ, ὅτι ἐν ταῖς
φλεψὶν ἐνέσ7ηκε, καὶ οὐ διαδίδωσιν εἰς τὴν σάρκα, διὰ τὸ λεπ7οὺς
καὶ φλεϐώδεις εἶναι τοὺς σ7ασίμους χυμούς. Τὸ δὲ ὅλον, χυμὸν ὁ 227
Πραξαγόρας ϖᾶν τὸ ὑγρὸν καλεῖ· ὁ δὲ Μνησίθεος, τοῦτον μὲν χυ-
λὸν, τὴν δὲ γευσ7ικὴν δυνάμιν, ἐάν τε ἐν ξηρῷ, ἐάν τε ἐν ὑγρῷ ᾖ,
χυμόν. — Θερμασίαν δὲ καὶ ϖνεῦμα Ζήνων μὲν τὸ αὐτὸ εἶναί φη- 228
σιν· οἱ δὲ ἰατροὶ διαιροῦσι, ϖνεῦμα μὲν τὸ | ἀναπνεόμενον· θερμὸν 45
δὲ τὴν ἔκτριψιν τοῦ ϖνεύματος· οἱ δὲ ἀρχήν τινα ζωῆς.

Τὸ δὲ βρέφος ϖεριέχεται χιτῶσι, τῷ μὲν λεπ7ῷ καὶ μαλακῷ· 229
ἄμνιον αὐτὸν Ἐμπεδοκλῆς καλεῖ· ἐντεῦθεν, μοι δοκεῖ, καὶ ἡ Εἰλείθυια
Ἀμνιὰς ἐπωνόμασ7αι, μᾶλλόν ϖερ ἢ ἀπὸ τοῦ ἐν Κρήτῃ λιμένος.

douces, bien tempérées, vitreuses, en s'en rapportant aux apparences exté-
rieures du phlegme; *aigres, sodiques, salées, amères,* en tenant compte de
la saveur; *porracées,* eu égard à la couleur; *semblables à du jaune d'œuf,*
en considérant la consistance; *corrosives,* parce qu'elles portent à se grat-
ter; *stagnantes,* celles qui restent dans les vaisseaux et ne transsudent pas
à travers les chairs, attendu que les humeurs stagnantes sont ténues et
demeurent dans les veines. En général, Praxagore applique l'expression 227
chyme à toute espèce de liquide, tandis que Mnésithée emploie dans ce
cas le mot *chyle* (*suc*), et il réserve le mot *chyme* pour indiquer une qua-
lité sapide, qu'il s'agisse de solides ou de liquides. — Zénon assure que 228
la *chaleur* et le *pneuma* sont même chose; les médecins font une distinc-
tion: ils appellent *pneuma* l'air qui est respiré, et *chaleur* ce qui résulte
du frottement du *pneuma;* d'autres prétendent que la chaleur est un
certain principe de la vie.

Le fœtus est enveloppé de membranes, d'abord d'une membrane 229
mince et molle; Empédocle l'appelle *amnios;* c'est de là, ce me semble,
que la déesse Ilithyie a pris le surnom d'*Amnias,* et non pas du nom

2. φαίνεται Cl. — 6. Τόν Cl. — 8. τε ξηρῷ L. — 9. χυλόν L. — Ib. μέν om. Cl. — 11. ζωῆς ἀρχήν τινα Cl. — 12. τὸ μὲν λεπ7ὸν καὶ μαλακόν Cl. — 13. Ηειαειθυια Ἀμνησιας (sic) L. — 14. καὶ μᾶλλον ἤπερ Cl.

Clinch. 45.

230 Ἑωρῶμεν δὲ ἀνατέμνοντες τοῦτον τὸν χιτῶνα περιέχοντα ὑγρὸν,
πολὺ δὴ καθαρώτερον τοῦ ἐν τῷ χορίῳ· καὶ λογιζομένοις μὲν ἐφαί-
νετο ὥσπερ ἱδρὼς εἶναι τοῦ βρέφους, τὸ δὲ διὰ τοῦ οὐράχου ὥσπερ
231 οὖρον εἰς τὸ χορίον ἐκδιδόναι. Ἀλλὰ ὁ μὲν ἄμνιος ἔνδοθεν ἦν καὶ
περὶ τῷ βρέφει· τὸ δὲ χορίον ἔξω καὶ περὶ τῇ ὑστέρᾳ τραχὺς καὶ
232 φλεβώδης χιτών. Ἐκ δὲ τοῦ χορίου ἐκπεφύκει ὁ ὀμφαλὸς, δύο φλέ-
βες καὶ δύο ἀρτηρίαι, καὶ πέμπτος ὁ καλούμενος οὐραχὸς, ἀγγεῖον
βραχὺ καὶ ἀμφίστομον ἀπὸ τοῦ πυθμένος τῆς κύστεως εἰς τὸ χορίον
ἐμβάλλων.

233 Τὰ μὲν πλεῖστα τοῦ ἀνθρώπου οὕτω χρὴ καλεῖν· εἰ δέ τι ἐν τού-
τοις καὶ παραλέλειπται, οὐ μὴν δίκαιον τὰ πολλὰ ἀτιμάσαι διά
τινα ὀλίγα παροφθέντα.

230 d'un port de Crète. En disséquant cette tunique nous l'avons trouvée
pleine d'un liquide beaucoup plus limpide que celui qui est renfermé
dans le *chorion;* ce liquide semblait à qui réfléchissait, comme la sueur
du fœtus; nous reconnaissions aussi que, par l'*ouraque* (*conduit de l'urine*),
231 une humeur semblable à l'urine arrivait dans le chorion. L'amnios re-
couvrait immédiatement le fœtus, tandis que le chorion apparaissait
comme une membrane externe, rugueuse, tissée de veines et qui se
232 trouvait en rapport avec les parois de l'utérus. Du *chorion* partait l'*om-
phale* (*cordon ombilical*), composé de deux veines, de deux artères (*veines*
et *artères ombilicales*) et d'un cinquième vaisseau qu'on appelle l'*ouraque,*
vaisseau court qui communique, par deux ouvertures, avec le fond de
la vessie et avec le chorion.

233 Telle est la nomenclature de la plupart des parties du corps de l'homme;
si on en a omis quelques-unes, il ne serait pas juste de tenir en mépris
la somme considérable de connaissances acquises, à cause de quelques
petites choses qui auraient passé inaperçues.

2. *δέ* Cl. — 5. *βραχύς* Cl. — 10. *εἰ δέ*] *τὰ δέ* L.

ΑΝΕΠΙΓΡΑΦΟΝ.

ΠΕΡΙ

ΑΝΑΤΟΜΗΣ ΤΩΝ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΜΟΡΙΩΝ.

Clinch. 53.

| Παραδόντες τὴν τῶν ἔξωθεν Θεωρουμένων ὀνομασίαν, ἑξῆς νῦν 53 1
ἐπὶ τὴν τῶν ἐντοσθίων μεταϐαίνωμεν γνῶσιν· * ἔοικε γὰρ κατὰ τοὺς σοφοὺς οἱονεὶ μικρὸς κόσμος ὁ ἄνθρωπος, ἀντίμιμος τῆς οὐρανίου τάξεως, ποικίλην ἔχων δημιουργίαν ἀποτελεσμάτων ἔν τε τῇ τῶν μερῶν κατασκευῇ, καὶ τῇ τῶν ἔργων ἐκϐάσει· παιδευτέον οὖν καθάπερ τὰ ἄλλα τὰ κατὰ τὴν ἰατρικὴν, οὑτωσὶ δὴ καὶ τὰ κατὰ ἀνατομὴν Θεωρήματα. Τῆς οὖν τέχνης ἀρχὰς διδασκαλίας οἱονεὶ 2

TRAITÉ ANONYME

(ATTRIBUÉ À RUFUS).

I.

DE L'ANATOMIE DES PARTIES DU CORPS.

Après avoir donné la nomenclature des parties qui se voient à l'extérieur, nous allons maintenant nous livrer à l'examen des parties intérieures; l'homme, en effet, aux yeux des philosophes, passe pour un petit monde (*microcosme*); il est une représentation du bel arrangement des choses célestes, manifestant un art varié dans la construction de ses parties et dans l'accomplissement de ses fonctions; en conséquence, il importe d'apprendre les sujets d'étude que fournissent l'anatomie aussi bien que les autres branches de la médecine. Posant donc les principes de 2

1-p. 169, l. 2. Παραδόντες... Θέσιν τε καὶ ὀνομασίαν] Ὅτι περὶ τῶν ἔξωθεν Φαινομένων, Φησὶ, διαλαϐόντες, νῦν ἐπὶ τῶν ἐντοσθίων διαλεγώμεθα A. — 6. δή ex em.; δέ Cl. — 7. διδασκαλίας καὶ οἱονεί Cl.

élevées se rapprochent l'une de l'autre, courbées en forme de voûte; les suivantes, marchant obliquement à leur rencontre, sont appelées *épines cartilagineuses* et *fausses-côtes;* [les plus élevées de ces côtes] sont, dans leur projection, plus longues que les premières; mais, à
la base du thorax, elles diminuent de longueur. La dernière de toutes 26
les vertèbres l'emporte sur les autres par son volume; nous l'appelons *os sacré* (*sacrum*), conformément à la coutume des anciens d'appeler

10. καμαρωειδῶς Cl. — Ib. λοξοειδεῖς ex em.; λοξώδεις L Cl. — 14. ὅ Cl.

Clinch. 69-70.

7 ἱερὰ τὰ μεγάλα καλούντων. — Ἑκατέρωθεν δὲ τοῦ σπονδύλου τού-
του τὰ τῶν ἰσχίων ὀσῖᾶ παρατεθέντα ἐκ τῶν ὄπισθεν, ἃ καὶ
8 συνάπῖει τοῖς πέρασι, κατὰ τὸ ἐφήϐαιον χόνδρῳ συμφυέντα. Ἐσχη-
μάτισῖαι δὲ τὰ τῶν ἰσχίων ὀσῖᾶ πλατέα εἶναι καὶ ποσῶς περι-
9 φερῆ· κατὰ δὲ τὰ ἕτερα σῖενὰ καὶ παχύτερα. Ἔχουσι δὲ κοιλότητας
οὐ διαμπερεῖς, βαθείας [δὲ], αἳ κοτύλαι καλοῦνται εἰς ἃς αἱ κεφαλαὶ
0 τῶν μηρῶν ἐναρμόζονται. — Οἱ δὲ μηροὶ ὀσῖᾶ ἐπιμήκη, ἐῤῥω-
μένα τε τυγχάνουσι, τὴν ἔκτασιν ἀπὸ τῶν ἰσχίων ἄχρι γόνατος
1 ἔχοντα, περιφερῆ, πρόκυρτα. Ἐκ δὲ τῶν κατὰ τὸ γόνυ πάλιν
ἑκάτερα αὐτῶν πάχος ἔχει καὶ περιφέρειαν κονδυλώδη, ὡς ἑκα-
τέρωθεν μὲν ἐπῆρθαι, κεκοιλάνθαι δὲ ἐν μέσῳ κατὰ ἃ προσκυρεῖ ἡ
κνήμη τρίγωνος οὖσα, καὶ περὶ τὴν κεφαλὴν πεπλατυσμένη, κοι-
λότητας ἔχουσα ἐπιπολαίους, κατὰ ὧν αἱ κονδυλώδεις ὑπεροχαὶ
70 2 ἐντί|θενται. Αὐτῆς δὲ τῆς κνήμης ἡ ὑπεροχὴ εἰς τὴν τοῦ μηροῦ κοι-

7 *sacré* ce qui est grand. — De chaque côté de cette vertèbre, s'étendent
d'arrière en avant les os des *ischions* (*os des iles*); là où leurs extrémités
se rapprochent (*pubis*), ils sont unis par un cartilage (*cartil. et ligaments*
8 *interosseux*) au niveau de l'*éphébée* (*symphyse du pubis*). La conformation
des ischions est telle, qu'ils sont en partie plats et cependant un peu ar-
rondis (*iléon*), et en partie étroits et épais (*ischions proprement dits et*
9 *pubis*). On y remarque des cavités qui ne les traversent pas de part en
part, mais qui, néanmoins, ont de la profondeur, et qu'on nomme *co-
tyles* (*cavités cotyloïdes*); c'est là que se logent les *têtes des cuisses* (*têtes
0 *des fémurs*). — Les *os des cuisses* (*fémurs*), longs et résistants, s'étendant
depuis les ischions jusqu'au genou, sont arrondis et bombés à leur
1 face antérieure. Arrivés vers le genou, les fémurs se renflent de nou-
veau en deux *condyles* arrondis et saillants (*condyles interne et externe
avec leurs tubérosités*); ils se creusent à leur partie moyenne (*partie ar-
ticulaire*) pour aller à la rencontre du *cnêmé* (*tibia*), lequel est triangu-
laire, et dont la tête aplatie offre deux cavités superficielles (*surfaces*
2 *articulaires*), où s'insèrent les saillies en forme de condyles. La partie
proéminente du tibia (*épine du tibia*) s'enclave dans la cavité du fémur.

1.-2. τοῦ σπονδύλους τούτους L. — 5. ἕντερα Cl. — 6. [δέ] om. L Cl.

λότητα ἀντικλείεται. Παράκειται δὲ ἐκ τῶν ἔξωθεν μερῶν ἡ ϖερόνη 33
ταύτης ἰσχνοτέρα, οὐ ϖλησιάζουσα τῷ μηρῷ. Ὑπέσταλται δὲ κατω- 34
τέρω· καὶ ἔστιν αὐτῆς τὸ ϖέρας ὁ ἔξω κόνδυλος, ὃν ἔνιοί φασι τῶν
ἰδιωτῶν ἀστράγαλον ϖροσαγορεύεσθαι. Χόνδρῳ μέντοι κατὰ ϖέ- 35
ρας συνδεῖται ϖρὸς ἄλληλα. Ἐπὶ δὲ τῆς συμβολῆς τῆς κνήμης καὶ 36
τοῦ μηροῦ ὀστοῦν ἐπίκειται λεγόμενον ἐπιγονατὶς, δισκοειδὲς κατὰ
σχῆμα, τὴν σύμφυσιν ἔχον μέσην, ὃ κατὰ μὲν τὴν κάμψιν τῇ κνήμῃ
μᾶλλον ϖροσχωρεῖ, κατὰ δὲ τὴν ἔκτασιν ἐπὶ ἑκάτερον ϖίπτει. Ἐκ 37
δὲ τῶν ϖρὸς τοῖς σφυροῖς μερῶν ἡ κνήμη στενοῦται ϖοσῶς, καὶ
σιγματοειδῶς τῷ ϖέρατι κατὰ τὸ ἴσον διΐσταται οὕτως ὥστε τὴν
μὲν ἐπιμήκη ὑπεροχὴν ἔχειν, τὴν δὲ σμικροτέραν· καὶ ἔστι τῆς μὲν
μείζονος ὑπεροχῆς ὁ ἔσωθεν κόνδυλος· ὁ δὲ τῆς ἄλλης κρυπτόμε-
νος σαρκὸς ἐπιφύσει· συνήρμοσται δὲ τῷ τῆς ϖερόνης ἀπολήγοντι,
ὃ καὶ ἐπιπροβὰν τὸν ἔξω κόνδυλον, ὡς ἔφαμεν, ἀποδείκνυσιν· ὥστε

Sur la partie externe du tibia descend l'*agrafe* (*péroné*); plus grêle que 33
le tibia, il n'arrive pas jusqu'au fémur. Plus bas le péroné se porte en 34
arrière; son extrémité inférieure, au côté externe, se renfle en un
condyle (*malléole externe*) que le vulgaire appelle *astragale*. Le tibia et 35
le péroné s'unissent, à leurs extrémités, au moyen d'un cartilage. En 36
haut, au point de jonction du fémur et du tibia, est couché un osselet
que nous appelons *épigonatis* (*rotule*); sa forme est celle d'un disque;
il occupe la région moyenne du genou et se porte particulièrement
sur le tibia dans les mouvements de flexion de la jambe; mais, dans les
mouvements d'extension, il est appliqué sur les deux os. Auprès des 37
malléoles le tibia se rétrécit un peu, et son extrémité inférieure se
développe régulièrement en forme de sigma (Ր), de façon à présenter
une proéminence plus allongée, et une autre un peu plus courte (*surface articul. péronéale*); le condyle interne (*malléole interne*) appartient à la
proéminence la plus grande; le condyle formé par l'autre proéminence
est caché par une couche de chair; il s'unit à la partie descendante du
péroné qui porte en saillie, comme nous l'avons dit (plus haut, l. 3-4),
le condyle externe (*malléole externe*); il en résulte qu'il existe entre les

2-3. δὲ καὶ κατωτέρω ἐστίν Cl. — 7. τὴν κνήμην L. — 8. ἑκάτερων Cl. — 9. τοῖς σφυροῖς ex em.; τῶν σφυρῶν L.; τὸ σφυρόν Cl. — 11. ἔχειν om. L. — Ib. μικροτέραν L. — 12. μείζ. ὑπερ. om. L. — 13. σαρκός om. L.

Clinch. 70-71.

38 εἶναι τὸ μεταξὺ διάστημα τοῖν δυοῖν ὀστοῖν σιγμαοειδές. — Ἐν ᾧ διαστήματι ὁ ἀστράγαλος ἔγκειται, οὗ καὶ ἐπιβέβηκε τῷ αὐτῷ κατὰ τὸ τέτρωρον· ἀλλὰ ὁ χῖος καὶ τὸ ἓξ ϖαράκειται τῇ τῆς κνήμης καὶ [τῇ] τῆς ϖερόνης ἀποφύσει· τὸ δὲ ἐπιτριῶν ἐπιβέβηκε τῷ ὑποτεταγμένῳ αὐτῷ ὀστῷ τῆς δὲ ϖτέρνης λεγομένῳ, ὡς ϖρὸς ταῖς τῆς ϖτέρνης κοιλότησιν ἀντικατακλείεσθαι τὰς τοῦ ἐπιτριῶν ἀνωμαλίας, καὶ συνδεῖσθαι χόνδρου ϖεριφύσει· τὸ δὲ ἔμπροσθεν αὐτοῦ σφαιροειδὲς μέρος [συνήρμοσται] κοιλότητι ἑνὸς ὀστοῦ τῶν τοῦ
71 39 ταρσοῦ λεγομένου διὰ τὴν κοι|λότητα σκαφοειδοῦς. Ὀκτὼ δὲ τὸν ἀριθμὸν ὀστάρια τὸν ταρσὸν ἀποτελοῦνται ταῖς γωνίαις ὄντα ἀνώ-
40 μαλα. Μετὰ δὲ τὸν ταρσὸν ὑπόκειται τὸ ϖεδίον ἔχον ὀστᾶ ϖέντε, λεπτὰ μὲν κατὰ μεσότητας, ϖαχύτερα δὲ κατὰ τὰ ἄκρα, ἀγόμενα

38 deux os un intervalle en forme de sigma (*mortaise articulaire*). — Dans cet intervalle est logé l'*astragale;* c'est par la surface appelée *l'attelage à quatre* (*face supérieure articulaire*) qu'il repose dans cet intervalle; tandis qu'il est en connexion par l'*as* et par le *six* (*faces latérales* ou *malléolaires*) avec les apophyses latérales du tibia et du péroné; par le *trois*, il est en rapport avec l'os placé au-dessous et nommé l'*os du pterné* (*calcaneum*), de sorte que les inégalités de la surface du *trois* sont enfermées dans les cavités du calcanéum, et qu'elles sont soudées par un cartilage. La partie antérieure sphéroïdale (*tête de l'astragale*) s'emboîte (*face scaphoïdienne*) dans la cavité d'un des os du tarse qu'on nomme *os en forme de barque*
39 (*scaphoïde*). La *claie* (*tarse*) se compose de huit osselets (voy. notes) à
40 angles inégaux. Après le tarse vient le *champ* (*métatarse*), qui se compose de cinq os, minces au centre, plus épais à leur extrémité, voûtés à leur face supérieure, de sorte que cette face paraît concave quand on la re-

1. ὀστέων L. — Ib. σιγματοειδές ex em.; σιγματοειδῶς L Cl. — 2-6. οὗ καὶ ἐπιβέβηκε..... ἀνωμαλίας ex em.; ἐπιβεβηκότων αὐτῷ (ἐπιβέβηκε τὸ Cl.) κατὰ τὸ τέτρωον (ἐπιτριῶν Cl.), ἀλλάχιον καὶ τὸ ἓξ ϖαράκειται τῇ τῆς κνήμης καὶ τῆς ϖερόνης ἀποφυῇ (ἀποφύσει Cl.), τὸ δὲ ἐπιτριῶν ἐπιβέβηκεν τῷ ἐπιτεταγμένῳ αὐτῇ ὀστέῳ τῆς δὲ ϖερόνης λεγομένῳ κυβοειδῆ (— δεῖ Cl.) ϖρὸς ταῖς κοιλότησιν ὡς ἀντικατακλείεσθαι τὰς τοῦ ἐπιτρίου ἀνωμαλίας L Cl. — 8. [συνήρμοσται] ex em.; om. L Cl. — 9. σκαφοειδοῦς ex em.; τοῦ σκαφ. L Cl. — 9-10. ὀστάρια ex em.; ὀστρακίδια Cl.; ὀσταρείδια L. — 10. ἀποτελοῦνται ex em.; ἀποτελοῦντα L Cl. — Ib. τῶν ταρσῶν L. — 12. τὰς ἄκρας Cl.

Clinch. 71.

δὲ κατὰ τὸν ἄνω τύπον, ὅθεν ἐκ τῶν ὑποκειμένων κοῖλα ὁρᾶται. Ἑξῆς δὲ τούτων αἱ τῶν δακτύλων σκυταλίδες καθάπερ καὶ χειρός. 41

Ἀποδέδοται ἡμῖν κατὰ τὸ ἐνδεχόμενον καὶ ἡ τῶν ὀστῶν θέσις. 42

garde en dessous. Aux os du tarse font suite les *petits bâtons* (*phalanges*, 41
phalangines et *phalangettes*) des doigts, comme à la main.

Nous venons d'étudier aussi bien qu'il nous était possible la position 42
de chacun des os.

ΡΟΥΦΟΥ ΤΟΥ ΕΦΕΣΙΟΥ

ΙΑΤΡΙΚΑ ΕΡΩΤΗΜΑΤΑ.

1 Ἐρωτήματα χρὴ τὸν νοσοῦντα ἐρωτᾶν· ἐξ ὧν ἂν καὶ διαγνωσθείη τι τῶν περὶ τὴν νόσον ἀκριβέστερον, καὶ θεραπευθείη κάλ-
2 λιον. Πρῶτον δὲ ἐκεῖνο ὑποτίθημι τὰς πεύσεις αὐτοῦ τοῦ νοσοῦντος ποιεῖσθαι· μάθοις γὰρ ἂν ἐνθένδε ὅσα τε κατὰ γνώμην νοσεῖ ἢ ὑγιαίνει ὁ ἄνθρωπος, καὶ ῥώμην αὐτοῦ καὶ ἀσθένειαν, καί τινα ἰδέαν νόσου, καὶ τίνα τόπου πεπονηκότος· εἰ μὲν γὰρ ἐφεξῆς τε ἀποκρίνοιτο, καὶ μνημονικῶς, καὶ τὰ εἰκότα, καὶ μηδαμῇ σφαλλόμενος μήτε τῇ γλώττῃ μήτε τῇ γνώμῃ, καὶ εἰ κατὰ ὁρμὴν τὴν οἰκείαν, εἰ μέν ἐστιν ἄλλως κόσμιος, πράως καὶ κοσμίως, εἰ δὲ αὖ

RUFUS D'ÉPHÈSE.

DE L'INTERROGATOIRE DES MALADES.

1 Il faut faire des questions au malade; car, à l'aide de ces questions, on connaîtra plus exactement quelques-unes des choses qui concernent
2 la maladie, et on la traitera mieux. Je veux d'abord qu'on commence par interroger le malade lui-même; en effet, on apprendra ainsi jusqu'à quel point son esprit est sain ou troublé, et quel est le degré de force ou de faiblesse du patient; on aura une certaine notion de la maladie et du lieu affecté; en effet, si le malade répond d'une manière suivie, avec une mémoire fidèle, et des choses convenables, sans faillir en aucune façon, ni de la langue, ni de l'intelligence, et s'il suit sa propre inclination, c'est-à-dire, si, étant bien élevé, il répond doucement et poliment, ou si, au contraire, étant de sa nature hardi ou timide, il répond avec har-

1. ἐξ ὧν] ἐρῶν Codd. — 7. ὑποκρ. Codd.; it. p. 197, l. 4. — Ib. οἰκότα Codd. — 9. εἰ μὲν] ἤμενον M. — Ib. ὁ δὲ αὖ Codd.

φύσει θρασὺς ἢ δειλὸς, θρασέως ἢ δεδοικότως, τοῦτον μὲν χρὴ νομίζειν τὰ γοῦν κατὰ γνώμην καλῶς ἔχειν· εἰ δὲ καὶ ἄλλα σὺ μὲν ἐρωτᾷς, ὁ δὲ ἄλλα ἀποκρίνοιτο, καὶ εἰ μεταξὺ λέγων ἐπιλανθάνοιτο, αἱ δὲ αὖ τρομώδεις καὶ ἀσαφεῖς γλῶσσαι καὶ αἱ μεταστάσεις ἀπὸ τοῦ ἀρχαίου τρόπου πρὸς τὸ ἐναντίον, πάντα ταῦτα παρακρουστικά. Καὶ κώφωσιν δὲ τοῦ κάμνοντος οὕτω τι σημαίνεσθαι· χρὴ δὲ εἰ μὴ ἀκούοι προσανερωτᾷν τοὺς παρόντας, ἆρά γε καὶ πρόσθεν ὑπόκωφος ἦν, ἢ διὰ τὴν παροῦσαν νόσον· τοῦτο γὰρ πρὸς τὴν διάγνωσιν μέγα δύναται. Ῥώμην δὲ καὶ ἀσθένειαν τοῦ κάμνοντος καταμάθοις ἂν ἢν ὁ μέν τις ἱκανὸς τῷ φθέγματι καὶ ἐφεξῆς λέγῃ τὰ συμβεβηκότα, ὁ δὲ οἷα ἀναπαύων τε πολλάκις, καὶ λεπτῇ τῇ φωνῇ· νοσήματος δὲ ἰδέαν, καί τινων..... κατὰ θώρακα καὶ περὶ πνεύμονα εἰθισμένων γίγνεσθαι· τὰ μὲν γὰρ μελαγχολικὰ διασημαίνει θρασύτης τε καὶ ἄκαιρος λύπη· μάλιστα δὲ [ὁ] ἄνθρωπος

diesse ou timidité, tenez un tel homme pour avoir au moins l'esprit en bon état; mais, si vous demandez une chose au malade et s'il vous en répond une autre; si, tout en parlant, il oublie ce qu'il a à dire; si la langue est tremblante et mal assurée, s'il y a des changements brusques de l'ancien état à un état opposé, tout cela est signe de délire. En interrogeant le malade on reconnaîtra aussi la surdité; lorsque le malade n'entend pas, on demandera aux assistants s'il était déjà un peu sourd, ou s'il l'est devenu par suite de la maladie, car cela a une grande importance pour la diagnose. Vous apprécierez la force ou la faiblesse, si le malade est capable de parler et dit d'une manière suivie ce qui lui est arrivé, ou si, au contraire, il n'articule qu'en se reposant souvent et d'une voix faible; par l'interrogation, on prendra aussi une idée de la maladie et de certains phénomènes qui ont coutume de se passer... et du côté de la poitrine ou du poumon : en effet, des manières hardies ou une tristesse intempestive dénotent une affection mélancolique; c'est surtout

1. δεδοικώς Codd. — 2. καλῶς e conj.; πράως Codd. — 2-3. ἄλλα σὺ μὲν ἐρωτᾷς ὁ δέ om. V. — 3. ὁ δέ] ὁ δέον Codd. — 4. αἱ δέ τρ. Codd. — Ib. ἀσαφεῖς e conj.; ἀσφαλ. Codd. Voy. p. 197, l. 4-5. An οὐκ ἀσφαλεῖς? — 5. ἀπό] ἐπί Codd. — 6. σημαίνεται Codd. — 7. ἀκούειν Codd. — 10. λέγει Codd. — 12-13. νοσήματος δὲ ἰδέαν ἄνευ μελαγχολίας, βράγχωσις, γλώττης παραπληξίας καί τινων κ. θώρακα Codd. Voy. notes. — 14. [ὁ] om. Codd.

καταφανής ἐστι καὶ θαῤῥῶν καὶ ἀνιώμενος οἷς λέγει, καταφανὴς δὲ
καὶ ἑτέρως ἐστίν· ἀλλὰ καὶ ἥδε ἡ ϖεῖρα εἴ τῳ ϖροσγένοιτο, σα-
5 φῶς ἂν ἤδη διαγινώσκοιτο ἡ νόσος. Καὶ ληθάργῳ δέ τις καθέξεσθαι
μέλλων δῆλός ἐστιν ἀποκρινόμενος λήθῃ τε ὧν λέγει καὶ ἀσαφείᾳ
6 γλώττης. Οὕτω μὲν οὖν ἐν ϖυρετοῖς· ἄνευ δε τούτων σπασμοὺς καὶ
7 ἐπιληψίας ϖροσδοκᾷν. Ὅλως δὲ εἰ σύμπαντα τοῦ ϖαρακρουστικοῦ
τρόπου ἐστὶν, ἐνθένδε ἄν τις ῥᾷον ἢ ἄλλως καταμανθάνοι· τὰ δὲ κατὰ
θώρακα καὶ ὀξύτητι φωνῆς καὶ τραχύτητι· τῷ μὲν γὰρ φθίνοντι
καὶ ὀρθοπνοϊκῷ ὀξεῖα ἡ φωνή, τῷ δὲ ἐμπύῳ καὶ τῷ βραγχώδει καὶ
8 τῷ ὑπὸ κατάῤῥου ϖιεζομένῳ τραχυτέρα. Οἱ δὲ τῇ γλώσσῃ ϖαρα-
9 πληκτικοὶ ϖαντελῶς ἄφωνοί εἰσιν. Πρῶτον μὲν δὴ, ὡς εἴρηται,
αὐτόν τινα χρὴ τὸν νοσοῦντα ἐρωτᾷν ϖερὶ ὧν χρὴ εἰδέναι, ἔπειτα
δὲ καὶ τοὺς ϖαρόντας, εἰ κωλύματα εἴη ϖαρὰ τοῦ νοσοῦντος μανθά-
10 νειν. Τὰ δὲ κωλύματα ἐστὶν, ἢ σφοδρῶς ϖαρακρούων τις ἢ ἀπό-

dans ses paroles que se révèlent la hardiesse ou la tristesse d'un indi-
vidu; mais ces états ne se manifestent pas moins dans d'autres circons-
tances; toutefois, si le médecin a déjà l'expérience d'un pareil état,
5 la maladie lui sera clairement révélée. Celui qui doit être pris de lé-
thargus se laisse deviner à ces signes : il oublie ce qu'il dit, et sa
6 langue n'articule pas distinctement. C'est ainsi que les choses se passent
dans les fièvres; mais, quand il n'y a point de fièvre, il faut s'attendre
7 aux spasmes et à l'épilepsie. En général, on constate aisément, en
partant de ces données ou par une autre voie, si tous ces signes ap-
partiennent au genre délire; quant à l'état de la poitrine, il se révèle
par l'acuité et la rudesse de la voix; en effet, dans la phthisie et dans
l'orthopnée la voix est aiguë, tandis qu'elle est plus rude dans l'em-
pyème, dans l'enrouement, et chez celui qui est en proie à un catarrhe.
8 Les personnes qui ont la langue paralysée sont complétement aphones.
9 Donc le médecin, comme il a été dit, interrogera d'abord le malade
sur certaines choses nécessaires à savoir; ensuite il questionnera les as-
10 sistants, s'il ne peut pas apprendre ces choses du malade lui-même. Les
empêchements sont : un délire violent, l'apoplexie, le léthargus, la ca-

2. ἤδη Codd. — Ib. εἴ τῳ] αὐτῷ ϖαρακρ. Codd. — 7. καταμανθάνειν Codd. — 6. Ὅλως δὴ σύμπαντα τὰ τοῦ Codd. — 8. τὸ μέν Codd.

πληκτος, ἢ ληθαργικὸς, ἢ κάτοχος, ἢ ἄφωνος, ἢ ἄλλως ἠλίθιος, ἢ ἀσθενὴς παντάπασιν, ἢ ὡς συμφέρον ὅτι ἥκιστα φθέγγεσθαι, ὥσπερ τῷ ἐκ πνεύμονος αἱμορροχόῳ· καὶ ὑπὲρ παιδίου καὶ ἄλλον ἐρωτητέον, καὶ ὑπὲρ τοῦ ἄγαν πρεσβύτου, καὶ ὑπὲρ τοῦ μὴ ὁμογλώσσου τὸν ὁμόγλωσσον.

Ἐρωτητέον δὲ πρῶτον μὲν τὸν χρόνον ἀπὸ οὗ νοσεῖν ἤρξατο· 11 καὶ γὰρ πρὸς τὴν ἴασιν συμφέρει, καὶ πρὸς τὴν τῶν κρισίμων διάγνωσιν· ἐξαρκοῖ γὰρ ἂν εἰς τὸ τὰς περιόδους αὐτῶν φυλάσσειν. Καὶ μὲν δὴ [καὶ] πρὸς τὴν ὅλην διάγνωσιν τῆς νόσου μέγα ὄφελος 12 τὸν πρῶτον χρόνον εἰδέναι· τὰ γὰρ αὐτὰ συμπτώματα ἐπὶ τοῖς ἀνιδρύτοις χρόνοις σημαίνουσιν ἄλλα, οἷον ἴκτερος πρὸ μὲν τῆς ϛ′ καὶ τῆς ζ′ ἐπιφανεὶς πυρετῷ, κακός· μετὰ τοῦτο δὲ ἤδη κρίσιμος· καὶ οὖρα καὶ διαχωρήματα κατὰ ἀρχὰς μὲν ὑδατώδη καὶ ὠμὰ ἧσσον κακόν· προεληλυθόσι δὲ ὑποπτότερον· ὡς ἀπὸ τῶν ῥινῶν στάξεις

toché, l'aphonie, ou encore un état de stupidité, une faiblesse radicale, la nécessité reconnue de garder le silence, ainsi que cela a lieu dans l'hémorragie du poumon; on doit aussi recourir aux assistants quand il s'agit d'un petit enfant ou d'un individu très-vieux; enfin, quand on ne parle pas la même langue que le malade, on se sert d'un interprète.

D'abord on s'informera de l'époque où a commencé la maladie; car 11 cela importe pour le traitement et pour la connaissance des jours critiques; cela suffirait à surveiller le retour périodique de ces jours. Savoir 12 le jour précis où la maladie a débuté est aussi d'un grand secours pour toute la diagnose de la maladie, car les mêmes symptômes, apparaissant à des époques non fixes, ne présagent pas les mêmes choses; par exemple l'ictère, survenant dans la fièvre avant le sixième ou le septième jour, est mauvais; plus tard, il est déjà critique; au début, les urines et les selles aqueuses et crues sont moins mauvaises; plus tard, elles sont plus suspectes; de même, les épistaxis survenant au quatrième jour et simples (*modérées?*) sont fâcheuses; au quatrième jour, les hé-

3. αἱμορρόχῳ M; μορρόχῳ V. — 4. μή om. V. — 4-5. ὁμογλωσσεῖν M; ὁμογλωσσῶν V. — 8. ἐξαρκεῖ Codd. (ει, seu ειν, seu η pro οι fere semper). — 9. ἐν πρός codd. — 10-11. ἀνιδρύοις codd. — 12. κρίσιμα codd.

χαλεπαὶ αἱ τεταρταῖαι καὶ ἁπλαῖ· λάϐροι δὲ αἱμοῤῥαγίαι τεταρταῖαι
13 *δύσκριτοι, καίτοι ὕστερον κρίνουσαι.* Ταῦτα *δὴ μαθήσῃ τὴν πρώ-*
την ἡμέραν ἐν ᾗ νοσεῖν ἤρξατο ἐρόμενος, καὶ ὀξύτητα καὶ μέγεθος
νόσου, εἰ τὰ μὲν ταχέως καὶ ἀθρόως φαίνοιτο τῶν δεινῶν προεκ-
ρηγνύμενα, τὰ δὲ σχολῇ τε καὶ ἐν χρόνῳ· καὶ περιόδῳ δὲ ὡσαύ-
τως μαθήσῃ καὶ εἰ εὐθὺς τεταγμένως παροξύνει ἡ νόσος, ἢ κατὰ μὲν
ἀρχὰς ἀτάκτως, ὕστερον [δὲ] εἰς τάξιν τινὰ ἱδρύεται· καὶ τριταίου
δὲ λύσιν καί τινων ἄλλων νοσημάτων μεταϐολήν τε καὶ ἀσφάλειαν
14 *μαθήσῃ ἐνθένδε.* Τ*ὴν μὲν οὖν ἀρχὴν τῆς νόσου ὁπηνίκα ὁ ἄνθρωπος*
15 *νοσεῖν ἤρξατο εἰς τοσαῦτα φημὶ χρηστῶς ἂν ἐρωτηθῆναι.* — Τ*ὸ*
δὲ μετὰ τοῦτο ἐρωτητέον εἰ τῶν συνήθων τι τῷ ἀνθρώπῳ νοσημάτων
ἐστὶ τὸ νῦν συμϐεϐηκὸς, ἢ οὐ καὶ πρότερον γεγενημένον· πολλοὶ
γὰρ τοὐπίπαν ὑπὸ τῶν αὐτῶν ἁλίσκονται καὶ πάσχουσι δὴ τὰ
αὐτὰ καὶ θεραπεύονται ὡσαύτως· ἅπερ ἂν καὶ δείσαι ὁ ἰατρὸς [ὡς]
χαλεπώτατα διακωλῦσαι καὶ ὡς οὔτε προσφόρως θεραπευόμενα,

morragies abondantes sont difficiles à juger (*impropres à juger?*); ce-
13 pendant, plus tard, elles sont critiques. Vous saurez également ces choses
en demandant quel jour a commencé la maladie; vous serez renseigné sur
l'acuité et la grandeur de la maladie, si les phénomènes fâcheux éclatent
rapidement et tous ensemble, ou si, au contraire, ils arrivent lentement
et successivement; par ce que vous saurez d'une période vous reconnaî-
trez si la maladie redouble, dès le début, d'une façon régulière, ou si,
d'abord irrégulière, elle s'affermit dans un certain ordre; par là encore,
vous connaîtrez d'avance la solution de la fièvre tierce, la transforma-
14 tion ou l'innocuité de certaines autres maladies. Je dis donc qu'il est
utile, pour toutes ces choses, de s'informer du moment précis où a com-
15 mencé la maladie. — Après cela, on demandera si le mal qu'on a sous
les yeux est de ceux qui sont habituels à la personne que l'on soigne,
ou si c'est la première fois qu'elle en est atteinte; car, en général,
beaucoup d'individus sont repris des mêmes maladies, éprouvent les
mêmes souffrances et réclament le même traitement; le médecin pour-

7. [*δέ*] om. Codd. — 8. *δέ*] *καί* V. — Ib. *μεταϐολῆς δὲ* (*τε* M) *καὶ ἀσφαλείας* Codd. — 10. *ἄν*] *ἐν* Codd. — 11. *τῶν ἀνθρώπων* Codd. — 12. *πολλά* M. — 14-15. *ἰατρὸς χαλεπώτατα καὶ διακωλῦσαι ὡς* Codd.

[οὔτε ἐπιτηδείως· ἀλλὰ εὑρίσκονται] οὔτε χαλεπὰ τούτῳ [γε] τῷ
ἀνθρώπῳ ὄντα, οὔτε ἀνεπιτηδείως τῇ παρούσῃ νόσῳ θεραπευό-
μενα· μέγιστον γὰρ ἐν ἅπασιν ἐθισμὸς πρός τε τὸ ῥᾷον τῶν
δεινῶν ἀνασχέσθαι καὶ πρὸς τὴν ἴασιν. Διό μοι δοκῶ καλῶς ἄν 16
τινα καὶ φύσιν τὴν ἑκάστου πρὸς ἕκαστα ἐρωτῆσαι· οὐ γὰρ πάν-
τες πεφύκαμεν τρόπῳ τῷ αὐτῷ, ἀλλὰ καὶ πάνυ ἀλλήλων δια-
φέρομεν εἰς ὁτιοῦν χρῆμα· τοῦτο μὲν γὰρ εἰ ἐθέλοις σκοπεῖσθαι
ὅπως πρὸς τὰς πέψεις ἔχει, εὑρήσεις ἕτερα ἑτέροις καὶ εὔπεπτα
ὄντα καὶ δύσπεπτα· τοῦτο δὲ τὰ φάρμακα ὅσα πίνουσι καθάρσεως
ἕνεκα, καὶ οὐρούμενα, ἄλλα ἄλλοις· τὰ δὲ καὶ εἰς ἔμετον ὁρμῶντα
τῶν κατωτερικῶν, τὰ δὲ καὶ κάτω ὑπιόντα τῶν ἀνωτερικῶν· ὅλως
δὲ οὐδὲν τῶν τοιούτων καθεστηκὸς, ὥστε εἰς ἕνα ἐλθεῖν λόγον τῷ
ἰατρῷ. Χρὴ οὖν καὶ παρὰ τοῦ κάμνοντος μανθάνειν ὅπως πρὸς 17
ἕκαστον διάκειται ἢ πόμα, ἢ σιτίον· καὶ εἰ δὴ τινὸς φαρμάκου
πεῖραν ἔχοι σαφῆ, μηδὲ ταύτην παραλιπεῖν· οὕτως γὰρ ἄν τις τὰ

rait redouter, comme très-difficiles à combattre et comme ne devant pas
être traités avantageusement ni opportunément, des accidents qui ce-
pendant ne sont pas fâcheux pour tel individu, et dont il n'est pas, dans
la maladie présente, inopportun d'entreprendre la cure; car, chez tout le
monde, l'habitude est d'un grand secours pour supporter les accidents
terribles et pour arriver à la guérison. Je tiens donc pour très-bon de 16
s'informer quelle est, pour toutes choses, la nature de chacun, attendu
que nous ne sommes pas tous formés de la même manière, mais que
nous différons beaucoup les uns des autres pour n'importe quelle chose;
en effet, à considérer ce qui regarde la digestion, on trouvera que les
mêmes substances sont bien digérées par les uns, et mal par les autres;
de même pour les médicaments : ceux qu'on prend en vue de se purger
ou de pousser aux urines ne se comportent pas semblablement chez tous
les malades; tantôt les purgatifs font vomir, et tantôt les vomitifs évacuent
par le bas; en un mot, aucune de ces substances n'a une propriété tel-
lement constante, que le médecin puisse les ranger dans des catégories
toujours identiques. Sachez par les malades quel est, pour chacun d'eux, 17
l'effet des aliments et des boissons; et, s'ils ont l'expérience manifeste

1. [οὔτε.... εὑρ.] om. Codd. — Ib. [γε] om. Codd. — 10. ἔμετα Codd.

πολλὰ ἐπιτυγχάνοι, εἰ πύθοιτο καὶ τοῦ κάμνοντος ἐπὶ τοῖς ἀτόπως
18 *αὐτῷ συμβαίνουσιν. Τὸ δὲ σύμπαν ἐρωτάτω ἆρά γε εὔσιτος ἢ ἀπό-*
σιτός ἐσῖι καὶ διψώδης ἢ ἄδιψος, καὶ τοὺς ἐπὶ ἑκάσῖοις ἐθισμούς·
μέγα γὰρ καὶ τόδε οὐχ ἧσσον τῆς Φύσεως καὶ τῶν ἐθισμῶν ἔμπει-
ρον εἶναι· καὶ γὰρ σιτίον τὸ σύνηθες ἀλυπότερον προσαίρονται τοῦ
ἄλλως ἂν δόξαντος εἶναι βελτίσῖου· καὶ ᾧ δὴ τρόπῳ μεμελετήκασιν
19 *αὐτὸ λαμβάνειν, καὶ πλῆθος καὶ σκευασίαν. Καὶ τὰ συνήθη πάντα*
20 *ἀμείνω καὶ τῷ νοσοῦντι καὶ τῷ ὑγιαίνοντι. Καὶ προγνωσθείη δὲ*
ἄν τι ἀκριβέσῖερον ἐκ τῶν ἐθισμῶν περί τε κρίσιν τοῦ ἀνθρώ-
που, καὶ διάλεξιν καὶ ῥαθυμίαν καὶ ἥντιναοῦν ἄλλην ἐνέργειαν·
τὰ γὰρ ὑγιαίνοντι διὰ ἔθους οὐδὲν ἐν ταῖς νόσοις ἐπίσημον δη-
21 *λοῖ. Καὶ τούτων οὐκ ἔσῖιν ὅ τι παρὰ ἑαυτοῦ δύναιτο ἂν μαθεῖν ὁ*
ἰατρὸς εἰ μὴ πυνθάνοιτο ἢ τοῦ νοσοῦντος ἢ ἑτέρου τινὸς τῶν πα-

de quelque médicament, cette expérience n'est pas non plus à négliger;
en effet, on réussira le plus souvent dans le traitement, si on s'enquiert
18 auprès du malade de ce qui lui arrive d'une façon extraordinaire. En
somme, il faut demander au malade s'il a ou non bon appétit, s'il est ou
non altéré, et s'informer de ses habitudes pour chaque chose; car il n'im-
porte pas moins au médecin d'être versé dans la connaissance des habi-
tudes que dans celle de la nature de chacun; en effet, l'aliment habituel
est moins susceptible de nuire que l'aliment inaccoutumé qui d'ailleurs
paraîtrait de la meilleure qualité; il faut tenir compte aussi de la manière
dont on a coutume de le prendre, de la quantité et du mode de prépa-
19 ration. Tout ce qui est habituel est préférable pour le malade comme
20 pour celui qui est bien portant. La connaissance des habitudes permet
de tirer un pronostic plus exact en ce qui touche le discernement du ma-
lade, le genre de sa conversation, son état de bien-être, et toute autre
de ses facultés; en effet les phénomènes habituels dans l'état de santé
21 ne fournissent aucun signe pour les maladies. — Il n'est pas possible
au médecin de savoir ces choses par lui-même, et s'il n'interroge soit

6. *καὶ ἐν ᾧ δή τρόπῳ* Codd. — 9. *τις* Codd. — Ib. *κρίσιν καὶ κλίσιν τοῦ* Codd. — 11. *ὑγιαίνοντα* Codd. — Ib. *ἐπίσημα* Codd. — 12. *Καί* om. V. — Ib. *τούτοις* Codd. — Ib. *αὐτοῦ* Codd. et sic fere semper.

ρόντων· ὥσ7ε ἔγωγε θαυμάζω Καλλιμάχου τοῦ ἰατροῦ ὃς μόνος τῶν
ἔμπροσθεν ὧν γε δὴ καὶ λόγον ἄν τις ποιήσαιτο, οὐκ ἔφασκε δεῖν
ἐρωτᾷν οὐδὲν, οὔτε περὶ τὰς ἄλλας νόσους, οὔτε περὶ τὰ τραύματα,
καὶ μάλισ7α τὰ τῆς κεφαλῆς· ἀρκεῖν γὰρ καὶ τὰ ἐπὶ ἑκάσ7ῳ σημεῖα,
τό τε πάθος σημῆναι καὶ τὴν αἰτίαν αὐτοῦ, ἐξ ὧν καὶ προγινώ-
σκεσθαι πάντα καὶ θεραπεύεσθαι ἄμεινον· ἐπεὶ μηδὲ τὰς ἡγουμέ-
νας προφάσεις τῶν νόσων ἀναγκαίως ἐρωτᾶσθαι, οἷον διαίτης τε
ἀγωγὴν καὶ τὰ ἄλλα ἐπιτηδεύματα, καὶ εἰ κοπιάσαντι συνέβη νοσῆ-
σαι, καὶ εἰ ψυγέντι· μηδὲν γὰρ ἂν τούτων μαθεῖν τὸν ἰατρὸν εἰ τὰ
σημεῖα ἀκριβῶς ἐκμελετήσαι τὰ συμπίπ7οντα ταῖς νόσοις. Ἐγὼ 22
δὲ ἡγοῦμαι μὲν καὶ παρὰ ἑαυτοῦ δύνασθαί τινα πολλὰ τῶν ἐν ταῖς
νόσοις ἐξευρίσκειν, κάλλιον δέ γε καὶ σαφέσ7ερον τοῖς ἐρωτήμα-
σιν· εἰ γὰρ ταῦτα ὁμολογεῖ τοῖς συμπ7ώμασι, ῥᾷον τὰ παρόντα
εἰδέναι· τοῦτο μὲν γὰρ εἰ φαίη ὁ νοσῶν τὴν δίαιταν, οἵα ἦν ἔμ-

le malade, soit quelqu'un de ceux qui l'assistent; aussi j'admire Callimaque d'avoir, seul de tous les médecins qui nous ont précédé et dont on puisse tenir compte, soutenu qu'il ne fallait faire aucune espèce d'interrogation, ni pour une maladie quelconque, ni pour les blessures, ni surtout pour les plaies de tête, attendu que les signes suffisent, dans chaque cas, pour révéler à la fois la nature de la maladie et sa cause, nature et cause qui prévalent pour asseoir le pronostic et diriger le traitement; il ne lui semble même pas nécessaire ni qu'on interroge sur les causes premières qui précèdent les maladies, par exemple sur la manière de vivre et sur les occupations habituelles, ni qu'on s'enquière si le mal vient de fatigue ou de refroidissement; il prétend, en effet, que le médecin n'a rien à apprendre de toutes ces choses, s'il étudie
avec soin les symptômes qui se révèlent dans les maladies. Je pense que 22
le médecin peut par lui-même découvrir beaucoup de choses dans les maladies; mais il s'instruira mieux et plus sagement en interrogeant, car, si le résultat de ses interrogations concorde avec sa propre observation des symptômes, il lui sera plus facile d'apprécier la condition présente; par exemple, si le malade avoue qu'il a dépassé, soit en boissons, soit en

7. τῷ νόσῳ καὶ ἀναγ. Codd. — 9-10. μάθοι Codd. — 11. καὶ παρά] ὅπερ V. καὶ εἰ ψυγ...... ἐκμελετ. om. V. — 9. — 12. ἐν τοῖς Codd.

προσθεν, ὑπερβεβληκέναι σίτου καὶ ποτοῦ προσφορᾷ, πάσχει δὲ οἷα εἰκὸς ἐπὶ πλησμονῆς, σαφῶς ἂν γινώσκοιμεν ὅτι πλησμονή ἐστιν ἡ νόσος, καὶ πρὸς τοῦτο ἐξευρίσκοιμεν ἂν τὴν ὅλην ἴασιν· τοῦτο δὲ εἰ πονῆσαι μὲν πολλὰ φαίη, πάσχει δὲ οἷα εἰκὸς τὸν πονήσαντα, καὶ ἐνθένδε εὐπετέστερον τήν τε νόσον, ὅτι κόπος ἐστὶν
23 *εἰσόμεθα, καὶ τὴν ἐοικυῖαν τῷ κόπῳ θεραπείαν προσάξομεν. Καὶ τὰ μὲν τοιαῦτα ἔχει τινὰ καὶ παρὰ τῶν συμπτωμάτων ἔνδειξιν τοῦ γινώσκεσθαι· χρόνον δὲ τῆς νόσου, καὶ ἐθισμὸν τὸν πρὸς ἕκαστα, καὶ φύσιν τὴν ἑκάστου ἐξαίρετον, ταῦτα οὔ μοι δοκεῖ γνῶναί τις μὴ ἐρωτήσας, καὶ εἶναι παντὸς ἄλλου καιριώτερον τῇ τέχνῃ εἰδέναι. —*
24 *Καὶ μὲν δὴ ἑτέρα τῶν νοσημάτων ἡ διάγνωσις ἐπὶ τοῖς ἔνδοθεν καὶ τοῖς ἔξωθεν συνισταμένοις· καί πως δοκεῖ χαλεπώτερον εἶναι [ἢ] τῶν ἔνδοθεν ἢ τῶν ἔξωθεν· καὶ γὰρ εἰ τρέμοι ὁ ἄνθρωπος, τὸ μὲν διὰ ψῦχος ἢ φόβον τρέμειν, δεινὸν ἧσσον, τὸ δὲ ὑπὸ τῆς εἴσω αἰτίας,*

aliments, sa mesure habituelle, et qu'il éprouve ce qu'il est naturel d'éprouver dans une réplétion, nous reconnaîtrons clairement que la maladie est une réplétion, et, de plus, nous trouverons tous les moyens de la guérir; ou, si le malade déclare qu'il a eu beaucoup de fatigue, et si les souffrances sont en rapport avec celles que cause la fatigue, nous serons plus aisément en mesure de reconnaître une maladie provenant
23 de la fatigue, et d'appliquer le traitement convenable à cet état. Certaines de ces choses-là, on pourrait les apprendre aussi par l'observation des symptômes; mais quant à savoir le moment où a commencé la maladie, quelles sont toutes les diverses habitudes du malade, et quelle est sa nature particulière, on ne peut pas le savoir sans le demander, et, à mon avis, il est de la première importance pour l'art de le savoir. —
24 La diagnose d'une maladie est différente suivant qu'elle vient de causes intérieures ou de causes extérieures; les causes internes semblent produire des affections, en quelque sorte, plus fâcheuses que les causes externes : ainsi, qu'un homme tremble, le tremblement produit par le froid ou par la crainte est moins fâcheux que le tremblement qui résulte de l'action de quelque cause intérieure; si quelqu'un est pris de délire,

2. *φλεγμονῆς* et *φλεγμονή* Codd. — 7. *τοιαῦτα ἔχει· ἔχει τινά* Codd. — 11-12. *ἑτέρου* et *συνισταμένου* Codd. — 12. [*ἢ*] om. Codd. — 13. *εἰ*] *οὐ* V.

χαλεπώτερον· καὶ εἰ παραφρονοίη, τὸ μὲν ἐπὶ μέθῃ καὶ φαρμάκῳ
τινὶ παρακρουστικῷ εὐιατότερον, τὸ δὲ ἄλλως, δυσχερέστερον.
Οὕτω δὲ ἐπὶ πάντων εὑρήσεις καὶ τὸν τρόπον τῆς θεραπείας οὐδὲν 25
ἐοικότα· κόπων γὰρ δὴ γινομένων, τῶν μὲν διὰ πολλὴν ταλαιπωρίαν, τῶν δὲ ὑπὸ πλησμονῆς, τοῖς μὲν οὖν συμφέρει ἀνάπαυσις, καὶ
ὕπνος, καὶ τρίψις μαλακὴ, καὶ λουτρὰ θερμὰ, τοῖς δὲ πόνος καὶ
ἐγρήγορσις, καὶ ἡ ἄλλη κένωσις πᾶσα. — Εἰς τοσόνδε διαφέρει 26
τῷ ἰατρῷ καὶ τὰς αἰτίας ἀνερωτᾷν, καὶ οὐκ ἔστιν εἰδέναι μὴ ἐρωτήσαντα, ὥστε καὶ ἐπὶ τῶν σημείων ἐρωτητέον, εἰ μέν τι πελιδνὸν
εἴη, μὴ διὰ πληγὴν ἢ διὰ ἡλικίαν, ἢ διὰ ὥραν ἔτους· τὰ γὰρ ἄλλως
ἐν πυρετοῖς πελιδνὰ θάνατον σημαίνει· εἰ δὲ γλῶσσα ξηρὰ, μὴ δεδιψηκότι ἢ ἰσχυρῶς διακεχωρηκότι, καὶ εἰ μέλαινα, μή τι μέλαν ἐδηδοκότι· οὐ γὰρ ἂν εἴη τὰ τοιάδε ὕποπτα. — Ὡσαύτως δὲ καὶ περὶ 27
τῶν ἐκκρινομένων ἐν ταῖς νόσοις ἐρωτάτω, οὔρων τε καὶ διαχωρη-

il guérira plus vite lorsque c'est à la suite d'ivresse ou de l'ingestion de quelque médicament qui dérange l'esprit; mais le mal sera plus rebelle, si c'est à une autre cause que tient ce délire. De cette façon, vous 25
trouverez que le traitement diffère pour tous les cas; en effet, comme la fatigue est causée chez les uns par un excès de travail, chez les autres par la réplétion, aux premiers conviennent le repos, le sommeil, une friction douce et des bains chauds; aux seconds la fatigue, le maintien dans l'état de veille et toute autre espèce d'évacuation. — Il 26
importe tellement au médecin de connaître les causes, et il lui est si impossible de les connaître sans interroger, qu'il doit faire des questions même au sujet des symptômes; par exemple, s'il existe quelque point livide, il demandera si cela tient à un coup, à l'âge ou à la saison, car, en dehors de ces causes, la lividité, dans les fièvres, est un signe de mort; il en est de même de la langue sèche chez un individu qui n'est pas en proie à la soif, ou qui n'a pas eu des déjections abondantes, et de la langue noire, si on n'a pas mangé quelque chose de noir; car, dans les cas que je viens d'énumérer, ces états de la langue n'auraient rien de suspect. — De même, il faut interroger sur les excrétions dans les 27
maladies : sur les urines, les selles et les crachats; car il importe, pour

12. καὶ εἰ μέλανα μήτοι μέλαν ἐδηδ. M; καὶ εἰ μέλαν ἐδηδοκότι V.

ματων καὶ ϖτυέλων· μέγα γὰρ καὶ ἐν τούτοις διενήνοχεν εἰς τὸ
ϖλῆθος αὐτῶν, καὶ δύναμιν καὶ χροιὰν, καὶ τὰ ϖροσάρματα αὐτῶν
28 εἰδέναι ϖόσα τε καὶ ϖοταπὰ καὶ ϖηνίκα ϖροσήρθη. — Ἐρωτᾷν δὲ
καὶ ϖερὶ ὕπνων εἰ ἐκοιμήθη ἢ οὒ, καὶ ὅπως ϖρός τε ὕπνον καὶ
ἀγρυπνίαν συνήθως ἔχει, καὶ εἴ τινα φάσματα αὐτῷ ἢ ἐνύπνια
γίγνοιτο, ὡς κἀκ τούτων δυναμένου τοῦ ἰατροῦ συλλογίζεσθαι. —
29 Πάντα μὲν οὖν ἐπὶ ϖᾶσιν οὐκ ἔστιν γράφειν, ἀλλὰ ὅσον σημῆναί
τε τῷ λόγῳ καὶ ὑπομνῆσαι τὸν ἰατρὸν μηδὲν ϖαραλιπεῖν τῶν τοιού-
των· Μύρωνι μὲν γὰρ τῷ Ἐφεσίῳ ϖαλαιστῇ ὑγιαίνειν δοκοῦντι
ἐφάνη τοιόνδε ἐνύπνιον· ἐδόκει εἶναι διὰ ὅλης νυκτὸς ἐν λίμνῃ με-
λαίνῃ ϖοτίμου ὕδατος· καὶ τοῦτο ἀναστὰς εἶπε ϖρὸς τὸν γυμναστήν·
ὁ δὲ ἐν οὐδενὶ θέμενος τὸ ἐνύπνιον, ἤγαγεν αὐτὸν ϖρὸς τοὺς ϖόνους,
καὶ οὔπω μεσοῦντι αὐτῷ ἆσθμά τε ἐπιπίπτει, καὶ ἀπορία καὶ ϖαλ-
μὸς ὅλου τοῦ στήθους, καὶ αὐτίκα μὲν ἀκρατὴς ἦν χειρῶν καὶ ϖοδῶν,
30 αὐτίκα ἄφωνος, οὐ ϖολὺ δὲ ὕστερον ἀποθνήσκει. Οὐκ ἄν μοι δοκεῖ

savoir à quoi s'en tenir sur leur abondance, leur puissance et leur cou-
leur, d'apprendre comment se nourrit le malade, en quelle quantité, de
28 quelle espèce d'aliments il use, et à quelle heure il mange. — On doit
aussi interroger touchant le sommeil, pour savoir si le malade dort ou
non; quelles sont ses habitudes, eu égard au sommeil et à la veille; s'il
a des visions ou des songes; attendu que le médecin peut tirer des
29 conclusions de ce qu'on lui répondra. — Il n'est pas nécessaire de dé-
crire tous les cas qui peuvent se présenter, mais autant qu'il en faut
pour indiquer par le discours et pour rappeler que le médecin ne doit
laisser de côté aucune de ces considérations; en voici des exemples :
Myron d'Éphèse, lutteur, paraissant en bonne santé, eut une vision en
songe; il lui sembla toute la nuit être dans un marais noir rempli d'eau
potable; en se levant, il dit cela au gymnaste, qui n'en tint aucun compte
et l'envoya aux exercices; Myron n'en avait pas encore accompli la moi-
tié qu'il fut pris d'essoufflement, de gêne et de palpitation de toute la
poitrine; aussitôt il ressentit de la faiblesse aux mains et aux pieds, de-
30 vint aphone, et peu après il mourut. Je crois qu'il ne serait pas mort, s'il

2. δύναμιν] An ὀσμήν? — 14. μέν om. V. — 15. δοκῶ Codd.

*ἀποθανεῖν εἰ σοφοῦ τοῦ γυμναστοῦ ἔτυχε, καί τινα κένωσιν αἵματος
ἀθρόαν αὐτῷ ϖρὸς τὸν ϖόνον ἐμηχανήσατο. — Ἄλλῳ δέ τινι ἐν* 31
*ϖυρετῷ ὀξεῖ ϖολλάκις ἀνὴρ αἴθιοψ ἐπιφοιτῶν κατὰ τοὺς ὕπνους
ϖαλαίειν ἐδόκει καὶ ἄγχειν αὐτόν· καὶ οὗτος εἶπε ϖρὸς τὸν ἰατρὸν
τὸ ἐνύπνιον· ὁ δὲ οὐδὲ αὐτὸς ἐνεθυμήθη οἷόν τι ἦν ϖρὶν αἱμοῤῥαγίᾳ
λάβρῳ ἐκ ῥινῶν ἐκρίθη ἡ νόσος. — Τῷ δὲ δοκοῦντι ἐν τῷ Καΰστρῳ* 32
*ϖοταμῷ νήχεσθαι εἰς ὕδερον ἐτελεύτησε χρονίζουσα ἡ νόσος. —
Πάνυ δὲ ἐμαυτὸν ϖείθω κατὰ τοὺς χυμοὺς τοὺς ἐν τῷ σώματι δόξας* 33
*ἐνυπνίων ἐγγίγνεσθαι, σημαινούσας καὶ ἀγαθὰ καὶ κακὰ τῷ ἀνθρώπῳ
ὧν κατάληψις ἄλλη οὐκ ἔστι μὴ ἀκούσαντι. — Τὸ δὲ τὰ συγγενῆ* 34
*τῶν νοσημάτων ἆρά γε ἑτέρωθεν ἔστιν εἰδέναι, ἢ καὶ ταῦτα ἐρωτήσαντι δήπου; Καὶ οὐκ ἄν τις φαίη φαῦλον τὸ ἐρώτημα, εἰ μὴ καὶ
τὸ διαγνῶναι τὸ εὐμεταχείριστον νόσημα καὶ τὸ δυσμεταχείριστον,
ὡς ὀρθῶς ὑπείληπται ϖᾶν τὸ συγγενὲς δυσιατότερον εἶναι τοῦ μὴ
συγγενοῦς. Καὶ μὴν καὶ ϖερίοδον γεγενημένην, καὶ μετάστασιν,* 35

avait eu affaire à un gymnaste prudent, et qui lui aurait pratiqué, pour
combattre la douleur, une large saignée. — Un autre individu, pris de 31
fièvre aiguë, eut, en dormant, à plusieurs reprises, un songe dans lequel
il lui semblait qu'un Éthiopien arrivait pour lutter avec lui et l'étouffait;
il raconta ce songe à son médecin; mais celui-ci ne comprit pas ce qu'il
signifiait, jusqu'à ce qu'une épistaxis violente eut jugé la maladie. — Chez 32
un autre, à qui il semblait en songe qu'il nageait dans le fleuve Cayster,
une maladie chronique se termina par l'hydropisie. — Je suis tout à 33
fait persuadé que les hallucinations des songes tiennent aux humeurs
qui prédominent dans notre corps, et qu'elles nous annoncent les biens
et les maux; hallucinations et présages dont on ne saurait avoir aucune
notion, si on n'interrogeait pas le malade. — Y a-t-il un autre moyen de 34
savoir ce qui concerne les maladies qu'on apporte en naissant, si ce
n'est, n'est-il pas vrai, en interrogeant? Personne ne dira que c'est là
un interrogatoire de peu de valeur, à moins qu'on ne soutienne aussi
qu'il est inutile de savoir quelle maladie est facile à traiter et quelle
ne l'est pas; car on admet, à juste titre, qu'une maladie congéniale est
plus difficile à guérir que celle qui est accidentelle. Il importe aussi 35

4. *ϖαλαῖον* V. — Ib. *οὕτως* Codd. — 6-7. *Τῷ δὲ... ἡ νόσος* om. V. — 10. *μὴ* om. V.

καὶ συμπλώματα ὁπόσα ἔμπροσθεν συμπεπλώκει, καὶ ταῦτα χρὴ
πυθόμενον εἰδέναι· καὶ ἔσλιν οὐ μικρὸν ὄφελος, καὶ εἰς πρόῤῥησιν,
36 καὶ εἰς θεραπείαν ἐπισκεφθέντα. — Ἐρωτητέον δὲ καὶ τρόπον
διαίτης ᾗ κέχρηται ὁ νοσῶν, οὐχ ὁπότε ὑγιαίνει· τοῦτο μὲν γὰρ
εἴρηται πρότερον ὑπὲρ αὐτοῦ, τὰ νῦν δὲ ὅπως ἐν τῇ νόσῳ διῃτᾶτο·
καὶ φάρμακα, εἴ τινα προσενήνεκτο, καὶ τὴν θεραπείαν τὴν σύμ-
πασαν ἥντινα τεθεράπευται, καὶ ὅπως ἐπὶ ἑκάσλοις διατιθέμενος
φαίνεται· καὶ γὰρ πρὸς τὸ μεθαρμόσασθαι τὰ παρόντα καὶ πρὸς τὸ
μηδὲν κινῆσαι τῶν πρὶν ὄντων, καὶ πρὸς τὸ ἐξευρεῖν εἴ τι παραλέ-
37 λοιπε τῶν δεόντων χρήσιμον τὰ τοιαῦτα εἰδέναι. — Ἐρωτητέον δὲ
καὶ εἰ προσῆρτο τὸ σιτίον ἢ οὔ· καὶ γὰρ οὐδὲ τοῦτό φημι δυνατὸν
εἶναι παρὰ ἑαυτοῦ γιγνώσκειν, καίτοι καταγελασλότατον δοκεῖ τῶν
ἐρωτημάτων παρὰ τοῖς δημοτικοῖς, εἰ μὴ εὐθύς τις ἁψάμενος τοῦ
38 νοσοῦντος εἰδείη ὅτι ἐδήδοκεν, ἀλλὰ ἑτέρου πυνθάνοιτο. Ἐμοὶ δὲ
καὶ τοῦτο ἀδύνατον δοκεῖ διαγνῶναι μὴ ἐρωτήσαντα, ὥσπερ καὶ πη-

d'apprendre, en interrogeant, ce qui en est des périodes déjà passées,
des métastases et de tous les autres symptômes que le malade a éprouvés
antécédemment; le résultat n'est pas d'un petit avantage pour qui con-
36 sidère la prognose et la thérapeutique. — On doit encore faire des
questions touchant le régime dont s'est servi le malade, non pas quand
il était en bonne santé, car on a déjà pris ce renseignement, mais quel
était ce régime quand il était malade; quels médicaments il a pris s'il
en a usé; quel a été l'ensemble du traitement auquel il a été soumis,
et comment il s'est comporté vis-à-vis de toutes ces choses; car il con-
vient d'être tenu au courant de ces particularités, pour réformer l'état
présent, pour ne rien mettre en mouvement de ce qui est passé, enfin
37 pour découvrir si on a omis quelque chose de ce qu'il fallait faire. — Il
faut encore demander si le malade a pris des aliments ou non; je soutiens,
en effet, qu'il est impossible de savoir cela par soi-même, quoique le
vulgaire regarde comme tout ce qu'il y a de plus risible qu'un médecin,
dès qu'il a palpé un malade, ne sache pas aussitôt qu'il a mangé, et qu'il
38 soit obligé de le demander. Cependant, sans interroger, il me paraît im-
possible de savoir aussi quand, de quelle qualité et en quelle quantité,

4. ὑγ. καὶ τοῦτο Codd. — 5-6. διῃτᾶτο] καὶ ταῦτα V. — 9. παριόντων Codd.

νίκα ϖροσήρατο, καὶ ϖοῖόν τι καὶ ϖόσον· ὁ γὰρ τῇ ῥώμῃ καὶ τῇ
ἀσθενείᾳ τεκμαιρόμενος ἐπὶ ϖολλοῖς ϖολλάκις ἐξαπατηθήσεται·
καὶ γὰρ τὸ ἱκανὸν ϖροσαράμενος οὐχ ἱκανῶς ἐῤῥώσθη, καὶ τὸ μὴ
ϖροσάρασθαι τινὰ ϖλέον ἔῤῥωσεν ἄν, μάλιστα εἰ διὰ ϖλησμονὴν
ἀσθενεῖ. — Ἐρωτητέον δὲ καὶ τί τὸ ἥδιστον αὐτῷ τῶν σιτίων· τοῦτο 39
γάρ ἐστιν ὅπῃ ϖρὸ τοῦ κρατίστου ὤνησεν, ἐπεὶ καὶ ϖέττεται ῥᾷον
τοῦ ἀηδοῦς· οὐ γὰρ δὴ μασωμένῳ μὲν τὸ ἀηδὲς καὶ καταπίνοντι ἀσθενῆ
ϖαρέχει τὴν ἑκατέρου ἐνέργειαν, ϖέττοντι δὲ καὶ ἀναδιδόντι, οὐχ
ὁμοίαν ἂν ϖαράσχοι. — Καὶ τὸ εὐδιαχώρητον δὲ ἐρωτητέον, καὶ 40
τὸ οὐρούμενον, καὶ τὸ ὀξυνόμενον, καὶ τὸ ἄλλως ϖως Φθειρόμενον·
ἑκάστῳ γὰρ ταῦτά ἐστιν καὶ οὐ καθόλου· ὥστε ἐπαινέσαιμι ἂν καὶ
ἰατρὸν τὸν νῦν ϖρῶτον ἐντυγχάνοντα τῷ νοσοῦντι, εἰ μὴ ἀπὸ ἑαυτοῦ μόνον ϖοιοῖτο τῆς θεραπείας τὴν εὕρεσιν, ἀλλά τινα καὶ τῶν

le malade prenait ses aliments; car, en s'en rapportant seulement à la force et à la faiblesse apparentes, on sera souvent trompé, et pour beaucoup de malades; il arrive en effet que tel individu n'est pas assez fortifié en prenant la quantité d'aliments qui paraît suffisante, et que tel autre, qui n'en aura pas pris davantage, est trop fortifié, surtout s'il est
malade de réplétion. — Demandez aussi quels sont les aliments qui 39
plaisent le plus au malade, attendu qu'il tire quelquefois plus de profit de ces aliments que de ceux qui sont meilleurs, parce qu'il les digère mieux que d'autres pour lesquels il a de la répugnance; ne croyez pas, en effet, qu'un aliment [solide ou liquide] qui déplaît quand on le mâche et qu'on l'avale, communique, sous l'une et l'autre forme, ses propriétés à un faible degré, et qu'il n'en est pas ainsi lorsque le même
aliment est digéré et distribué dans le corps. — Demandez encore ce qui 40
procure des selles et des urines faciles, ce qui cause des aigreurs ou d'autres accidents; car chaque individu présente, sous ce rapport, des différences, et il n'y a rien de général; aussi j'approuverais le médecin qui, arrivant pour la première fois auprès d'un malade, ne voudrait pas à lui tout seul trouver le traitement, mais appellerait en consultation quelqu'un

2. ϖολλάκις καὶ ἐξαπατηθ. V. — 7. δή om. V. — 9. ἄν om. V.

ἐμπείρων τοῦ κάμνοντος εἰς συμϐουλὴν καλοῖ, μάλισ7α μὲν ἰατρὸν, εἰ δὲ μὴ, καὶ ἰδιώτην· οὕτω γὰρ οὐ διαμαρτήσεται τοῦ συμφέροντος.
41 τος.— Ὅσα τε ἀλγήματά ἐσ7ιν ἐπὶ ταῖς νόσοις γιγνόμενα καὶ ταῦτα ἐρωτᾷν· ἔσ7ι μὲν γὰρ καὶ ἑτέρωθι συντεκμαίρεσθαί τινα ἀλγοῦντα καὶ σ7εναγμάτι καὶ βοῇ, καὶ ῥιπ7άσματι, καὶ ἀπορίᾳ, καὶ κλίσει σώματος, καὶ χροιᾷ, καὶ λεπ7ότητι, καὶ χειρῶν ἅψει· δηλοῖ γὰρ τὸ ὀδυνώμενον εὐθύς· καὶ αὐτὸς δὲ ὁ κάμνων πιέζει μάλισ7α τὰ ἀλγοῦντα, ὥσ7ε καὶ τὰς ἀφώνους ὀδύνας ἐκ τῶν τοιούτων οὐκ ἂν ἁμαρτάνοις συλλογιζόμενος· ἀλλὰ ἔσ7ι μὲν κἀξ οἴκτων διαγινώσκειν τοὺς πόνους τῶν νοσούντων· χρὴ δὲ καὶ διαπυνθάνεσθαι, καὶ οὐδὲ τοῦτό πως ἐξαρκεῖ πρὸς τὴν ὅλην διάγνωσιν, ὡς πολλοὶ ἤδη μαλακίᾳ καὶ τρυφῇ οὐδέν τι που κομψότερον
42 ὀδύνην ὑπεκρίναντο τῶν ἐν ταῖς τραγῳδίαις οἰμωζόντων. Χρὴ δὲ καὶ τὰ ἄλλα ἐπιϐλέπειν· εἰ σώφρων καὶ ἀνδρεῖος καὶ ἐγκρατὴς ὁ ἄνθρωπος· οὐ γὰρ ἂν οὗτός γέ τι ψεύδοιτο τῶν περὶ τὴν νόσον.

qui aurait l'habitude du malade, surtout un médecin, et, à son défaut, une personne du monde; de cette façon il ne se trompera pas sur les
41 bons moyens à employer. — On fera aussi des questions sur les douleurs qui surviennent dans les maladies; on peut, il est vrai, sans interrogation, juger qu'un homme souffre, par les gémissements, les cris, l'agitation, la gêne, la position du corps, la couleur, la maigreur, et par le mouvement de ses mains, car les attouchements révèlent aussitôt le siége du mal; en effet, le malade lui-même presse surtout les parties douloureuses; de sorte qu'à l'aide de tous ces signes vous pourrez reconnaître sûrement même les douleurs muettes; mais il importe de distinguer les vraies souffrances des vaines lamentations; pour cela interrogez aussi les malades, les moyens précités ne suffisant pas pour toute la diagnose, puisque beaucoup de malades, par mollesse et par délicatesse, jouent des douleurs qui ne sont pas moins affectées que celles qu'on fait pa-
42 raître dans les tragédies. Considérez encore les autres circonstances, par exemple si l'individu est raisonnable, viril, maître de lui, car alors

6. ἅψει, ἤτε σὺ ἐθέλῃς ἅπ7εσθαι· δηλοῖ Codd. — 8. ἀλγ. ὥσ7ε καὶ ἀλγοῦντα ὥσ7ε V. — 9. οἴκτων e conj.; τῶν Codd. — 11. ἐξαρκ. καὶ πρός Codd.

Ἐπεὶ δὲ καὶ περιόδους τὰ πολλὰ ἔχουσιν οἱ πόνοι, καὶ τοῦτο 43 *ἐρωτητέον· οὐ γὰρ δήπου τοὺς μὲν ἄλλους παροξυσμοὺς ἀναγκαῖον πυνθάνεσθαι πηνίκα γίγνονται, τοὺς δὲ τῶν ἀλγημάτων παραλείπειν. — Ἔχοι δὲ ἄν τινα χρείαν καὶ τὰ κατὰ κοιλίαν ἐρωτᾷν, ὅπως* 44 *διάκειται τῷ ἀνθρώπῳ, ἆρά γε εὐδιαχώρητός ἐστιν ἢ οὔ. Καὶ τὰ* 45 *περὶ τὰς ἄλλας ἐκκρίσεις ὡσαύτως· καὶ γὰρ ἱδρὼς καὶ οὖρον καὶ ἔμετος τοῖς μὲν ῥᾳδίως, τοῖς δὲ χαλεπώτερον δίεισι.*

Εἰς μὲν οὖν τὰς κοινὰς νόσους, καὶ μάλιστα τὰς πυρετώδεις 46 *ταῦτά τε καὶ τὰ ὅμοια ἐρωτητέον· εἰς δὲ τὰ ἕλκη, εἰ μὲν ἀπὸ κυνὸς εἴη τὸ ἕλκος, μὴ ἔτυχε δὴ ὁ κύων λυσσῶν· πολὺ γὰρ διαφέρει· τῷ μὲν γὰρ ἔναιμόν τι ἐξαρκεῖ φάρμακον ἢ σπόγγος ὄξει βεβρεγμένος, τῷ δὲ καῦσίς τε καὶ εἰ πάνυ μικρὸν εἴη τὸ ἕλκος, καὶ δριμέων φαρμάκων προσαγωγὴ, καὶ τήρησις τοῦ ἕλκους εἰς πολὺ, καὶ πόμα ἀψίνθιον, καὶ ἀριστολοχία καὶ λύκιον καὶ τῶν ποταμίων καρκίνων*

il ne trompera pas sur les phénomènes de sa maladie. Comme les souf- 43 frances ont le plus souvent aussi des périodes, on s'en informera également; car alors il ne convient pas de demander à quelles époques ont lieu les autres paroxysmes et de négliger les retours des douleurs. — Il y a encore une certaine utilité à faire des questions relativement au 44 ventre, pour savoir comment il se comporte, et s'il est libre ou non. Il en est de même pour les autres excrétions; car les sueurs, les urines, 45 les vomissements, arrivent facilement chez les uns, plus difficilement chez les autres.

En conséquence, surtout dans les fièvres, mais aussi dans les autres 46 maladies générales, on fera de telles interrogations et d'autres semblables; en ce qui concerne les plaies, s'il s'agit d'une morsure faite par un chien, on s'informera si le chien était enragé ou non; car cela importe beaucoup : dans le second cas, un médicament pour les plaies saignantes, ou une éponge trempée dans du vinaigre suffisent, tandis que, dans le premier, il faut brûler; si même la plaie est très-petite, on doit avoir recours aux médicaments âcres, et laisser la blessure longtemps ouverte; on donnera aussi pour boisson l'absinthe, l'aristoloche, le petit ner-

1. Ἐπί Codd. — Ib. περίοδοι Codd. — 3. τοὺς δὲ ἄλλους τῶν Codd. — 7. ἔμετον Codd. — 10. ἐτύχῃ δέ Codd. — 11. ἄναιμον V.

τὸ ἀφέψημα, καὶ σκόρδιον καὶ ϖετροσέλινον, καὶ ἡ γεντιανὴ κα-
λουμένη ῥίζα· μέγα δὲ ὄφελος καὶ εἰ μεταξὺ τῷ ἐλλεβόρῳ καθή-
ραις· εἰ δὲ μὴ, κίνδυνος σπασθῆναι, καὶ ϖαραφρονῆσαι, καὶ δεῖσαι
47 τὸ ὕδωρ, καὶ ἀπολέσθαι. Οἶδα γοῦν τινα δηχθέντα μὲν ὑπὸ λυσ-
σῶντος κυνὸς, ἐν οὐδενὶ [δὲ] λόγῳ θέμενον τὸ ἕλκος, καίτοι ϖολλὰ
48 μὲν τῶν ἰατρῶν ϖαρακελευομένων, ϖολλὰ δὲ τῶν οἰκείων. Ἐκεῖνος
μὲν δὴ ἀπέθανεν οὐ ϖολὺ ὕστερον ϖαθὼν οἷάπερ ἐν τῇ νόσῳ ταύτῃ
ϖάσχουσιν· ἡ δὲ γυνὴ αὐτοῦ τρίμηνος κύουσα, ἐμίγη γὰρ αὐτῷ ἔτι
τὸ ἕλκος ἔχοντι, ἔδεισε καὶ αὐτὴ τὸ ὕδωρ, ὥστε εἰ μὴ διὰ ταχέων
ἐκελεύσαμεν ἐκβαλεῖν τὸ ἔμβρυον, δοκεῖ μοι ἂν ἀπολέσθαι τρόπῳ τῷ
49 αὐτῷ. — Τὰ δὲ τῶν ἄλλων θηρίων δήγματα καὶ ϖληγὰς ἄριστα
μὲν εἰ καὶ ταῦτα ἀνακρίνοιμεν· ϖρὶν γὰρ ἐπελθεῖν τὰ συμπτώματα
μηχανώμενοι τὸ ἑκάστῳ ϖρόσφορον, ῥᾷον θεραπεύσομεν· ὅμως δὲ
οὖν ἔστι καὶ τούτων διὰ σημείων τέκμαρσις, καὶ μὴ λέγοντος τοῦ

prun, une décoction d'écrevisses, la germandrée aquatique, le persil et
la racine appelée *gentiane;* il est aussi fort utile de purger, dans l'inter-
valle, avec de l'ellébore; sinon, on a à redouter les convulsions, le
47 délire, l'horreur de l'eau et la mort. J'ai connu quelqu'un qui, mordu
par un chien enragé, ne voulut tenir aucun compte de sa plaie, quoique
48 médecins et amis eussent insisté pour qu'il y fît attention. Il mourut
peu de temps après avec tous les symptômes propres à la rage, et sa
femme, qui était enceinte de trois mois, ayant eu des rapports avec son
mari pendant qu'il avait sa plaie, fut prise d'horreur de l'eau; je crois
qu'elle serait morte de la même manière, si nous n'avions pas ordonné
49 en hâte de la faire avorter. —Il est très-bon aussi d'adresser de sembla-
bles questions pour les diverses espèces de plaies ou de morsures faites
par les autres animaux nuisibles, car, avant le développement des symp-
tômes, on disposera d'avance ce qui convient pour chaque cas, et aussi
on traitera plus facilement; toutefois, pour ces espèces d'accidents, on
pourrait former ses conjectures d'après les symptômes, lors même que
le mordu ne parlerait pas; mais, quand il s'agit de la morsure d'un chien

3. καὶ ϖαράφρων καὶ Codd. — 5. [δέ] om. Codd. — 13. μηχανώμενος τῷ ἑκάστῳ ϖρόσφορον, ῥᾷον θεραπευσόμενος Codd.

δηχθέντος· ἐπὶ δὲ τῷ κυνὶ οὐκ ἔστι πρὶν ἂν τὸ πάθημα ἐλθεῖν. —
Ὅσοι δὲ ἐν πολέμῳ τιτρώσκονται τοξεύμασιν ἢ λόγχαις, τὰ μὲν ἔξω 50
διασχόντα, καὶ ὅσα ὑπὸ τὸ δέρμα κρύπτεται ἰδόντι καὶ ἁψαμένῳ
κατάδηλά ἐστιν· τὰ δὲ εἴσω κρυφθέντα, ἐρωτητέον, εἰ τὰ βέλη
τύχοι τις αὐτοῖς ἐξελκύσας, ἆράγε σὺν τῇ ἀκίδι ἐξείλκυσεν, ἢ μόνον
τὸν οϊστόν· λάθοι γὰρ ἂν καὶ τὸν πάνυ ἔμπειρον ὑποῦσα ἡ ἀκίς.
Διόπερ καλῶς παρακελεύονται τοῖς στρατιώταις οἱ ἰατροὶ φέρειν 51
τὰ τοξεύματα ἐμπεπηγότα ὡς ἂν εἰδεῖεν αὐτοὶ κομιζόμενοι μή τι
ἐγκαταλειφθὲν τῷ ἕλκει, καὶ ἅμα ἐμπείρως κομίζοιντο. Ἀναγκαῖον 52
δέ που καὶ περὶ χρίσματος προπυνθάνεσθαι τῶν τοξευμάτων· πολ-
λοὶ γὰρ ἐξεῦρον φάρμακα οἷς τὰ βέλη χρίοντες, κἂν πάνυ μικρὸν
τρώσῃ, ἀποκτείνουσιν. Εἰ δὲ προειδείημεν, τάχα τι καὶ πορίσαι- 53
μεν ἂν ἑκάστου φαρμάκου ἴαμα. Τοῦτο μὲν δὴ τὸ ἐρώτημα οὐ τοῦ 54
τραυματίου ἐστὶν, ἀλλά τινος αἰχμαλώτου ἢ αὐτομόλου. — Τὰ δὲ 55

enragé, on ne sait rien [si on n'interroge pas] tant que la maladie n'est
pas déclarée. — En ce qui concerne les blessures qui sont faites à la 50
guerre par une flèche ou par une lance, le médecin reconnaît manifes-
tement, par la vue et par le toucher, ce qui sort au dehors ou ce qui
est caché sous la peau; mais, quand l'arme s'est cachée profondément, il
faut, au cas où l'on a déjà tenté l'extraction, s'assurer, en interrogeant
le blessé, si on a retiré l'arme avec la pointe, ou seulement la hampe,
car il arrive au plus expérimenté de ne pas s'apercevoir qu'il a laissé la
pointe au fond de la plaie. Aussi les médecins recommandent-ils avec 51
raison aux soldats de supporter [jusqu'à leur arrivée] les traits qui se
sont enfoncés dans les chairs, afin qu'eux, médecins, en les pansant,
puissent s'assurer qu'il n'est rien resté dans la plaie et qu'en même
temps ils les traitent en hommes expérimentés. On doit encore s'infor- 52
mer des substances qui enduisaient les traits, car beaucoup de peuples
ont trouvé des poisons dont ils enduisent les traits et qui tuent, lors
même que la blessure est très-petite. Si nous savons cela d'avance, nous 53
pourrons préparer le remède qui convient contre chaque espèce de poi-
son. Ce n'est pas, bien entendu, à nos blessés, mais soit aux prison- 54
niers, soit aux déserteurs, qu'il faut faire ces questions. — Dans les 55

5. τύχοι αὐτοῖς τίς αὐτῷ Codd. — Ib. διεξέλκυσεν Codd. — 11. ἐξευρόντες Codd.

ἐν κεφαλῇ τραύματα ὧδε χρὴ ἀνακρίνειν, καὶ μάλισῖα εἰ μηδὲν
φανερὸν κακὸν εἴη τῷ ὀσῖῷ, ἄφωνος δὲ ὁ ϖληγεὶς γένοιτο καὶ ἐμέ-
σαι τὸ μὲν αὐτίκα σιτίον ἢ φλέγμα, χολὴν δὲ ὕσῖερον, καὶ ἐπι-
ϖυρέξαι ϖυρετῷ ὀξεῖ καὶ ϖαρακρουσῖικῷ· κίνδυνος γὰρ ῥῆγμα
56 ἔχειν τὸ ὀσῖοῦν, ἢ κατὰ αὐτὸ τὸ ἕλκος, ἢ ἑτέρωθι. Τοῖς δὲ οὐδὲ ἕλ-
κος τὸ ϖαράπαν γίγνεται, ἀλλὰ ὑπορρήγνυται τὸ ὀσῖοῦν, καὶ ϖά-
57 σχουσιν οἷα εἴρηται. Κατὰ γοῦν τὸν Σάμιον οὕτως ἔσχεν· ἦν μὲν ἐπι-
χώριος αὐτοῖς ἡ ἑορτὴ ἐν ᾗ διασῖάντες ἀλλήλους βάλλουσι λίθοις·
ἐνταῦθα δὲ ϖληγεὶς οὗτος ὁ ἄνθρωπος τραῦμα μὲν οὐδὲν ἔσχεν φα-
νερὸν, ἄφωνος δὲ γίγνεται καὶ ἰλιγγιᾷ, καὶ μετὰ οὐ ϖολὺ μὲν
ὑγιὴς εἶναι ἐδόκει, εἰκοσῖῇ δὲ μετὰ τοῦτο ἡμέρᾳ ϖαραφρονεῖν ἄρ-
χεται· ὡς οὖν εἰσεκλήθην καὶ εἶδον συνεχῶς μὲν ἁπῖόμενον αὐτὸν
τῆς κεφαλῆς, τρομώδη τε ὄντα καὶ ϖαρακρουσῖικὸν, ἠρόμην [εἰ]
ἐπλήγη τὴν κεφαλὴν οὗτός ϖοτε, τῶν δὲ φησάντων, θαῤῥῶν ἔφην
58 συντετρίφθαι τὸ ὀσῖοῦν αὐτοῦ. Ἔπειτα μεγάλην τομὴν τεμόντες κατὰ

plaies de tête, les interrogations sont également nécessaires, surtout s'il
n'y a aucun mal apparent à l'os, si le blessé perd la voix, vomit d'abord
des aliments, du phlegme et plus tard de la bile, s'il est pris, en outre,
d'une fièvre aiguë avec délire; car il est à craindre, dans ce cas, que
ταῦτα ὅλην νύκτα ἐν ταῖς ῥαφανίσι τῇ ἐπιούσῃ ἡμέρᾳ ἐπαίρονται, ἐγκαταλιπόντα τὴν δυνάμιν αὐτῶν ταῖς ῥαφανίσιν· εἶτα τὰς ῥαφανίδας χρὴ διατέμνειν καὶ ἀποβρέχειν τῷ ὀξυμέλιτι, ὡς ϖροείρηται[1],
2 καὶ διδόναι ὁμοίως ἐσθίειν. Δεῖ δὲ κατανοεῖν ἀκριβῶς μή τι τοῦ φλοιοῦ τοῦ ἐλλεβόρου[2] ἐναπομένῃ ταῖς ῥαφανίσι.

64

ρνθʹ. Περὶ κλυσμῶν[3].

1 Πλείστων τῶν ἐπὶ λύμῃ συνισταμένων τῷ ζώῳ κακῶν ϖρόξενος
2 γίγνεται ἡ τῆς γαστρὸς ἐπίσχεσις. Βάρος γὰρ κεφαλῆς ϖαρέπεται καὶ σκοτοδινία, ἀνατροπή τε τοῦ στομάχου, σπαραγμὸς ἐμετώδης, ναυτίαι τε καὶ ἀνορεξίαι, στόματος ξηρότης καὶ ϖικρότης, ἐρυγαὶ ἀηδεῖς καὶ βρομώδεις καὶ ϖνεύματα[4] δυσώδη, ὕπνοι μετέωροι καὶ
3 ἀηδεῖς ἐμπνευματώσεις, στρόφοι, εἰλεοί. Πληθωρικάς τε καὶ ἀρθρι-

[1] ὡς ϖρ. om. Ed. add. P. — [2] Sur l'esprit du mot ἐλλέβορος, voir Littré, *Œuvr. d'Hippoc.* t. II, p. 274, note 17. — [3] Chapitre attribué à Rufus par M. Daremberg, d'après la citation d'Oribase. Cp. Orib. *Coll. méd.* VIII, XXIV et *Syn.* I, XIX. — [4] ϖνεύματος Ed. Corrigo.

---

toute une nuit et n'en sont ôtés que le jour suivant, après avoir déposé leur vertu dans les raiforts. Ensuite il faut couper les raiforts et les faire baigner dans l'oxymel, comme on l'a dit plus haut [fragm. 62, § 22],
2 et donner le remède à prendre de la même manière. Il faut bien veiller à ce qu'il ne reste rien dans les raiforts de l'écorce de l'ellébore.

64

Ch. CLIX. — Des lavements.

1 Un très-grand nombre des maux qui affectent l'être animé ont pour
2 cause l'embarras du ventre. En effet, de là viennent les lourdeurs de tête, les étourdissements, les troubles de l'estomac, les vomissements spasmodiques, les nausées, le manque d'appétit, la sécheresse et l'amertume de la bouche, les éructations désagréables et fétides, les gaz d'une mauvaise odeur, le sommeil troublé et pénible, les flatuosités,
3 les coliques, les iléus. Cet embarras engendre des affections plétho-

τικὰς καὶ ποδαλγικὰς καὶ ἰσχιαδικὰς νόσους γεννᾷ, παραύξουσά τε ἅπαντα, καὶ κακοηθέστερα καὶ χρονιώτερα ἀποτελοῦσα, ἔσθ' ὅτε δὲ καὶ ὀλέθρια. Χρεία δὲ γίγνεται κλυσμῶν καὶ ἐπὶ ἑτέρων διαθέσεων, ὧν ἐκ μέρους ποιησόμεθα μνήμην.

« Τῶν μὲν οὖν ἐνιεμένων κλυσμῶν, οἱ μέν εἰσιν ἁπλοῖ καὶ ἁπαλοί, οἱ δὲ δριμεῖς, οἱ δὲ ἄλλην χρείαν παρέχουσι καὶ δύναμιν.

« Τῶν μὲν οὖν ἁπαλῶν, ὕδωρ αὐτὸ καθ' αὑτὸ ποιεῖ κομιδῆς ἕνεκα κοπρίων, ἐν συνεχέσι πυρετοῖς καὶ κακοήθεσι καὶ καυσώδεσι, καὶ ἐπὶ τῶν ἐκ μακρᾶς ἀσθενείας ἀναλαμβανομένων, ἐφ' ὧν δυσχερεῖς αἱ ἄροδοι γίγνονται. Θερμότερον δὲ ἐνήσομεν· » ἐμπνευματοῖ γὰρ χλιαρόν. Ὑδρελαίῳ δὲ χρησόμεθα ἐπὶ κατοχῇ[1] σκληρῶν κοπρίων, κἀπὶ τῶν ἑλκώδη καὶ δακνώδη συναίσθεσιν περὶ τὰ ἔντερα ἐχόντων. Παραιτεῖσθαι μέν τοι[2] τὸ ὑδρέλαιον, ἐπειδὰν κεφαλῆς βάρος ᾖ, ἢ στόμαχος ἀνατρέποιτο, ἢ ἀνορεξία κρατοίη[3]. Ῥόδινον δὲ ἀντὶ τοῦ

[1] Forte legendum κατοχῆς. — [2] Forte supplendum δεῖ. — [3] κρατείη Ed. Corrigo.

---

riques, articulaires, goutteuses et sciatiques, en augmente l'intensité et la malignité, leur donne un caractère chronique, et quelquefois les rend mortelles. L'utilité des lavements se fait sentir encore dans d'autres cas dont nous donnerons plus loin le détail.

Des lavements, les uns sont simples et émollients, les autres âcres, d'autres ont une action et un emploi différents.

Parmi les lavements émollients, l'eau simple agit pour enlever les matières fécales dans les fièvres continues, de mauvaise nature et ardentes, ainsi que pour les personnes qui se remettent d'une grande faiblesse et chez lesquelles les défécations sont laborieuses. Nous les donnerons avec de l'eau plutôt chaude : l'eau tiède développe des gaz. Nous administrons un mélange d'huile et d'eau contre la rétention de matières dures, et lorsque les malades éprouvent comme une sensation ulcéreuse et mordicante dans les intestins. Toutefois on évitera ce mélange lorsqu'il y aura lourdeur de tête, ou que l'estomac sera troublé, ou enfin que dominera le manque d'appétit. L'eau de rose, injectée avec

ἐλαίου σὺν τῷ ὕδατι ἐνιέμενον, ἐπιτήδειον ἔν τε καυσώδεσι πυρετοῖς
καὶ πυρώσεσιν ὑπερβαλλούσαις περὶ τὰ μέσα, καὶ μάλιστα περὶ τὸ
1 κῶλον. Κεφαλὴν δὲ συμπληροῖ, καὶ ἧττόν ἐστιν ὀλισθηρὸν τοῦ ὑδρε-
2 λαίου. Ἐμβλητέον δὲ ῥόδινον ἔλαιον τέταρτον μέρος τοῦ ὕδατος, σὺν
ὠῷ δὲ καὶ πτισάνης χυλῷ ἐνίεμεν τὸ ῥόδινον, ἐπὶ τῶν καυσωδεστά-
3 των πυρετῶν, ἢ δήξεως περὶ τὰ ἔντερα συνεδρευούσης. Χαμαιμή-
λινον[1] δὲ ἔλαιον καὶ ὠοῦ τό τε πυῤῥὸν καὶ τὸ λευκὸν σὺν χυλῷ πτι-
σάνης ἐνίεμεν εἰς νύκτα ἐπὶ τῶν διακαῶν πυρετῶν, κελεύοντες αὐτὸ
κρατεῖν πᾶσαν τὴν νύκτα· καὶ γὰρ ὕπνον ἐπάγει ἡδὺν, καὶ τὰ αἴ-
4 τια τοῦ πυρέτου τῇ ἑξῆς σὺν ἑαυτῷ ἐξάγει. Βούτυρον δὲ μεθ' ὕδατος
μὲν ἐνιέμενον δήξεις καὶ στρόφους παρηγορεῖ· ὀλίγον δὲ εἶναι χρὴ
5 τὸ βούτυρον ἐπὶ τούτων. «Ποιεῖ δὲ καὶ ἐφ' ὧν διὰ φλεγμονὴν τοῦ
ἀπευθυσμένου κατέχεται τὰ σκύβαλα, καὶ ἐπὶ ῥυπαρῶν ἑλκώσεων
6 περὶ τὸ ἔντερον. Καὶ ἀφέψημα δὲ τήλεως ἐν ὕδατι ἑφθῆς χωρὶς λέπους
ἐνιέσθω ἐπὶ τῶν ἐκ φλέγματος ἀναπτομένων πυρετῶν καὶ ἐπὶ τῶν

[1] χαμαιμήλιον Ed. Corrigo.

---

de l'eau ordinaire, remplace avantageusement l'huile dans les fièvres
ardentes et dans les inflammations excessives localisées au milieu des
1 intestins, notamment au côlon. Ce liquide remplit la tête, il est moins
2 glissant que le mélange d'huile et d'eau. Il faut introduire l'huile de
rose pour un quart de la quantité d'eau, puis, en y joignant un mélange
d'œuf et de suc de ptisane, nous injectons l'huile de rose dans le cas des
3 fièvres très-ardentes ou de mordications aux intestins. L'huile de camo-
mille, un blanc et un jaune d'œuf mélangés avec du suc de ptisane,
forment un lavement que nous donnons, le soir, contre les fièvres
ardentes, en prescrivant de le garder toute la nuit, car il procure un
sommeil agréable, et, le lendemain, entraîne avec lui les causes de
4 la fièvre. Le beurre pris avec de l'eau conjure les mordications et les
coliques, mais il faut, dans cette circonstance, que le beurre soit en pe-
5 tite quantité. Il agit bien aussi chez ceux dont les matières sont retenues
par l'inflammation du rectum, et qui ont des ulcères sordides dans les
6 intestins. La décoction de fenugrec pelé et bouilli dans de l'eau sera
donnée en lavement dans le cas des fièvres dépendant de la pituite, et

μαλακῶν καὶ γυναικωδῶν σωμάτων, καὶ ἐπὶ τῶν δακνομένων τὸ ἔντερον. Κεφαλὴν δὲ συμπληροῖ ἱκανῶς· διὸ ἐν πυρετοῖς εἰ μὴ ἀπαθὴς εἴη ἡ κεφαλὴ, οὐ χρηστέον αὐτῷ. Μαλάχης δὲ ἀφέψημα ἁρμόζει ἐπὶ στρόφων καὶ δηγμῶν, καὶ μάλιστα εἰ ξηρὸν ὑπόκειται σκύβαλον. » Λινοσπέρμου δὲ ἀφέψημα ἐπὶ σωμάτων καὶ νοσημάτων καταξήρων ἁρμόδιον· χρήσιμον δὲ καὶ δήξεσι καὶ ἄσαις, καὶ ἐπὶ τῶν σφόδρα διψώντων· κεφαλὴν δὲ πληροῖ μὲν, οὐχ ὁμοίως δὲ τῇ τήλει. Πτισάνης δὲ χυλὸς δύναται σκύβαλα διαλῦσαι σκληρὰ καὶ σμῆξαι τὰ ἔντερα, καὶ δαγμοὺς[1] παρηγορῆσαι. Λύκου[2] δὲ χυλὸς καὶ δήξεων μὲν ἐστι παρηγορητικός. Μάλιστα δὲ ἁρμόζει καρδιακοῖς, καὶ διαφορουμένοις συγκοπτικῶς· πρὸς γὰρ τὸ τρέφειν καὶ τὴν δύναμιν ἀνακτᾶσθαι τὸ ἐνιέμενον· ἔτι δὲ καὶ ὄλισθον τοῖς ὑποκειμένοις σκυβάλοις παρέχεται. Πιτύρων δὲ χυλὸς πυρετοῖς καταξήροις καὶ κωλικαῖς ὀδύναις, καὶ ἑλκώσεσιν ἐντέρων ἁρμόδιος· ῥύπτει γὰρ χωρὶς δήξεως. Ἀνδράχνης δὲ χυλὸς πυρετοῖς χρησιμώτατος, ἐπὶ δηγ-

[1] Fort. legend. δηγμούς. — [2] λύκος Ed. Corrigo.

pour les personnes molles ou les femmes, ainsi que dans le cas des douleurs intestinales aiguës. Ce lavement porte la plénitude dans la tête; aussi, dans les fièvres, lorsque la tête n'est pas exempte de mal, il faut éviter de le donner. On emploie avec succès le suc ou la décoction de mauve dans les coliques et les tranchées, mais surtout si les matières sont sèches. La décoction de graine de lin est d'un bon usage pour les personnes et pour les maladies tendant à la sécheresse. Elle est encore utile dans les douleurs aiguës, dans les cas d'inappétence et de soif excessive; elle remplit la tête, mais non de la même façon que le fenugrec. Le suc de ptisane réussit à dissoudre les matières dures, à nettoyer les intestins et à conjurer les tranchées. Le suc de fleurs d'iris est propre à détourner aussi les tranchées. Ce lavement est surtout favorable dans la maladie cardiaque et à ceux que la transpiration fait tomber en syncope, car il est nutritif et fortifiant; de plus, il lubrifie les matières amassées. Une décoction de son est efficace contre les fièvres sèches, les coliques et les ulcères intestinaux, car elle nettoie sans causer de douleurs aiguës. Le suc de pourpier est excellent contre les fièvres, dans le cas

*μῶν καὶ πυρώσεων, τῶν τε ἄλλως γιγνομένων, καὶ ἐφ' ὧν δι' ἔκ-
κρισιν σκληρῶν ἢ δριμέων σκυβάλων ἢ δακτύλιος, ἢ τὸ ἀπευθυσμέ-
25 νον βλαβὲν, ἐρυσιπελατώδη διάθεσιν ἀνεδέξατο. Μιγνύναι δὲ ἐπὶ
26 τούτων χρὴ τὸν χυλὸν καὶ ὠὸν, καὶ ῥόδινον. Καὶ κατ' ἰδίαν δὲ ὁ
χυλὸς τῆς ἀνδράχνης ἐπιτήδειος πυρώσεως ἐρυσιπελατώδους ἐν τῷ
27 βάθει περὶ τὰ ἔντερα συνεδρευούσης. Γάλα δὲ ἐνίεται ἑλκώσεως
οὔσης καὶ φλεγμονῆς περὶ τὰ ἔντερα, καὶ νεφροῖς καὶ κύστει καὶ
28 ὑστέρᾳ. Ὀῤῥὸς δὲ γάλακτος ἐνιέμενος ἐκκοπροῖ μὲν γενναίως καὶ
ἐξάγει τὰ ἐν τοῖς ἐντέροις εὑρισκόμενα περιττώματα πάντα· ῥύπτει
δὲ καὶ τὰ ῥυπαρώτερα τῶν ἐν τοῖς ἐντέροις ἑλκῶν· χωρὶς δὲ πυτίας
σκευαζέσθω.*

*29 Ἔλαιον δὲ καθ' αὑτὸ ἐνιέμενον θερμὸν ἁρμόδιον ἐπὶ φλεγμαι-
νόντων ἐντέρων· ἐπιτήδειον δὲ καὶ ἐπὶ τῶν ἐσχατογήρων ἐφ' ὧν
30 σκληρύνεται τὸ σκύβαλον. Μελίκρατον δὲ ἁρμόζει ἐνιέμενον ἐπὶ τῶν
πραοτέρων καὶ ἐπὶ τῶν γυναικωδῶν σωμάτων, καὶ ἐπὶ παρακμα-
ζόντων οἷς ἀπευθυσμένον ἢ κῶλον κατέψυκται.*

---

de douleurs et d'inflammation (d'intestins), comme d'autres accidents,
et aussi dans celui où, par suite de l'excrétion de matières dures ou
âcres, l'anus ou le rectum lésé a contracté une affection érésipélateuse.
26 Il faut, dans ce cas, y mêler un œuf et de l'huile de rose. Administré
isolément, le suc de pourpier combat l'inflammation érésipélateuse im-
27 plantée profondément dans les intestins. On donne des lavements de lait
lorsqu'il y a ulcération et inflammation des intestins, des reins, de la
28 vessie ou de l'utérus. La partie séreuse du lait fait bien évacuer et
chasse toutes les matières qui peuvent se trouver dans les intestins; elle
nettoie aussi les résidus sordides des ulcères intestinaux; mais on devra
le préparer sans présure.

29 L'huile, employée seule et chaude en lavements, est utile contre l'in-
flammation d'intestins; elle est très-bonne aussi pour les personnes
parvenues à l'extrême vieillesse chez lesquelles les matières sont dures.
30 L'administration de l'eau miellée convient aux personnes molles et effé-
minées ou sur le retour, chez qui le rectum ou le côlon s'est refroidi.

Πηγάνου δὲ ἀφέψημα καὶ ἀνήθου καὶ κυμίνου μετ' ἐλαίου δια- 31
λυτικὰ πνευμάτων ἐστί· διὸ κωλικοῖς ἐνίεται. Εἶναι δὲ χρὴ ἐπὶ τού- 32
των, δύο μὲν μέρη τοῦ ἀφεψήματος ἐνίεται, ἓν δὲ τοῦ ἐλαίου.

Τήλεως δὲ ὁ χυλὸς βουτύρῳ καὶ τερεβινθίνῃ[1] μιγνύμενος, ὡς εἶναι 33
τὸ τέταρτον τοῦ χυλοῦ ἑκατέρων παρηγορητικώτατόν ἐστι τῶν
περὶ τὸ ἔντερον στρόφων ἢ παλμῶν. Καὶ γὰρ ἐπιπολὺ ἐμμένει 34
ἀδήκτως, καὶ ἐξάγει τὰ περιττώματα ἀταράχως. Χρησιμώτατον δέ 35
ἐστι καὶ ἐπὶ τῶν περὶ τὴν ὑστέραν δήξεων. Πτισάνης δὲ χυλῷ μί- 36
γνυται βούτυρον καὶ μέλι πάνυ ἐλάχιστον· καὶ γίγνεται χρήσιμον
ἐπὶ τῶν διὰ ἕλκωσιν ἐντέρων κατεχομένων σκυβάλων, καὶ ἐπὶ τῶν
ῥυπαρῶν ἑλκῶν ἐν τοῖς ἐντέροις. Πηγάνινον δὲ ἔλαιον μετὰ βουτύ- 37
ρου καὶ τερεβινθίνης χρησίμως ἐνίεται ἐπὶ τῶν κωλικῶν ἀλγημάτων.
Ἐνίοτε δὲ πίσσης ὑγρᾶς ∠ γ', ἢ ἀσφάλτου ∠ δ', λεαίνοντες σὺν τῷ 38
πηγανίνῳ ἐλαίῳ ἐνίεμεν· καὶ παύει τὰς ὀδύνας καὶ φλέγμα κενοῖ

[1] τερεβινθίνης Ed. Corrigo ex lat. Cornarii versione.

Une décoction de rue, d'aneth et de cumin, mélangée avec de l'huile, 31
a la propriété de dissiper les gaz; aussi, l'administre-t-on contre les co-
liques. La proportion, dans ce cas, est de deux parties de cette décoc- 32
tion et d'une d'huile.

Le suc de fenugrec mélangé avec du beurre et de la térébenthine, cha- 33
cun dans la proportion d'un quart de ce suc, sert à combattre les coliques
aiguës ou les palpitations. En effet, ce lavement séjourne longtemps 34
sans causer de douleur, et chasse les matières sans agiter le malade. Il 35
est encore très-utile contre les douleurs de l'utérus. On mélange aussi 36
avec du suc de ptisane du beurre et du miel en très-petite quantité, ce
qui fait un lavement très-efficace contre la rétention des matières causée
par l'inflammation des intestins, et contre les ulcères sordides siégeant
dans ces organes. L'huile de rue, mélangée avec du beurre et de la téré- 37
benthine, forme un lavement utile contre les coliques. Quelquefois 38
nous administrons un mélange de 3 drachmes de poix liquide ou de
4 drachmes d'huile d'asphalte, préparé avec l'huile de rue. Ce la-
vement fait cesser les douleurs et sert à évacuer doucement la pituite.

39 ἀλύπως. Ἐνίοτε δὲ οἴνῳ γλυκεῖ ἔρια ῥυπαρὰ ἑψήσαντες καὶ διηθή-
σαντες συμπλέκομεν τῷ πηγανίνῳ ἐλαίῳ, ἐνίεμεν αὐτό· καὶ παύει
τὰς ὀδύνας τοῦ κώλου, ὡς εἶναι τοῦ μὲν οἴνου μέτρα γʹ, τοῦ δὲ ἐλαίου
40 μέτρα βʹ. Ἔτι δὲ [εἰ[1]] κρεμαστήρων ἢ κύστεως ὀδύνη παρείη, καὶ
41 πετροσέλινον λειότατον ἐμπασσέσθω τῷ πηγανίνῳ ἐλαίῳ. Ἐπὶ δὲ
ἀλγημάτων ἀποστηματικῶν, ἢ ἀλγημάτων ἑλκωδῶν ἐν τοῖς ἐντέροις,
βούτυρον μετὰ μάννης ἐνίεμεν, ἢ μυελὸν ἐλάφειον, ἢ μόσχειον μετ'
42 ἐλαίου. Καταψύχρων δὲ ὄντων τῶν νοσημάτων, καὶ νωθρῶν ἀλγη-
μάτων, χαλβάνην μετὰ τοῦ βουτύρου ἐνίεμεν, ὡς εἶναι τῆς χαλβάνης
∠ αʹ τοῦ δὲ βουτύρου γρ. ϛʹ, ἢ στύρακος ὀβολοὺς γʹ μετὰ βουτύρου.
43 «Τοῖς[2] δὲ δριμέσι κλύσμασι χρώμεθα ἐπί τε ἰσχιαδικῶν, ληθαρ-
γικῶν, ὀρθοπνοϊκῶν,» καὶ τῶν καταψύχρων νοσημάτων, ἐπί τε
τῶν θανάσιμον φάρμακον εἰληφότων, καὶ διὰ ψύξιν ἢ θρόμβωσιν
44 ἀναιρούντων. Ἐπὶ μὲν οὖν τῶν κατεψυγμένων ὅλον τὸ σῶμα, ἀπο-

[1] *εἰ* addo, cum lat. versione. — [2] Oribase, *Synopsis*, I, XIX, 14.

---

39 Quelquefois aussi nous faisons cuire des laines grasses dans du vin
doux, puis, après les avoir lavées, nous les enduisons d'huile de rue, et
nous en tirons un lavement qui fait cesser les coliques; la proportion
40 est de 3 parties de vin contre 2 d'huile. S'il y a douleur aux crémasters
ou à la vessie, on répandra du persil sauvage haché très-menu dans
41 l'huile de rue. Dans le cas des douleurs causées par des abcès ou des
ulcères siégeant dans les intestins, nous donnons en lavement du beurre
mélangé avec de la manne ou de la moelle soit de cerf, soit d'agneau,
42 mélangée avec de l'huile. Lorsqu'il s'agit de maladies froides et de dou-
leurs sourdes, nous donnons en lavement du galbanum mélangé avec
du beurre dans la proportion de 1 drachme de galbanum, 6 grammes
de beurre; ou encore un mélange de beurre et de 3 oboles de gomme
de styrax.

Nous employons les lavements âcres en cas de sciatique, de léthargie, d'orthopnée, dans les maladies froides, chez ceux qui ont pris un poison mortel, et contre les poisons agissant par refroidissement ou coagulation[1]. Quand il s'agit de personnes ayant tout le corps refroidi ou

[1] Trad. lat. de Cornarius: *Et in his quæ propter frigiditatem aut concretionem in grumos, occidunt.* (Col. 179, éd. 1549.)

πλήκτων, ἰσχιαδικῶν τε καὶ νεφριτικῶν, κασΊορίου ὀβολοὺς δ' λείους μετ' ἐλαίου ἐνίεμεν. Νίτρον δὲ ἀντὶ ἁλῶν προσβάλλομεν ὅταν βου- 45
λώμεθα δὶς ἢ τρὶς προθυμίαν ἐμποιεῖν πρὸς τὴν ἀπόκρισιν· οἱ γὰρ ἅλες ἀθρόως μὲν δάκνουσιν, οὐ παραμένει δὲ αὐτῶν ἡ δῆξις ἐπὶ πολύ. Κακωτικὸν δὲ κεφαλῆς καὶ συμπληρωτικὸν τὸ νίτρον, καὶ 46
ἀνατρεπΊικὸν σΊομάχου· τοῖς δὲ ἁλσὶν οὐδὲν τοιοῦτον πρόσεσΊι. «Δραστικὰ[1] δέ ἐστιν ἐπὶ τῶν βραχέως ῥηθέντων· γάρος τὸ ἀπὸ σι- 47
λούρων, θάλασσα, ἅλμη, ἀφέψημα κενταυρίου, κολοκυνθίδος, ἀρισΊολόχης, σικύου ἀγρίου ῥίζης,» ἀγαρικοῦ, θύμου, χαμαιπίτυος, κέγχρυος. Οὗτοι γὰρ καὶ αἷμα ἄγουσι, καὶ αὐτῷ γε τούτῳ κουφί- 48
ζουσι τὰς διαθέσεις.

65

ρξ'. Περὶ βαλάνων[2].

Βαλάνοις[3] χρώμεθα ποτὲ [μὲν][4] δι' ἀσθένειαν τῶν καμνόντων οὐ 1

[1] Orib. *Coll. méd.* VIII, xxiv, 3. — [2] Chapitre attribué à Rufus d'après les citations d'Oribase. (Cp. Orib. *Coll. méd.* VIII, xxxix; *Syn*, I, xx.) — [3] Oribase, *Coll. méd.* — [4] μὲν addo.

atteintes d'apoplexie, de sciatique, de néphrétique, on donnera 4 oboles de castoréum préparées avec de l'huile. Nous administrons du nitre au 45
lieu de sel lorsque nous voulons produire par deux ou trois fois l'excitation à l'évacuation; car le sel exerce tout d'un coup son action irritante, mais cette action ne dure pas longtemps. D'autre part, le nitre 46
est dangereux pour la tête, qu'il remplit, et pour l'estomac, qu'il trouble; tandis que rien de tout cela n'arrive avec le sel. Sont efficaces (dans ce 47
genre) les substances que nous allons énumérer sommairement ci-après : garon extrait des silures, eau de mer, eau salée, décoction de centaurée, de coloquinte, d'aristoloche, de racine de concombre sauvage, d'agaric, de thym, d'ivette, de millet. Ces substances activent le sang et soulagent 48
les affections qui s'y rapportent.

65

Ch. CLX. — Des suppositoires.

Nous employons les suppositoires tantôt pour les malades qui, en

δυναμένων χρῆσθαι κλύσμασι, ποτὲ δὲ διὰ τὸ πρὸς τὸ ἀπευθυσμένον[1] τὰ σκύβαλα εἶναι, καὶ μὴ δεῖσθαι κλύσματος, μάλιστα δὲ ἐπὶ πυρετῶν σφοδρῶν καὶ διακαῶν καὶ ἀνάφορον ἐχόντων τὴν ὕλην, ἐφ' ὧν ἐπὶ βλάβης ἐστὶν ἡ τῶν κλυσμῶν χρῆσις· ἀλυπώτατα γὰρ ἐπὶ τούτων ἐξάγεται τὰ ἐγκείμενα περιττώματα[2] διὰ τῶν βαλάνων· χρήσιμα δὲ τοῖς περὶ τὴν κεφαλὴν ψυχροῖς πᾶσι πάθεσι καταφορι-
2 κοῖς καὶ παράφροσι. Γίνεται δὲ αὐτῶν χρεία πολλακὶς καὶ ἐφ' ὧν
τὸ ἐνεθὲν διὰ κλυστῆρος οὐκ ἐκκρίνεται.

3 Σκευάζεται δὲ τὰ βαλάνια διαφόρως· καὶ γὰρ διὰ μέλιτος ἑφθοῦ
4 ἐφ' ὧν μᾶλλον πνευμάτωσις ἐνοχλεῖ. Καὶ θύμος δὲ λεῖος σὺν ἑφθῷ
μέλιτι ἀναλαμβάνεται, καὶ κυκλάμινος λεία σὺν τῷ μέλιτι, καὶ ἀψίνθιον ἢ ἀβρότονον, ἢ θερμὸν ἄλευρον μετὰ μέλιτος (τοῦτο δὲ ἐπὶ ἑλμίνθων ἐπιτήδειον), ἢ ὕσσωπον, καὶ τραγορίγανον, καὶ ἐπίθυμον σὺν τῷ μέλιτι (τοῦτο ἐπὶ στομάχου ἀνατροπῆς[3] χρήσιμον),

[1] *ἀπευθυσμένα* Ed. Je corrige *ἀπευθυσμένον*; cette correction est nécessaire pour le sens et pour la construction. (LITTRÉ.) — [2] *περιττώμενα* Ed. Corrigo ex lat. vers. — [3] *ἀνατροπῇ* Ed. et Orib. Corrigo.

---

raison de leur faiblesse, ne peuvent supporter l'usage des lavements, tantôt à cause que des matières dures sont dans le rectum, et pour se dispenser d'administrer un lavement, mais surtout dans le cas des fièvres très-fortes et ardentes, ainsi que pour ceux chez qui la matière tend à remonter, et sur lesquels (par suite) l'emploi du lavement produit un effet nuisible; car, dans toutes ces affections, les excréments accumulés sont chassés de la façon la plus lénitive par le moyen des suppositoires. Ils sont encore utiles à ceux qui ont des affections froides dans la tête ou qui sont atteints de cataphora et de démence. Ils sont très-bons aussi pour les personnes qui ne rendent pas le lavement qu'elles ont pris.

On préparera les suppositoires de diverses façons, par exemple avec du miel cuit pour les personnes dont la respiration est embarrassée. On mélange encore du thym pilé avec du miel cuit, de la cyclame pilée avec du miel, de l'absinthe ou de l'aurone, ou encore de la bouillie chaude avec du miel (suppositoire particulièrement efficace contre les helminthes), ou enfin de l'hysope, du thym-origan (origan de bouc?) et de la fleur de thym avec du miel (remède utile en cas d'inversion de

ἢ κόκκος κνίδειος μετὰ ῥητίνης ξηρᾶς ἢ μέλιτος ἑφθοῦ, ἢ πύρεθρον
σὺν[1] τῇ ξηρᾷ ῥητίνῃ, ἢ νᾶπυ σὺν τῇ ξηρᾷ ῥητίνῃ, ἢ κενταύριον σὺν
πίσσῃ καὶ κηρῷ (ταῦτα δὲ χρήσιμα ἐπὶ παρέσεως τῶν μορίων), ἢ
ἄσφαλτος, πάνακος ῥίζης βραχὺ, ὕσσωπον, χαλβάνη καὶ ῥητίνη
ξηρά· χρήσιμον δὲ καὶ τοῦτο ἐπὶ τῶν παρεθέντων ὅλον τὸ σῶμα,
καὶ διὰ τοῦτο καὶ τὴν ἀποκριτικὴν δύναμιν καταπεσοῦσαν ἐχόντων·
ποιεῖ δὲ καὶ ἐπὶ[2] παρέσεως τοῦ ἀπευθυσμένου· ποιεῖ δὲ καὶ ἐπὶ
ἀσκαρίδων. Ἐνδέχεται δὲ, ἀντὶ τοῦ μέλιτος, τῇ ξηρᾷ ῥητίνῃ χρῆ- 5
σθαι, ὡς εἴρηται, ἢ πίσσῃ, ἢ σύκῳ λιπαρῷ λειοτάτῳ, ἢ σταφίδι
ἄνευ τῶν γιγάρτων, ἢ σαπώνῃ[3]. Καλλίστη δὲ βάλανος γίγνεται ἐκ 6
τῶν φύλλων τῆς λινοζώστεως χλωρῶν λεανθέντων καὶ ἀναπλασθέν-
των καὶ ξηραινομένων. Ἐπὶ δὲ νηπίων καὶ χόνδρος ἁλὸς ἐντίθεται.

[1] τὴν pro σὺν Ed. Corrigo. — [2] ἀπὸ Ed. Corrigo. — [3] Fort. legend. σάπωνι.

---

l'estomac); des baies de Gnide mélangées avec de la résine sèche ou avec
du miel cuit, du pyrèthre mélangé avec de la résine sèche, de la cen-
taurée avec de la poix et de la cire, tous suppositoires d'un bon effet en
cas de relâchement des parties [du corps]; de l'asphalte, une petite quan-
tité de racine d'opopanax, de l'hysope, du galbanum et de la résine
sèche, remède qui convient à ceux qui ont tout le corps en résolution,
et, par suite, éprouvent un grand affaiblissement dans l'action de rejeter
les matières; il agit aussi contre la paralysie du rectum, de même contre
les ascarides. On peut, à la place du miel, employer la résine sèche, 5
comme on l'a dit, ou de la poix ou des figues grasses hachées très-menu,
ou bien encore du raisin sec sans les pepins, ou du savon. Le meilleur 6
suppositoire est celui que l'on compose avec des feuilles encore vertes
de mercuriale broyées, pétries et desséchées. Pour les enfants, on ap-
plique un grain de sel.

66

ρξε'. Περὶ ὑδάτων[1].

1 Τῶν ϖινομένων ὑδάτων ϖέντε εἰσὶν αἱ καθόλου διαφοραί· ὄμϐριόν τε γὰρ, καὶ ϖηγαῖον, καὶ φρεάτιον, καὶ ϖοτάμιον, καὶ λιμ-
2 ναῖον. Φαίνεται δὲ τούτων τὸ μὲν ὄμϐριον, κουφότατον καὶ εὐμεταϐλητότατον, καὶ τοῖς ἄλλοις ϖάθεσι ϖίνεσθαι κάλλισῖον, ϖαραχρῆμα ἠθούμενον καὶ ἐξαιρούμενον· ϖυρετῷ δὲ καὶ χολέρᾳ, καὶ ἰκτερικοῖς ἀνάρμοσῖον· τρέπεται γὰρ ῥᾳδίως καὶ ἀποχολοῦται[2].
3 Εὔθετον δὲ φάρμακον ὀφθαλμικοῖς, ὅσα ῥεύματά ἐσῖιν, ἢ ἑλκῶν· τοῖς δὲ ὀξυδερκέσιν οὐ κατάλληλον, οὐδὲ ταῖς ϖλύσεσι τῶν μεταλλικῶν φαρμάκων· σῖύψιν γὰρ ἔχει ϖλείω τοῦ ϖηγαίου· διὸ οὔτε ῥύπῖει, οὔτε ἕψεῖ ῥᾳδίως, οὔτε βρέχει, καὶ τὰς ἐκκρίσεις ἐμποδίζει.
4 Χρονίζον δὲ, σῖυφνότερον καὶ βραδυπορώτερον γίνεται, καὶ δυσ-

[1] Cp. Oribase, *Coll. méd.* V, III, et *Synopsis*, IV, XLI. — [2] Mot inconnu des lexiques.

66

Ch. CLXV. — Sur les eaux.

1 Cinq différences distinguent généralement les eaux potables entre elles. Il y a l'eau de pluie, l'eau de source, l'eau de puits, l'eau de ri-
2 vière, et enfin l'eau des étangs. De toutes ces eaux, celle de pluie est évidemment la plus légère et la plus facile à modifier, comme aussi la meilleure à boire pour la plupart des affections, si, aussitôt tombée, on la filtre et qu'on la mette en réserve; mais elle ne convient pas en cas de fièvre, de choléra ou de jaunisse, car elle se transforme aisément
3 en bile. C'est un remède bien approprié aux affections des yeux, soit fluxions, soit ulcères; mais il ne convient pas à ceux à qui on veut rendre la vue claire, ni au lavage des médecines minérales, car elle est plus astringente que l'eau de source; aussi n'est-elle pas très-bonne pour nettoyer, ni pour faire cuire, ni pour humecter, et entrave-t-elle les déjections. En vieillissant, elle devient aigre, lourde[1] et indigeste; elle

[1] Littéralement : d'une marche lente.

διαχωρητικώτερον· βραδύτερον δὲ πέττεται καὶ ἀναδίδοται· γεννᾷ δὲ καὶ κατάῤῥους, μάλιστα εἰ ψυχρὸν πίνοιτο.

Τῶν δὲ πηγαίων ὑδάτων, ὅσα[1] αἱ πηγαὶ πρὸς ἄρκτους ἐῤῥώγασιν 5
ἐκ πετρῶν λειβόμεναι, [πρὸς][2] τὸν ἥλιον ἀπεστραμμένον, ἀτέραμνά
τε καὶ βραδύπορα τὰ τοιαῦτα ὕδατα· καὶ βραδέως θερμαίνεταί τε
καὶ ψύχεται. Ὅσα δὲ πρὸς τὰς ἀνατολὰς ἐῤῥώγασιν αἱ πηγαὶ, καὶ 6
διὰ πώρου[3] τινὸς, ἢ γῆς καθαρᾶς διηθεῖται, θερμαίνεταί τε καὶ ψύχεται τάχιστα. Ταῦτά ἐστιν ἄριστα, εἰ μή τις ἀπ' ὀχετῶν τινῶν αὐτοῖς κακία προσγίγνοιτο.

Τὸ δὲ φρεάτιον ψυχρὸν, γεῶδες, δυσέκκριτον, δυσανάδοτον, καὶ 7
διὰ τοῦτο τοῖς καυσουμένοις στόμαχον ἢ γαστέρα ἐπιτηδειότερον τοῦ πηγαίου.

Ποταμιαῖα δὲ ὕδατα καὶ λιμναῖα, πάντα τὰ κακὰ, πλὴν τοῦ Νει- 8
λώου· τοῦτο γὰρ πάσαις ταῖς ἀρεταῖς κεκόσμηται. Καὶ γὰρ καὶ πι- 9
νόμενον ἡδὺ, καὶ μέτριον χρόνον ἐν κοιλίᾳ διατρίβει. Ἄδιψόν τε 10

[1] ὅσων Ed. Corrigo. — [2] πρὸς addo ex Oribas. *Synops.* IV, XLI, 4. — [3] πόρου Ed. Sic leg. Cornarius. Corrigo ex Orib.

---

met beaucoup de temps à passer et à se faire évacuer; elle engendre aussi des catarrhes, surtout si on la boit froide.

Quant à l'eau des sources, lorsque ces sources jaillissent d'un rocher 5
en coulant vers le nord, du côté opposé au soleil, elle est dure et lourde;
cette eau est, de plus, longue à échauffer et à refroidir. Celle que les 6
fontaines font jaillir dans la direction de l'orient, qui subit une certaine infiltration à travers le tuf ou une terre pure, qui s'échauffe et se refroidit très-rapidement, est la meilleure eau, à moins qu'elle ne soit altérée par une canalisation malsaine.

L'eau de puits est froide, terreuse, difficile à digérer et à évacuer, et, 7
pour ces motifs, plus favorable que l'eau de source à ceux qui éprouvent des cuissons à l'orifice de l'estomac ou dans l'estomac lui-même.

Les eaux de rivière et d'étang sont toutes mauvaises, excepté celle 8
du Nil; car celle-ci possède toutes sortes de vertus. Elle est une 9
boisson agréable, et fait un séjour modéré dans le bas-ventre. Elle 10

ἐσ7ὶ, καὶ εἰ ψῦχρόν τις ϖίνοι, ἀλυπώτατον, καὶ εἰς ϖέψιν καὶ ἀνά-
11 *δοσιν χρήσιμον, ὅθεν εὐάρμοσ7ον, καὶ ῥωμαλέον, καὶ εὔχρουν. Τὸ*
δὲ τῶν ἄλλων ϖοταμῶν ὕδωρ δυσκατέργασ7ον, καὶ κατάξηρον, καὶ
12 *διψῶδες, καὶ μάλισ7α ὅταν μοχθηρὰ τινὰ χωρία διοδεύῃ. Ἀμείνους*
δέ εἰσι τῶν ϖοταμῶν, καὶ ὅσοι διὰ ϖηγῶν ἀεννάων ῥέουσι, καὶ
ὅσοι ἀμιγεῖς εἰσιν ἄλλοις ϖοταμοῖς.

13 *Τὸ δὲ λιμναῖον ὕδωρ, διά τε τὰ ϖέριξ τέλματα, ἰλυῶδες καὶ*
βαρὺ ὑπάρχον, διά τε τὴν σ7άσιν καὶ ἀκινησίαν, οἷον νενεκρωμέ-
νον καὶ σεσηπός· ὥσ7ε οὐδέποτε ϖαρόντος ὕδατος ἑτέρου μεταδο-
τέον τοῦτο τοῖς ἀσθενοῦσι.

14 *Καὶ ϖερὶ δὲ τὴν γῆν καὶ τὰ κλίματα, διαφοραὶ τῶν ὑδάτων*
ϖλεῖσ7αι γίγνονται· συντόμως δὲ εἰπεῖν, τὸ τῇ γεύσει συνηρμο-
σμένον, καὶ τὸ ἐκ τῆς ϖείρας τῶν ἐνοικούντων μαρτυρούμενον, ἄρι-
σ7ον ἡγητέον· τὸ γὰρ ταχέως ἐκθερμαινόμενόν τε καὶ ψυχόμενον,
καὶ ῥᾳδίως ἑψοῦν κρέα τε καὶ τὰ ἄλλα ϖάντα καὶ τὰ σιτία ἐν τῇ

---

n'excite pas la soif, et, bue froide, elle est très-inoffensive; enfin elle
favorise la digestion et la déjection; de là vient son efficacité; de plus,
1 elle est salutaire, fortifiante et d'une bonne couleur[1]. Quant à l'eau des
autres rivières, elle est difficile à traiter, desséchante, altérante, sur-
2 tout lorsqu'elle traverse des terrains malsains. Mais les meilleures
rivières sont celles qui ont des sources perpétuelles et qui ne se mé-
langent point avec d'autres rivières.

3 L'eau des étangs doit aux marécages qui l'environnent d'être vaseuse et lourde, et, en raison de sa stagnation et de son immobilité, est, pour ainsi dire, morte et putréfiée; aussi, comme elle ne se renouvelle jamais, il faut l'administrer aux (tempéraments) faibles.

4 Quant aux terrains et aux expositions, il existe encore une foule de différences entre les eaux. Pour parler sommairement, celle qui aura été appropriée au goût et aura supporté l'épreuve des riverains devra être tenue pour la meilleure; car, si elle s'échauffe et se refroidit promptement, si elle cuit sans difficulté la viande et toutes sortes d'aliments,

[1] La traduction latine de Cornarius suppose un texte différent : *Unde concinnum et robustum et bene coloratum corpus facit.*

γασΊρὶ ϖέτ7ει. Ὅσα δὲ τῶν ὑδάτων σΊύψιν ἢ ἁλμυρίδα, ἢ νιτρωδίαν, ἢ ϖαχύτητα, ἢ ἄλλο τι ϖαρεμφαίνει γευομένοις, ϖονηρά. Καὶ τὰ δύσοσμα, καὶ ὅσα ἐπίπαγον ἴσχει, καὶ ὑπόσΊασιν δυσώδη καὶ σΊερεὰν, καὶ ὅσα ϖροσπήγνυται τοῖς χαλκείοις λιθωδῶς, καὶ ὅσα βδέλλας τρέφει, ἢ τοιαῦτα τινὰ μοχθηρὰ ζῶα, καὶ τὰ σΊάσιμα, καὶ τὰ ἑλώδη, καὶ τὰ ἐν μετάλλοις χρυσοῦ καὶ ἀργυροῦ, ἢ σΊυπ7ηρίας, ἢ θείου, ἢ τῶν ὁμοίων, ὅσοις τε ἐμπεφύκασι ῥίζαι οὐκ ἐπιτήδειοι, καὶ οἷς γειτνιᾷ θερμὰ ὕδατα ἤγουν αὐτοφυῆ, ϖάντα τὰ τοιαῦτα ϖονηρά.

ἌρισΊον οὖν τὸ τοιοῦτον ὕδωρ· ϖροεψήσαντας ἐν κεραμίοις ἀγγείοις, καὶ ψύξαντας, καὶ ϖάλιν θερμάναντας, ϖίνειν. Ἐν δὲ ταῖς ὁδοιπορίαις ἢ σΊρατοπέδῳ βόθρους ὀρυκτέον ἐφεξῆς ἀπὸ τῶν ὑψηλοτάτων εἰς τὰ κατάντη καὶ διὰ τούτων ἀκτέον τὸ ὕδωρ ἐμβάλλοντας εἰς τοὺς βόθρους ὅλους γῆν γλυκεῖαν καὶ λιπαρὰν ἀφ' ἧς οἱ κέρα-

elle les fera bien digérer dans le ventre. Mais toutes les eaux qui manifestent une action astringente, salante, nitreuse, épaississante ou quelque action analogue sur ceux qui les goûtent, devront être réputées nuisibles. Celles qui ont une odeur désagréable, celles dont la surface est crémeuse, celles qui laissent un dépôt nauséabond et solide, celles qui, en s'attachant aux vases d'airain, forment une croûte pierreuse, celles qui nourrissent des sangsues ou quelques animaux de même espèce, mais nuisibles[1]; les eaux stagnantes, marécageuses, celles qui arrosent des mines d'or, d'argent, d'alun, de soufre ou de substances semblables; les eaux dans lesquelles se rencontrent des sources non potables, ou qui sont dans le voisinage de thermes, ou encore qui sont thermales elles-mêmes, toutes ces sortes d'eaux sont nuisibles.

La meilleure eau sera donc celle qui se trouvera dans les conditions suivantes : ne la boire qu'après l'avoir fait bouillir dans des vases de terre cuite, puis refroidir, puis chauffer de nouveau. Dans les marches (militaires) ou dans un camp, il faut creuser des fosses continues du point le plus élevé vers la partie déclive et les faire traverser par l'eau après y avoir jeté de la terre douce et grasse, par exemple celle dont on

[1] Sur l'emploi des sangsues chez les anciens et le caractère venimeux qui leur a été attribué quelquefois, voir *Œuvres d'Oribase*, t. II, p. 790.

μοι γίγνονται· ἀεὶ γὰρ ἐν τοῖς βόθροις ἐγκαταλείπεται ἡ τοῦ ὕδατος κακία.

19 *Καθόλου δὲ ἅπαν ὕδωρ βραδύπορον, καὶ δύσπεπτον, καὶ φυσώ-*
20 *δες, καὶ μάλιστα τὸ ψυχρὸν, κατάῤῥου ποιητικόν. Εἰ δὲ λάχανα*
τὶς προσφερόμενος πίνοι ὕδωρ, κίνδυνος μᾶλλον ἀχῶρα[1], *καὶ ψώ-*
ραν, καὶ λέπρας, ἐξανθήματα καὶ λιχῆνας, πιτυριάσεις καὶ ἕλκη
21 *σηπόμενα, ἕρπητας καὶ σατυριάσεις. Ἐκ τούτων τινὰ τὸν ἄνθρω-*
πον ἔχει· καὶ προσέτι οὖρα δακνώδη καὶ διαχωρήματα καὶ μᾶλλον
εἰ νιτρῶδες εἴη τὸ ὕδωρ. Ἀνάρμοστον δὲ καὶ θώρακι καὶ ἡλκωμένῃ
ἀρτηρίᾳ τὸ νιτρῶδες, καὶ νεφροῖς καὶ κύστει, καὶ πᾶσιν ἕλκεσι.
22 *Βοηθεῖ δὲ τῷ μὲν νιτρώδει τὰ ἀμβλύνοντα τὰ σιτία καὶ οἶνος· τῷ*
δὲ παχεῖ, τὰ τέμνοντα καὶ λεπτύνοντα, οἷον σκόρδα καὶ τὰ παρα-
πλήσια· τῷ δὲ στυπτηριώδει, οἶνος λεπτότατος, οὐρητικὸς κατὰ
πάντα, καὶ πάντα τὰ τὰς ἐκκρίσεις προτρέποντα.

23 *Δοκεῖ δὲ ὕδωρ ἁρμόζειν κεφαλῆς ἀλγήμασιν, ἀμβλυωπίαις, ἐπι-*

[1] *ἀχῶραν* Ed. Corrigo.

---

fait des poteries; car les eaux laisseront toujours leurs mauvaises qualités dans ces fosses.

19 En général, toute eau qui passe lentement, est indigeste, donne des
20 flatuosités, et surtout si elle est glacée, produit le rhume. Si l'on boit
de l'eau en y ajoutant des légumes, il est plus particulièrement à
craindre qu'il n'en résulte de la gourme, la gale, la lèpre, des exan-
thèmes, des lichens, l'herpès, le satyriasis ou quelque autre affection
21 dérivant de celles-là. Il en résulte encore des urines et des selles cui-
santes, notamment si l'eau est nitreuse. Une eau de cette nature ne
convient pas à la poitrine ni à la trachée-artère affectée d'ulcères, non
22 plus qu'aux reins et à la vessie, ou à toute autre partie ulcérée. On
corrige l'eau nitreuse avec des aliments de qualité émoussante et du vin;
l'eau épaisse, avec ceux qui ont la propriété de diviser [les humeurs visqueuses] et d'atténuer [les humeurs épaisses], comme par exemple l'ail et ses analogues; l'eau astringente, avec du vin très-léger, tout à fait diurétique et avec tous les aliments de nature à provoquer les déjections.

23 L'eau paraît convenir aux maux de tête, à l'amblyopie, à l'épilepsie,

ληπτικοῖς, ἀρθριτικοῖς, τρομώδεσι, παραλελυμένοις, καθ' αὑτὸ καὶ
μετὰ μέλιτος προπινόμενον. Οἰκειότερον δὲ ταῖς ὑστερικῶς πνιγο- 24
μέναις, καὶ τοῖς χολῶδες γεννῶσιν, ἢ μέλαν καὶ πυρῶδες, ὑφ' ὧν
στόμα κοιλίας δάκνεται, καὶ αὖ τῇ ἄνω[1] κοιλίᾳ, καὶ νήστει, καὶ τοῖς
ἱδρωτικοῖς νέοις, εὐσάρκοις, καὶ τοῖς πιμελώδεσι πᾶσι, καὶ τοῖς
ὑπερκαθαιρομένοις, καὶ τοῖς αἱμοῤῥαγοῦσιν ἐκ τραύματος, ἢ μυ-
κτήρων, ἢ ἑτέρου τόπου. Εὐθετεῖ δὲ καὶ καυσώδει πυρετῷ ἐν καιρῷ 25
διδόμενον. Εὐθετεῖ δὲ καὶ τοῖς ὀνειρώττουσι συνεχῶς, καὶ γονοῤ-
ῥοϊκοῖς πινόμενον. Εἰ δὲ καὶ νηχόμενοι καὶ προσαντλούμενοι, ὠφε- 26
λοῦνται. Καὶ γυναιξὶ ῥοώδεσι καὶ κιττώσαις[2]· ἁρμόζει καὶ τοῖς λύ- 27
ζουσι καὶ τοῖς τὸ στόμα δυσώδες ἔχουσι, ψυχρὸν πινόμενον.

Χλιαρὸν δὲ ἁρμόδιον ἐπιληπτικοῖς, κεφαλαλγικοῖς, ὀφθαλμιῶσιν, 28
οὔλοις ὀδόντων ἀναβιβρωσκομένοις, καὶ ὀδοῦσι τετραμμένοις [διὰ][3]

[1] *αὐτύνῳ* Ed. Cornarius a dû lire *εὐτόνῳ*. Il traduit : Robusto ventri. Je corrige *αὖ τῇ ἄνω κοιλίᾳ*, ce qui donne un sens plausible et est plus voisin de la leçon manuscrite. (Littré.) — [2] *κητώσαις* Ed. Corrigo. — [3] *διὰ* addo. (Littré.)

---

aux affections articulaires, au tremblement nerveux, à la paralysie,
employée seule ou mélangée avec du miel. Elle est encore plus efficace 24
pour les suffocations utérines et pour les personnes chez qui se produit
un excès de bile noire ou jaune, ce qui est mordicant pour l'orifice de
l'estomac; elle est bonne derechef pour le ventre supérieur, pour le
jejunum; pour les jeunes gens qui ont un embonpoint accompagné
de sueurs; pour les personnes de tout âge qui sont trop grasses ou
que l'on a purgées à l'excès; pour ceux qui ont des hémorragies pro-
venant d'une blessure, des narines ou autre lieu. Elle convient encore 25
contre la fièvre ardente, si on la donne à propos; elle ne convient pas
moins, prise comme boisson, contre les pollutions nocturnes conti-
nuelles et la gonorrhée. En natation et en affusions, on s'en trouve bien 26
pareillement. Elle réussit aux femmes sujettes à un excès de flux ou aux 27
envies; elle est encore d'un bon usage, bue froide, pour ceux qui ont le
hoquet et pour ceux dont l'haleine est fétide.

L'eau tiède convient contre l'épilepsie, la céphalalgie, l'ophthalmie, 28
la corrosion des gencives, pour les dents déviées par des abcès des gen-

οὐλῶν ἀποσΊήματα καὶ αἱμάσσουσι, καὶ φάρυγγι ἡλκωμένῃ, παρισθμίων ῥεύματι ἀπὸ κεφαλῆς, μελαγχολίᾳ πυρώδει, καὶ χολέρᾳ
29 *κατ' ἀρχὰς καὶ ἐμέσασιν ἐν πυρετῷ χολώδει. Ἁρμόζει δὲ τὸ χλιαρὸν ὕδωρ καὶ ὅταν τῷ ψυχρῷ κώλυμα εἴη καὶ τοῖς ἕλκη ἔχουσι περὶ τὸ διάφραγμα, καὶ τοῖς αἷμα πΊύουσι, καὶ ῥήγμασι τοῖς ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ὑμένι.*

30 *Θερμὸν δὲ ὕδωρ ἁρμόζει ὅπου δεῖ ἔκκρισιν παρασκευάσαι καὶ ὅπου λεπΊῦναι τι, καὶ ὅπου διαχέαι, ἢ τῆξαι, ἢ ἁπαλῦναι, ἢ ἀπο-*
31 *πλῦναι, ἢ συμπέψαι, ἢ διαφορῆσαι βουλόμεθα. Καθόλου μὲν οὖν ταῦτα δύναται τὸ θερμὸν πινόμενον· κατὰ μέρος δὲ μύξαν ἄγειν, καὶ ἀναχρέμψει συνεργεῖν, καὶ ὀδύνην πᾶσαν πραΰνειν, καὶ μάλισΊα ἐν ὑποχονδρίοις καὶ ἐντέροις ἐρυγὴν κινῆσαι, καὶ φῦσαν*
32 *προσκαλέσασθαι, καὶ οὖρον ἀγαγεῖν καὶ διαχώρημα. Ἀγαθὸν δὲ καὶ πέψαι καὶ ἀναδοῦναι, καὶ θρέψαι καὶ αὐξῆσαι· γυναικείων ἀγωγόν· νεύροις καὶ ἄσθμασιν ἐπιτήδειον, καὶ πλευρίτιδι, καὶ περι-*
33 *πνευμονίᾳ, καὶ συνάγχῃ. Εἴτε οὖν τρέφει, εἴτε οὐ τρέφει, εἴτε τῆς*

---

cives et saignant; contre l'ulcération du pharynx, la fluxion aux amygdales descendant de la tête, la mélancolie brûlante, le flux de bile au
29 début, et les vomissements survenant dans la fièvre bilieuse. L'eau tiède convient aussi dans certains cas où l'eau chaude serait impossible, et pour ceux qui ont des ulcères vers le diaphragme, qui crachent le sang, ou qui ont des déchirures dans la membrane ceignant la plèvre.

30 L'eau chaude convient lorsqu'il s'agit de préparer la déjection ou quand nous voulons atténuer, dissoudre, faire fondre ou amollir, net-
31 toyer, favoriser une coction ou une diaphorèse. En général on obtient ces divers résultats en buvant de l'eau chaude; plus particulièrement, c'est encore un moyen d'activer la sécrétion nasale, de concourir à l'expectoration, de soulager toute espèce de douleur, et surtout de provoquer la sortie par en haut des gaz formés dans les hypocondres et dans les intestins, de solliciter les flatuosités et de faire uriner ou aller à la
32 selle. L'eau chaude est également efficace pour la coction, la diffusion de l'aliment, la nutrition, l'accroissement; elle favorise le flux des femmes; elle est favorable dans le cas des maladies nerveuses et de l'asthme, de
33 la pleurésie, de la péripneumonie et de l'angine. Quant à savoir si elle

τροφῆς ὄχημα, οὐ πρόκειται ζητῆσαι ἐνταῦθα. Ὃ δὲ εἰπεῖν ἀναγ- 34
καῖον, τοῦτό ἐστιν ὡς ὕδατος χωρὶς πεφθῆναι τροφὴν ἀδύνατον·
ὥσπερ οὐδὲ χωρὶς ὕδατος ἑψηθῆναί τι χρησίμως δυνατόν. Τὸ δὲ 35
ἀπὸ κονίας ὕδωρ πινόμενον σπληνικοὺς ὠφελεῖ, καὶ εἴτις ἄρτον ἐκ
τοιούτου ὕδατος σκευάσας αὐτοῖς δοίη, ἱκανῶς ὠφελεῖ.

67

Ε', πγ'. Τεταρταίου ἀκριβὴς διάγνωσις.

Οἱ μὲν οὖν ἀπὸ σπληνὸς τὴν ἀρχὴν λαβόντες τεταρταῖοι, χρονιώ- 1
τεροι. Κατάδηλοι δὲ γίγνονται τῇ χροιᾷ, καὶ ταῖς ἀπεψίαις, καὶ 2
τῷ μὴ ῥᾳδίως τὴν γαστέρα ὑποχωρεῖν, καὶ τῷ τοῦ σπληνὸς ὄγκῳ,
καὶ τῷ ἐπ' ἀριστερὰ κλίνεσθαι μᾶλλον. Κίνδυνος δὲ ἐπὶ τούτοις τοῖς 3
σημείοισιν τῷ χρόνῳ τὸν ἄνθρωπον ὑδέρῳ περιπεσεῖν[1]. Ἐπὶ δὲ 4
ἥπατι φλεγμαίνοντι, λευκόχροοί εἰσι, καὶ ὑδαλέοι παντὶ τῷ σώ-

[1] Leçon de P. L'édition porte : Κίνδυνος δ. καὶ ὑδ. περιπ. τῷ χρ. τὸν ἄνθρ. et omet ἐπὶ τ. τ. σημ.

---

nourrit ou si elle ne nourrit pas, et si elle est simplement un véhicule de
la nourriture, ce n'est pas le moment d'aborder cette question. Tout ce 34
qu'il faut dire ici, c'est que les aliments ne peuvent être digérés sans
eau, de même que sans eau rien ne peut être bouilli pour une desti-
nation utile. L'eau bue après qu'on l'a fait passer par la chaux fait du 35
bien aux personnes malades de la rate, et le pain préparé avec cette
sorte d'eau est d'une grande efficacité pour ces malades.

67

Liv. V, ch. LXXXIII. Diagnostic exact de la fièvre quarte.

Les fièvres quartes prenant leur principe dans la rate sont celles qui 1
durent le plus longtemps. Ces fièvres sont reconnaissables au teint (du 2
malade), à la difficulté de ses digestions et de ses évacuations, au gon-
flement de sa rate et à la tendance à se coucher de préférence sur le
côté gauche. Il y a danger qu'avec le temps, lorsque ces signes se ma- 3
nifestent, il ne devienne hydropique. Lorsque la fièvre quarte est ac- 4
compagnée d'inflammation du foie, ceux qui l'ont sont blêmes; l'hy-

5 ματι, καὶ οὖρα τούτοις σανδαραχώδη, καὶ ἐξέρυθρα. Καὶ ἁπτομένοις 6 δὲ τοῦ δεξιοῦ ὑποχονδρίου[1], ὄγκος ὑποπίπτει. Οὗτοι καὶ δυσπνοοῦσι μᾶλλον τῶν σπληνικῶν, καὶ ὑποβήσσουσι, καὶ τελευτῶντες, εἰς ἀφύκτους ὑδέρους ἐμπίπτουσι.

68

πδ'. Τεταρταίου θεραπεία.

1 Ἀψινθίου δὲ ἀπόβρεγμα τοὺς[2] τῇ κοιλίᾳ ἐνοχλοῦντας χυμοὺς ἀποῤῥύπτει, καὶ τῇ πέψει συνεργεῖ· ὅθεν οὐδὲ σιελίζουσιν οἱ πίνοντες τοῦ ἀψινθίου.
2 Πραΰνει δὲ καὶ τὰς ἐν ἥπατι καὶ σπληνὶ φλεγμονὰς, καὶ οὖρα ἄγει, καὶ γυναικεῖα καταμήνια φέρει.
3 Καὶ[3] συνηθείας δὲ τῷ νοσοῦντι ὑπαρχούσης, καὶ τῇ κατὰ κοιλίαν κενώσει χαιρούσης τῆς ἕξεως, καὶ δηκτικῶν ἰχώρων ὑπογιγνομένων, νεοβδάλτου γάλακτος ὀνείου μὲν[4] ἢ ἱππείου ἔδωκά τισιν οἷς μᾶλλον ἠβουλήθην καθάραι, αἰγείου δὲ ἄλλοις, διὰ τὸ σύνηθες καὶ εὐπό-

[1] Ita P. καὶ ἁπτ. δὲ ὀ. ὑ. τ. ὑποχ. Ed. — [2] τοῦ Ed. τοῖς P. Corrigo. — [3] φέρει. Καὶ om. Ed. φέρει, addition de P. est peut-être une interpolation. — [4] μὲν forte delendum cum P.

---

dropisie les affecte par tout le corps, leurs urines sont couleur vermillon 6 très-rouge. Si l'on palpe l'hypocondre droit, on y sent une tumeur. Ces malades respirent plus difficilement que ceux qui souffrent de la rate; ils ont un peu de toux, et finissent inévitablement par devenir hydropiques.

68

Ch. LXXXIV. Traitement de la fièvre quarte.

1 Une infusion d'absinthe balaye les humeurs qui sont à charge au ventre et favorise la digestion; c'est pour cette raison que ceux qui boi-
2 vent de l'absinthe ne salivent pas. Ce remède calme aussi l'inflammation du foie et celle de la rate; il est diurétique et provoque les menstrues.
3 Lorsque le malade s'était fait une habitude de son mal, que la constitution aimait l'évacuation par le ventre, et s'il survenait des sérosités mordicantes, j'ai donné quelquefois du lait d'ânesse ou de jument nouvellement trait à ceux que je préférais purger, et du lait de chèvre aux autres, à cause de

ρισῖον. Τρεῖς δὲ κοτύλας ἀρξάμενος ἐδίδουν, προάγων[1] ἐπὶ κοτύλας 4
ἕξ, ἔπειτα διαλιπὼν μίαν περίοδον, ὁμοίως ἠρχόμην ἀπὸ τριῶν κοτυ-
λῶν, καὶ κοτύλην καθ' ἑκάσῖην προσῖιθεὶς[2], ἀνῄειν ἐπὶ τὰς ς'. Ἔπειτα 5
ὑφαιρῶν κατὰ μίαν κοτύλην καθ' ἑκάσῖην ἡμέραν, καὶ πάλιν ἀφι-
σῖάμην ἐπὶ δύο περιόδους. Καὶ ἅμα ἥ τε νόσος διελέλυτο, καὶ τὸ 6
σῶμα προσετέθραπῖο[3]. Εὔχυμον δὲ εἶναι χρὴ τὸ ζῶον οὗ τὸ γάλα 7
προσάγομεν. Εἰ δέ τινι μὴ ὀξύνεται, μήτε κνισσοῦται, μήτε κατὰ 8
κοιλίαν ὁρμᾶται, καὶ ἐν τῇ ὑπόπῖῳ ἡμέρᾳ ἀντὶ τοῦ ῥοφήματος,
σύμμετρον διδόναι πρὸ πολλῆς τῆς ὥρας· καὶ ψωμοὺς ὀλίγους ἐπι-
δοτέον. Ἐν ἀκμῇ δὲ ὄντος τοῦ νοσήματος, προφανείσης δηλονότι 9
σαφεσῖάτης πέψεως, μηδενὸς τῶν σπλάγχνων βεβλαμμένου, τοῖς εἰ-
θισμένοις κατὰ τὸν καιρὸν τῆς ὑγείας, καὶ ψυχρὸν ὕδωρ δέδωκα.
Μελλούσης σύνεγγυς τῆς εἰσβολῆς ἀθρόον ὅσον κοτύλας δύο· καὶ 10

[1] προσάγων P. — [2] προτιθείς Ed. Corrigo ex Cornario. — [3] ἐτέθρεπῖο Ed. προσετέθρανται P. Corrigo.

---

l'usage commun et de la facilité qu'on a de se le procurer. Je commen- 4
çais par une dose de 3 cotyles, allant ensuite jusqu'à 6, puis, après une
certaine période d'interruption, je reprenais la dose primitive de 3 co-
tyles, et, ajoutant 1 cotyle chaque jour, je revenais à la dose de 6. Après 5
cela, je réduisais la dose chaque jour d'une cotyle, puis je prescrivais
l'abstention pour deux périodes. J'obtins ainsi ce double résultat que la 6
maladie se dissolvait et que le malade s'alimentait. Seulement il faut 7
s'assurer du bon état de l'animal dont on emploie le lait. Si ce lait ne 8
s'aigrit pas dans l'estomac, s'il ne donne pas des renvois nidoreux, s'il
ne fait pas irruption dans le ventre[1], même dans un jour suspect, en
place de la décoction d'orge, il convient de le faire prendre longtemps
avant (l'accès); de plus, on y joindra quelques bouchées de pain. Lorsque 9
la maladie est parvenue à son acmé, c'est-à-dire que la digestion est visi-
blement avancée[2], sans que les entrailles soient lésées, je donne aussi
de l'eau froide à ceux qui ont l'habitude d'en boire étant en santé. Aux 10

[1] Cornarius : *Si. . . neque per ventrem erumpit.*
[2] Cornarius : *Apparente manifestissima concoctione.*

ἀδιαψεύστως ἀπέστρεψα πολλοὺς τοῦ ῥιγῶσαι οὐκ ὀλιγάκις καὶ τῶν
11 πυρετῶν ἐξαλειφθέντων. Ἄμεινον δὲ καὶ ἔξωθεν θερμαίνειν τὸ σῶμα κυπρίνῳ, ἢ σικυωνίῳ, ἢ γλευκινῷ[1], πρὸ μὲν τῶν παροξυσμῶν, ὥστε μὴ ῥιγοῦν, παυομένων δὲ, ὥστε μὴ ἐκ τῶν ἔξωθεν προσπιπτόντων καταψύχεσθαι.

69

ϛε'. Περὶ λοιμοῦ[2].

1 Πάντα δὲ γένοιτο[3] ἐν λοιμῷ τὰ δεινότατα, καὶ οὐδὲν ἀποκρύπτεται[4] ὥσπερ καθ' ἕκαστον νόσημα· τὰ γὰρ πλεῖστα καὶ ποικίλα, καὶ παραφροσύναι διάφοροι γίγνονται, καὶ χολῆς ἐμετοὶ, καὶ ὑποχονδρίων ἐντάσεις καὶ πόνοι, καὶ ἱδρῶτες πολλοὶ, καὶ ψύξις ἀκρωτηρίων, καὶ διάῤῥοιαι χολώδεις, λεπταὶ, φυσώδεις, καὶ οὖρα τοῖς μὲν

[1] ἢ γλευκ. om. Ed. add. P qui leg. γλυκ. Corr. (Littré.) — [2] Cp. Oribase, *Synopsis*, VI, xxv. — [3] πάντα γένηται Orib. — [4] ἀποκρύπτεσθαι P.

---

approches de l'accès, j'en fais prendre coup sur coup 2 cotyles, et infailliblement il m'est arrivé plus d'une fois de soustraire les malades au
11 frisson et de dissiper les fièvres, après une onction générale. Il est préférable aussi de réchauffer le corps extérieurement avec une friction d'huile de troëne, de coloquinte ou de moût de vin, soit avant le paroxysme, pour faire cesser le frisson, soit au déclin de la fièvre pour éviter un refroidissement causé par les choses extérieures.

69

Ch. xcv. — Sur la peste.

1 La peste amène avec elle toute espèce de maux très-dangereux, et rien n'y est caché[1], comme dans chacune des autres maladies; des accidents multiples et très-variés s'y produisent (tels que) délire de diverses sortes, vomissements de bile, gonflement et douleurs aux hypocondres, sueurs surabondantes, refroidissement des extrémités, flux de ventre bilieux, ténus et accompagnés de vents, urines aqueuses, ténues chez

[1] ἀποκρύπτεται. Il est probable que le compilateur Aétius avait sous les yeux, au lieu de la bonne leçon ἀποκεκριμένον, conservée par Oribase, une copie fautive portant ἀποκεκρυμμένον.

ὑδατώδη, λεπτά, τοῖς δὲ χολώδη, τοῖς δὲ μέλανα, ὑποστάσεις κακὰς
ἔχοντα, καὶ ἐναιωρήματα κάκιστα, ἀπὸ ῥινῶν αἵματος στάξεις,
καύματα ἐν θώρακι, γλῶσσαι καταπεφρυγμέναι[1], ἀγρυπνία, σπα-
σμοὶ βίαιοι, καὶ ἄλλα δὲ πονηρὰ ἕλκη, καὶ ἀνθρακώδη. Καὶ πάν- 2
δεινα γένοιτ' ἂν ἐν λοιμῷ, κατά τε τὸ ἄλλο σῶμα καὶ ἐν προσώπῳ
καὶ παρισθμίοις. Εἰ δέ τις συνετὸς εἴη, προγνώσει τὸν μέλλοντα 3
ἥξειν ἐκεῖνον λοιμὸν, προσέχων ταῖς ὥραις πονηραῖς τε οὔσαις καὶ
τοῖς ἀλόγοις προαπολουμένοις[2]. Εἰ μὲν γὰρ ὁ περιέχων ἡμᾶς ἀὴρ 4
αἴτιος γίγνοιτο τοῦ λοιμοῦ, τῶν πτηνῶν πάντων [καὶ] ὀρνίθων ἑτέ-
ρων[3] ἡ θνῆσις ἔσται πρότερον· εἰ δὲ ἐκ τῶν ἀπὸ τῆς γῆς μοχθη-
ρῶν ἀναθυμιάσεων τοῦτο συμβαίη, τῶν τετραπόδων ζώων ἡ φθορὰ
γίγνεται πρότερον. Ὅταν δὲ ταῦτα ἐνθυμηθῇς, προσέτι δὲ κἀκεῖνο 5
ἐνθυμοῦ, ποταπὴ μὲν ἡ παροῦσα ὥρα τοῦ ἔτους, ποταπὸν δὲ τὸ
σύμπαν ἔτος· ἐντεῦθεν γὰρ[4] τὰς διαίτας εὑρήσεις ποιεῖσθαι κάλ-

[1] καταπεφριγμ. Ed. Corrigitur ex Orib. et Cornarii. lat. vers. — [2] προσαλλομένοις Ed. προσαπολομένοις P. Corrigo ex Orib. ubi προαπολλυμένοις. — [3] Ed. om. πάντων et ἑτέρων. add. P. Addo καὶ. — [4] ἐνταῦθα καὶ P.

---

les uns, bilieuses chez les autres, noires chez d'autres encore, ayant des
sédiments mauvais et des énéorèmes très-mauvais; saignements de nez,
chaleurs ardentes dans la poitrine, langue brûlée, insomnie, spasmes
violents, ulcères malins, charbonneux. Il y a dans la peste des symp- 2
tômes terribles qui se manifestent sur le visage, aux amygdales et sur
tout le reste du corps. Si l'on est sagace, on reconnaîtra à l'avance l'in- 3
vasion de la peste en ayant égard aux saisons malfaisantes et aux ani-
maux qui périssent antérieurement (aux hommes). En effet, si c'est 4
bien l'air dont nous sommes environnés qui engendre la peste, les vo-
latiles et les autres sortes d'oiseaux seront les premiers atteints; si elle
a pour origine des émanations miasmatiques sortant de la terre, ce seront
les quadrupèdes. Quand vous aurez tenu compte de ces pronostics, vous 5
aurez encore à considérer la nature de la saison courante, et celle de
l'année entière; car c'est en partant de ces données que vous trouverez
moyen d'établir très-bien le régime; comme par exemple si telle saison

λισ7α· οἷον τῆς μὲν ὥρας εἴπερ ἦν ὀρθῶς γιγνομένη [ξηρᾶς ὑπαρχούσης][1], ἀλλ' εἰ μὲν ὑγρὰ γεγένηται, ἀνάγκη καὶ τὴν δίαιταν ἐπι-
6 ξηραίνειν, ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλίσκηται. Προσεπιβλέπειν δὲ καὶ τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων, μή ποτε εἰς ὑγιείαν οὐ συμ-
7 φέρωσι[2], καὶ ταῦτα κωλύειν. Ἐπιμελητέον δὲ καὶ τῆς γασ7ρός· εἰ δὲ ἡ κοιλία φλέγμα ἔχοι, ἐμετοῖς κενοῦν· οἷς δὲ τὸ αἷμα ὑπερβάλλει,
8 φλέβα τέμνειν. Ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις, καὶ ὅσαι
9 εἰσὶν ἄλλαι [καὶ ἡ][3] κατὰ πᾶν τὸ σῶμα κάθαρσις. Εἰ δὲ καυσούμενος ὁ ἄνθρωπος εἴη, καὶ φλὸξ ἄχρι σ7ήθους ἀνίοι, [οὐκ] ἀπὸ τρόπου ψυκτήρια τοῖς σ7ήθεσι προσάγειν, καὶ τὸ πόμα ψυχρὸν προσφέρειν, μὴ κατὰ μικρὸν προσφέροντας· νικώμενον γὰρ ὑπὸ τῆς πλείονος ἐν τῇ κοιλίᾳ θερμότητος, συμμοχθηρεύεται, καὶ ἀνακαίει πλείονα[4]· ἀλλὰ καὶ ἄγαν μεμάθηκεν ὁ ἰατρὸς[5], καὶ πολὺν καὶ
10 ἀθρόον[6] διδόναι, ὡς τῷ πλήθει σβέσαι τὴν φλόγα. Εἰ δὲ ὁ καῦσος ἔχοι

[1] Hæc addo ex Orib. — [2] συμφέρουσι Ed. Corrigo. — [3] ὅσα... ἄλλα Ed. Corrigo ex Orib. — καὶ ἡ addo ex Orib. — [4] πλέων Orib. fort. melius. — [5] ἄγαν μεμάθηκεν ὁ ἰατρός add. P. — [6] καὶ ἀθρόον om. P, f. melius.

---

devait être sèche, du moins dans l'ordre régulier, et qu'elle devînt humide, il faut alors adopter le régime desséchant afin que l'excès d'humi-
6 dité soit absorbé. On devra aussi avoir égard aux occupations des indi-
7 vidus, qui compromettraient leur santé, et les leur interdire. Prendre soin du ventre; si l'estomac contient de la pituite, l'évacuer par des vo-
8 missements. Les personnes chez qui le sang sera surabondant, on les saignera. La purgation par les urines est encore une bonne chose, ainsi que toutes les autres, et notamment celle qui se fait par tout le
9 corps. Si le malade a une fièvre ardente et que le feu remonte jusqu'à la poitrine, il ne sera pas hors de propos d'appliquer des réfrigérants sur la poitrine et d'administrer de la boisson froide, non pas par petites quantités, car, surpassée par la supériorité de la chaleur du ventre, elle contribue à la souffrance du malade et augmente le feu qui le dévore. Mais le médecin apprend, par une complète expérience, à la donner en abondance et tout d'un coup, afin d'éteindre le feu par la grande quantité du liquide. Si la fièvre ardente occupe l'intérieur, tandis que les

τὰ ἔνδον, [τὰ][1] ἄκρα δὲ καὶ τὰ ἐπιπολῆς ψυχρὰ εἴη, καὶ τὸ ὑποχόνδριον συντείνοιτο, καὶ ἡ γαστὴρ τὰς συντήξεις, τὰς μὲν ἄνω πέμποι[2], τὰς δὲ κάτω, ἀγρυπνία δὲ εἴη, καὶ παραφροσύνη, καὶ γλώσσης τραχύτητες, τούτοις δεῖ θερμάσματα προσφέρειν, ὥστε ἑλκυσθῆναι τὸ θερμὸν ἐπὶ τὴν ἐπιφάνειαν τοῦ σώματος, καὶ ὡς οἷόντε ἄλλῳ τρόπῳ μηχανᾶσθαι ἀνάγειν τὸ θερμὸν ἐκ τοῦ βάθους πρὸς τὰ ἔξω.

70

ϛ', θ'. Περὶ μελαγχολίας.

Πάντων μὲν οὖν τῶν παρεπομένων ἑκάστῳ συμπτωμάτων τὰς 1
αἰτίας εἰπεῖν, ἀδυνάτον· ἀπορίαν γὰρ πολλὴν ἔχει τὰ πλεῖστα,
οἷον, διὰ τί μὲν[3] φεύγουσιν ὡς δεινὰ, μὴ ὄντα δεινὰ, τὰ δὲ διώκουσιν
ὡς χρηστὰ, μὴ ὄντα χρηστά· καί διὰ τί ὁ μὲν τοὺς οἰκείους φοβεῖται,
ὁ δὲ ὅλους τοὺς ἀνθρώπους, καὶ τὰ τοιαῦτα. Τῶν πλείστων δὲ τὰς 2

[1] ἔσω P. τὰ addo. — [2] πέμπει Ed. Corrigo ex Orib. — [3] F. l. διὰ τί [τὰ] μέν.

---

extrémités et la surface seraient froides en même temps que l'hypocondre serait tendu, que le ventre chasserait des matières colliquatives, les unes par en haut, les autres par en bas, qu'il y aurait insomnie, délire, rugosité de la langue; il faut alors recourir aux topiques réchauffants, afin d'attirer la chaleur à la surface du corps, et, par tous les autres moyens praticables, de faire remonter la chaleur du fond du corps à sa partie extérieure.

70

Liv. VI, ch. IX. — Sur la mélancolie.

[1] Dans X et dans Cornarius, le chapitre XVII ne commence qu'ici. Texte de X : Ἴκτερος καλεῖται ἢ ὠνόμασται ἀπὸ ἐμφ. — [2] γαλὴ mss. ἰκτὴ, mot inconnu. — [3] Ita X : ἀνάλυσις P. — [4] ἐκτ. καὶ om. X, habet P. ἐκτετονηκ. legit P.

---

naturels. Le deuxième mode est dû à une dyscrasie chaude du foie, la- 6
quelle répand la bile dans le sang de tout le corps; ce mode se produit
avec la fièvre; il comporte des urines et des excréments bilieux, sans
pesanteur du foie. Le troisième mode a pour cause l'obstruction, et il se 7
manifeste par les indices suivants : le foie devient lourd, et tout le corps
est inondé de bile jaune, les urines et les excréments sont blancs, par
suite de ce que les obstructions empêchent la bile de descendre, soit
dans les intestins pour colorer les matières, ou dans les reins pour co-
lorer l'urine.

D'où vient le nom d'ictère? De l'analogie de cette affection avec l'ani- 8
mal appelé ἰκτή [fouine], espèce de belette sauvage qui a des yeux cou-
leur d'or. L'ictère est une diffusion de l'humeur bilieuse dans le corps, 9
se produisant alors que la force séparative de cette humeur a été dimi-
nuée et n'est plus capable de la diviser et de la répartir par ses voies se-
crétives habituelles. Il faut considérer comme une erreur l'opinion que le 10

1 πάντων τῶν ἰκτερικῶν. Ὁρᾶται γὰρ τὰ πολλάκις μηδενὸς πεπον-
θότος τοῦ ἥπατος χωλῆς ὠχρᾶς ἀνάχυσις[1] ἐπὶ τὸ δέρμα γιγνομένης
2 ἐν ταῖς κρίσεσι τῶν νοσημάτων. Ὁρᾶται δὲ καὶ χωρὶς πυρετοῦ
ἐκχολούμενον ἐνίοτε τὸ αἷμα, κατά τινα διαφθορὰν[2] ἀλλόκοτον,
3 ὁποία καὶ ἰοβόλων θηρίων δακνόντων γίγνεται. Δηχθεὶς γάρ τις
ὑπὸ ἐχίδνης τὴν χροιὰν ὅλου τοῦ σώματος ἔσχε πρασσοειδῆ, καὶ
4 πίνων συνεχῶς τῆς θηριακῆς τάχιστα ἰάθη. Θαυμαστὸν οὖν οὐδὲν
τοιαύτην συμβῆναί ποτε παρατροπὴν τῶν ἐν τῷ σώματι χυμῶν,
5 ὡς ἰκτερωθῆναι τὸ πᾶν σῶμα. Διὰ τοῦτο δὲ δύνατον[3] καὶ διὰ τὴν
τοιαύτην ἀλλοίωσιν τοῦ ἥπατος τῆς κατὰ φύσιν κράσεως τὴν τοιαύ-
την γενέσθαι κακοχυμίαν, καὶ φαίνεται σαφῶς ἐνίοτε ὅμοιον ὠχρο-
λεύκοις πόαις ὅλον τὸ σῶμα[4] γιγνόμενον, ἐνίοτε δὲ καὶ μολιβδῶδες·
ὥσπερ γε καὶ διὰ τὸν σπλῆνα αἱ τοιαῦται γίνονται αἱ χροιαὶ με-
λάντεραι τῶν ἐν ἥπατι ἀτονούντων, δῆλον ὅτι τοῦ σπληνὸς κατὰ τὸ

[1] Ita X. ἀνάλυσις P. — [2] διαφορὰν P. — [3] Διὰ τ. om. X, qui legit Δυν. κ. f. melius. — [4] Rédaction de X : καὶ φαίν. σ. ἐν. ὅμ. ὠχρόλευκον πολλοῖς ὅ. τ. σ.

---

1 foie est affecté chez tous les ictériques. On voit souvent, sans que le foie
éprouve aucune affection, se produire une diffusion de la bile jaune
2 dans le derme, pendant la période critique des maladies. On voit quel-
quefois aussi, indépendamment de toute fièvre, le sang troublé par la
bile à la suite d'une altération provenant d'une cause étrangère, telle que
3 la morsure d'une bête venimeuse. En effet, une personne mordue par
une vipère eut tout le corps d'une couleur jaune verdâtre, et, s'étant
mise à boire d'une manière continue de la thériaque, fut promptement
4 guérie. Il ne faut donc pas s'étonner qu'il y ait parfois une telle aberra-
5 tion des humeurs du corps, qu'il se produise un ictère général. Il est
possible aussi, pour cette raison et à cause de l'altération survenant
dans le tempérament naturel du foie, qu'il se produise un genre de
cacochymie consistant en ce que tout le corps devient manifestement,
tantôt semblable aux herbes de couleur jaune clair, tantôt couleur
plomb, et cette teinte tire plutôt sur le noir, si la maladie est dans la
rate, que si elle affecte le foie, d'autant plus que la rate attire à elle,

σύνηθες ἕλκειν εἰς ἑαυτὸν ἐκ τοῦ ἥπατος τὸν μελαγχολικὸν χυμόν,
καὶ ἐκκαθαίρειν τὸ αἷμα.

Γενήσεται δέ ποτε ἴκτερος καὶ δι' ἀτονίαν τῆς χοληδόχου κύ- 16
στεως ἕλκειν εἰς ἑαυτὴν τὸ χολῶδες κατὰ τὸ σύνηθες, καὶ ταύτης
μὴ δυναμένης καὶ διὰ τοῦτο ἀκάθαρτον τὸ αἷμα καταλειπούσης.
Ἐγχωρεῖ[1] δὲ καὶ πληρωθεῖσαν τὴν χοληδόχον κύστιν μὴ δύνασθαι 17
κενωθεῖναι διὰ τὴν ὑπερπλήρωσιν, ποτὲ δὲ δι' ἔμφραξιν ἢ ἀτονίαν
τῶν εἰς ἧπαρ ἐξ αὐτῆς ἀναστομωμένων ἀγγείων, οὐχ ἕλξειν[2] τὸ
χολῶδες ὑγρόν. Ἐπισκοπεῖσθαι τοίνυν ἐν τοῖς ἰκτερικοῖς παθήμασιν 18
ἀναγκαιότατόν ἐστι τὴν τῶν διαχωρουμένων ἰδέαν· ἐπὶ ἐνίων μὲν
γὰρ ἱκανῶς κεχρωσμένα τῇ ξανθῇ χολῇ τὰ διαχωρήματα φαίνεται,
καθάπερ ἑτέροις τὰ οὖρα. Ἐφ' ὧν μὲν γὰρ λόγῳ κρίσεως ἀγαθῆς ἐν 19
πυρετοῖς ἀποσκήψει ὁ χολώδης χυμὸς πρὸς τὸ δέρμα, τὰ διαχω-
ρήματα καὶ τὰ οὖρα κατὰ φύσιν ἔχειν φαίνεται. Ὅσοις δὲ ἀπυρέτοις 20
ἅμα τοῦ βάρους τινὰ αἴσθησιν εἶναι κατὰ τὸ δεξιὸν ὑποχόνδριον
ἴκτερος ἐγένετο[3], ἔμφραξιν ἡγητέον εἶναι τῆς χοληδόχου κύστεως.

[1] Ita X. εὐχωρεῖ P. — [2] ἀλλ' οὐχ ἕξει P. — [3] ἐγίνετο P.

---

suivant son habitude, l'humeur atrabilaire qui provient du foie, et purifie
le sang.

Il y aura encore ictère à cause de l'impuissance de la vésicule biliaire 16
à faire venir à elle, comme dans l'état normal, la matière bilieuse, et
à purifier le sang par suite de cette attraction. Il arrive encore que la 17
vésicule soit trop pleine et ne puisse se vider à cause de son trop plein
même; et quelquefois aussi, à cause de l'obstruction ou de l'atonie des
vaisseaux débouchant de cette poche dans le foie, la liqueur bilieuse
ne peut y être attirée. Il est donc très-nécessaire, dans les affections 18
ictériques, de considérer l'aspect des déjections; ainsi, chez certaines
personnes, ce sont les excréments qui sont colorés par la bile jaune;
chez d'autres, ce sont les urines. En effet, lorsque, dans les fièvres, en 19
raison d'une crise heureuse, l'humeur bilieuse se répand dans le tissu
cutané, les selles et les urines ont une apparence naturelle. Lorsque les 20
malades, exempts de fièvre, ont un ictère avec sensation d'un poids dans
l'hypocondre droit, il y a lieu de croire à l'obstruction de la vésicule bi-

21 Ὅσοις δὲ βάρους ἢ ὀδύνης αἴσθησις περὶ τὸ ὑποχόνδριον γένηται,
22 τὸν σπλῆνα αἴτιον τῆς κακοχυμίας εἶναι νομισΊέον. Μήτε δὲ[1] ὀδύ-
νης, μήτε βάρους αἰσθήσεως γιγνομένης περὶ τὰ ὑποχόνδρια[2],
μήτε δὲ πυρετοῦ προηγησαμένου, τοῦ αἵματος ἐν παντὶ τῷ σώματι
πρὸς τὸ χολῶδες τραπέντος, ἴκτερος γίνεται, κνησμωδέσΊερον
23 μᾶλλον δὲ τούτοις γίγνεται τὸ δέρμα καὶ ξηρότερον. Ἐφ' ὧν δὲ ὁ
μελαγχολικὸς χυμὸς συνανεδόθη τῷ αἵματι, χαλεποτέρως ἔχουσιν
οἱ τοιοῦτοι· παρακολουθεῖ[3] γὰρ αὐτοῖς δυσθυμία παράλογος, καὶ
δήξεις περὶ τὴν γασΊέρα, δύσπνοιά τε καὶ ἀποσΊροφὴ πρὸς τὰ
24 σιτία, καὶ μελάνων οὔρων ἔκκρισις γίγνεται. Ἐνίοτε δὲ καὶ χλιαί-
νονται ἐκ διαλειμμάτων τινῶν τὰ σώματα[4], τὰ δὲ σκύβαλα χαλ-
25 κανθίζει κατὰ τὴν χροιάν. Καὶ μάλισΊα[5] τούτοις, ξηραίνεται ἡ κοι-
26 λία. Τοῖς δὲ διὰ τὴν ὠχρὰν χολὴν γιγνομένοις ἰκτερικοῖς, δῆξις
μὲν οὐδεμία τῶν περὶ τὴν γασΊέρα, ἀλλ' οὐδὲ τοσαύτη ἀποσΊροφὴ
πρὸς τὰ σιτία· ἀμβλυτέρα μέν τοι ἐπὶ ποσὸν[6] γίγνεται ἡ τῶν

[1] δὲ om. P, habet X. — [2] τὸ ὑποχόνδριον P. — [3] ἐπακολ. P. — [4] τὸ σῶμα X, fort. melius (*sc.* κατὰ τὸ σ.) — [5] μᾶλλον X, fort. melius. — [6] ἐπὶ ποσῶν P; fort. legendum ἐπὶ τόσον.

---

21 liaire. Si la sensation d'un poids ou d'une douleur est éprouvée dans l'hypo-
condre gauche, on doit supposer que la rate est la cause de la cacochymie
22 constatée. Chez les personnes qui, tout en ne sentant ni poids, ni dou-
leur aux hypocondres, ni fièvre préalable (le sang s'étant tourné en bile
dans tout leur corps), sont affectées de l'ictère, il y a démangeaison plus
23 vive et sécheresse plus grande de la peau. Mais celles chez qui l'humeur
atrabilaire se répand dans le sang sont dans un état encore plus fâcheux :
elles éprouvent en effet un abattement excessif, des mordications dans le
ventre, de la dyspnée, le dégoût de la nourriture; leurs urines sont noires.
24 Quelquefois aussi leur corps devient chaud par intervalles; leurs selles
25 affectent la couleur de la couperose. C'est surtout chez cette sorte de ma-
26 lades que le ventre se dessèche. Quant à ceux qui ont l'ictère à cause de
la bile jaune clair, ils n'éprouvent aucune mordication dans le ventre ni
une aussi grande aversion pour les aliments; toutefois leur appétit est

σιτίων ὄρεξις, καὶ τὰ μὲν σκύβαλα λευκὰ ἐκδίδοται, τὰ δὲ οὖρα κροκίζοντα, ἀχλυόεντα[1] *μέντοι διαμένουσιν.*

Κοινῶς δὲ πᾶσι τοῖς ἰκτερικοῖς συμβαίνει ὄκνος πρὸς τὰς κινή- 27
σεις, καὶ πρὸς μὲν τὰς γλυκείας τροφὰς ἀλλοτρίως ἔχουσι, τὰς δὲ
πικρᾶς οὐ πάνυ ἀποστρέφονται, καὶ πεφαντασιωμένοι εἰσί· κνη-
σμός τε συνεδρεύει τοῦ παντὸς σώματος, καὶ ἱδροῦσι δυσχερῶς. Τὰ 28
δὲ λευκὰ τῶν ὀφθαλμῶν καὶ τὰ συνεγγίζοντα τοῖς κροτάφοις τοῦ
προσώπου μέρη, καὶ τὰ μῆλα διασημαίνει τὴν ὠχρότητα, καὶ αἱ
ὑπὸ τὴν γλῶτταν[2] *φλέβες πεπληρωμέναι εὑρίσκονται, καὶ διαση-*
μαίνουσι τὸν πλεονάζοντα χυμόν.

80

ιη' Περὶ θεραπείας τῶν ἰκτερικῶν[3].

Οἱ μὲν οὖν λόγῳ κρίσεως ἀγαθῆς γενόμενοι, ἴκτερον ἐπιτελείᾳ 1
λύσει τῶν πυρετῶν ῥᾷστα παύονται λουτροῖς χρωμένων τῶν πασ-

[1] *ἀχλίαντοι* X, *ἀχλίαντα* P. Corrigo ex Cornarii vers. lat. — [2] *καὶ τὰ μῆλα — γλῶτταν* om. P, habet X. — [3] Cp. Galien, *Comp. med. sec. loc.* IX, I, t. XIII, p. 595 éd. Ch., t. XIII, p. 228, éd. K. Voir aussi Orib. *Euporistes*, IV, c.

---

plus faible, leurs selles sont blanches; leurs urines, couleur safran, restent troubles et nuageuses.

Il y a des caractères communs à toutes les sortes de jaunisse; ce sont 27
la répugnance à se mouvoir et l'indifférence pour les aliments doux
[sucrés], mais nulle aversion pour ceux qui sont amers, enfin des imagi-
nations étranges, une démangeaison par tout le corps et beaucoup de
difficulté à transpirer. Le blanc de l'œil, les parties qui avoisinent les 28
tempes, les joues, montrent une teinte jaune; les veines placées sous la
langue sont remplies et accusent une surabondance d'humeur.

80

Ch. XVIII. — Traitement de l'ictère.

Ceux qui se trouvent dans un état de crise heureuse, par la dissipation 1
de la fièvre, voient leur ictère cesser très-facilement lorsqu'ils usent de

χόντων γλυκέων ὑδάτων, ἐλαίου τε διαφορητικοῦ τρίψει[1], καὶ πάν-
των τῶν ἀραιούντων τὸ δέρμα, ὁποῖόν ἐσῖι τὸ χαμαιμήλινον ἔλαιον,
ἀνήθινον, ἴρινον, γλεύκινον, ἀμαράκινον, καὶ ἡ λιβανωτὶς δὲ πόα[2]
2 ἑψομένη τῷ ἐλαίῳ διαφορητικὸν αὐτὸ, ἐργάζεται ἱκανῶς. Καὶ τὴν
σύμπασαν δὲ δίαιταν ἐπὶ τούτων ποιεῖσθαι προσήκει, ὑγροτέραν
3 τε ἅμα καὶ μετρίως λεπῖύνειν πάχος χυμῶν δυναμένην. Ἐπὶ δὲ
τῶν ἄλλων γιγνομένων ἰκτέρων, πρῶτον μέν ἐσῖι δύο τὰ μέγισῖα
4 βοηθήματα, φλεβοτομία καὶ κάθαρσις. Ἐφ' ὧν μὲν οὖν ἐσῖὶν πλῆ-
θος τοῦ αἵματος σὺν τῇ χολῇ ἐν παντὶ τῷ σώματι, καὶ ἐφ' ὧν
περὶ τὸ ἧπαρ ἢ τὸν σπλῆνα ὀδύνη[3], ἢ διάτασις ἐνοχλοίη[4], οὐδὲν
5 τῆς φλεβοτομίας ἐπιτηδειότερον, εἰ μηδὲν ἕτερον κωλύει[5]. Μεμε-
ρισμένον δὲ κενωτέον, ὑπὲρ τοῦ μὴ καταβληθῆναι τὴν δύναμιν ὑπὸ
τῆς ἀθρόας κενώσεως· τῇ γὰρ[6] ἀθρόᾳ κενώσει συγκενοῦται τὸ ζω-

[1] Ita X. διαφορητικῇ καὶ τρίψει P. — [2] καὶ ἡ λιβάνῳ τῆς δὲ πόα X; καὶ ἡ λιβάνου τῆδε πόα P. Corrigo. — [3] Ita X; περὶ τὸν σπλ. ἢ τὸ ἧπ. P. — [4] ἐνοχλείη PX. Corrigo; f. leg. ἐνοχλεῖ — [5] εἰ μ. ἕτ. om. P. — [6] τῇ γάρ... ἕπεται om. X, habet codex a Cornario latine versus. (Voir la préface IV, 3.)

---

bains d'eau douce et de friction d'huile diaphorétique et de toutes subs-
tances rendant la peau plus poreuse, telles que l'huile de camomille,
d'aneth, d'iris, de glycin [vin doux], [de suc de] marjolaine; la plante
appelée libanotis, en décoction dans l'huile, est aussi d'un bon effet
2 pour la perspiration. Il convient aussi d'instituer pour ces malades un
régime général, à la fois humectant et de nature à produire une atté-
3 nuation modérée des humeurs épaisses. Pour les ictériques d'une autre
espèce, il y a d'abord deux remèdes de premier ordre, la saignée et la
4 purgation. Pour ceux qui ont une surabondance de sang mélangé de
bile dans tout le corps, comme pour ceux qui sont affligés d'une dou-
leur dans la rate ou dans le foie accompagnée de distension, il n'y a pas
de traitement plus convenable que la saignée, si rien autre ne s'y op-
5 pose. Il faut tirer le sang par petites quantités, afin de ne pas trop réduire
les forces du malade par une évacuation de sang faite tout d'un coup;
car une évacuation faite tout d'un coup a pour effet d'évacuer en même
temps le pneuma vital et le pneuma psychique, ce qui amène la mort.

τικὸν καὶ ψυχικὸν πνεῦμα, ἐξ ὧν ὁ θάνατος ἕπεται. Διὰ τοῦτο[1] 6
οὖν αὐτοὺς οὐκ ἀθρόως κενοῦν, ἀλλὰ κατὰ μέρος ὁ Ἱπποκράτης συμ-
βουλεύει, ἀναλογίαν τῆς δυνάμεως ἅπαντας γίγνεσθαι τὰς κενώσεις.
Οὐκ ἀνεπιτήδειος δὲ οὐδὲ ὁ κλυσ‍τὴρ, εἴ γε ἡ φλεβοτομία κωλύοιτο. 7
Μετὰ δὲ τὴν φλεβοτομίαν, ὠφέλιμος παραληπ‍τέος ὁ κλυσ‍τήρ, ἔκ τε 8
τῆς τῶν σκυβάλων κενώσεως εὔπνοιαν[2] ἐπιφέρων, καὶ ἐρεθίζων τὰ
ἔντερα, καὶ δάκνων ἕλκει ἐπ' αὐτὰ τὴν τῶν ὑγρῶν ἐπὶ τὴν ἐπιφά-
νειαν γενομένην σύνδοσιν. Αἱ δὲ καθάρσεις μᾶλλον οἰκειότεραί τινος 9
ὥς φησι Ῥοῦφος. Χρὴ δὲ τοῖς ἐδέσμασι, καὶ πόμασι καὶ φαρμάκοις 10
προλεπ‍τύνειν[3] τοὺς χυμοὺς, καὶ ἐκφράτ‍τειν τὰς ἐμφράξεις, εἶτα δι-
δόναι φάρμακον ξανθῆς χολῆς ἢ μελαίνης ἀγωγόν. Ἰσχυρώτερα δὲ 11
ἔσ‍τω τὰ διδόμενα τοῖς ἰκτερικοῖς καθαρτήρια· διὰ γὰρ τὴν ξηρότητα
τῆς κοιλίας, τὰ ἀσθενέσ‍τερα τῶν καθαρτηρίων οὐδὲν ἐπὶ τούτων
ἐνεργεῖ[4]· διὸ οὐ χρὴ κατ' ἀρχὰς καθαίρειν πρὶν λεπ‍τῦναι τοῖς ἐκ-
φρακτικοῖς τὴν χολὴν καὶ ἀγαγεῖν αὐτὴν ἐπὶ τὰ ἔντερα. Ἐνίοτε γὰρ 12

[1] X et la traduction latine de Cornarius omettent cette phrase. P la donne. Serait-ce une interpolation? — [2] Ita X; ἔμπνοιαν P. — [3] Ita P; λεπ‍τύνειν X. — [4] ἐνεργεῖ om. P, habet X.

C'est pourquoi Hippocrate conseille de saigner ces malades, non pas 6
en une seule fois, mais par quantités partielles, afin de proportionner la
perte de sang à leur force. Le lavement ne serait pas une mauvaise chose 7
au cas où la saignée serait impossible. Après la saignée, le lavement 8
est utile; car, par suite de l'évacuation des matières, il amène une res-
piration plus facile, il irrite les intestins, et, par la mordication, il y attire
les humeurs répandues à la surface. Quant aux purgations, elles sont plus 9
appropriées que tout le reste, comme le dit Rufus. Il faut, par la nourri- 10
ture, par les boissons et par les médicaments, atténuer préalablement les
humeurs et dégager les obstructions, puis donner un remède qui évacue
la bile jaune ou noire. Les purgatifs donnés aux ictériques doivent être 11
assez énergiques; car, en raison de la sécheresse du ventre, les purgatifs
faibles ne seraient d'aucun effet pour eux; aussi ne faut-il pas purger dès
le principe et avant d'avoir, par des substances désobstruantes, atténué
la bile et de l'avoir attirée dans les intestins. En effet, on se trouve quel- 12

βλάβης μεγίσ7ης αἴτια γίγνεται τὰ καθαρτήρια κατ' ἀρχὰς διδόμενα.
13 Προσήκει τοίνυν τοῖς ἐκΦρακτικοῖς πρότερον κεχρῆσθαι τοῖς ῥηθη-
14 σομένοις μετὰ βραχύ. Καὶ μετὰ τὸ λεπ7ῦναι καὶ ἐκΦράξαι ὡς προ-
15 είρηται, διδόναι τὸ κατάλληλον καθαρτήριον ἰσχυρόν. ἘΦ' ὧν δὲ οὐδὲν ἤνυσε[1] τὸ πρῶτον δοθὲν καθαρτικόν, αὖθις ἰσχυρόν τι τῶν ἐκΦρακτικῶν Φαρμάκων ποτίσας ἐκ δευτέρου, πάλιν μεθ' ἡμέρας γ' κάθηρε βιαιότερον, Φησὶν ὁ Ῥοῦφος, ὥστε ἐπὶ τέλει τῆς καθάρσεως, ἅμα δήξει σΦοδροτάτῃ χολὴν ἐκκρίναι κυανίζουσαν μᾶλλον,
16 ἤπερ ξανθήν. «Ἐγὼ[2] μὲν οὖν, Φησὶν, εἰ καὶ πυρετὸς παρακολουθεῖ τοῖς κάμνουσιν, δίδωμι τὸ τοιοῦτον καθαρτήριον οἷον σπόρους τούσδε ἀνδράχνης σπέρμα, βούγλωσσον, χαμαίδρυος, τρισάνδαλα, χαμαιπίτυος, δαμασκηνὰ ἴα πουραγγίου[3], ἄνθος, ἐπίθυμον καὶ σεμπεσθένε[4], κράσον μετὰ ὕδατος εἰς ἀποτρίτωσιν[5]· εἶτα λαβὼν ἐξ αὐτοῦ τοῦ ζώμου, θὲς ἰοσακχαρ[6], ὀξυΦοίνικον, κασίας Φίσ7ουλαν[7]

[1] Ita X; ὤνησε P. (Fort. melius. Cp. § 26.) — [2] Le passage compris entre guillemets est omis dans X et dans la traduction latine. Après les mots ἐγὼ μ. οὖν, Φησὶν, X continue ainsi : Μίσγω εὐΦόρβιον, κ.τ.λ. comme ci-dessus, attribuant à Rufus ce que P attribue à « un autre médecin. » C'est peut-être une interpolation. — [3] πουράγγιον n'est pas dans le *Th. l. gr.* — [4] Mot méconnaissable. — [5] ἀποτρίτωσις n'est pas dans le *Th. l. gr.* — [6] ἰοσάκχαρ n'est pas dans le *Th. l. gr.* — [7] Φίσ7ουλα, forme grécisée du latin fistula.

13 quefois très-mal de purger tout d'abord. Il faut donc employer avant tout
14 les désobstruants dont nous allons parler bientôt. Après avoir atténué ainsi qu'on vient de le dire, je fais prendre un fort purgatif en rapport
15 [avec le mal]. Si un premier purgatif ne produit pas d'effet, vous faites prendre, deux jours après, une nouvelle potion désobstruante, puis, au bout de trois jours, un purgatif plus énergique, dit Rufus, de telle façon qu'à la fin de la purgation, la bile, rejetée avec accompagnement d'une vive
16 mordication, est plutôt azurée [ou verdâtre] que jaune. « Pour ma part, dit-il, si la fièvre s'empare du malade, je donne un purgatif ainsi composé : graine de pourpier, buglose, germandrée, trisandale (?), ivette, violette de Damas, fleur de pourangion (?), fleur de thym ; mélangez avec de l'eau jusqu'à réduction au tiers. Ensuite, prenant de cette composition, vous y mettrez du sucre de violette, de l'oxyphénice (?), de la tige de

κεκαθαρμένην ἀνὰ οὐγγ. α', μάννα ἐξ δρ. καὶ μαλάξας πάντα ὁμοῦ, πάλιν σακκέλισον, εἶτα θὲς ῥαῖον[1] *μάρμαρον ξ. α', καὶ ἐκ τοῦ διαῤῥόδου ξουλά που*[2] *καθαρτικὸν ξ. γ' ἢ πλεῖον ἢ ἔλατlον ὡς ἡ δύναμις ἀπαιτεῖ τοῦ κάμνοντος, καὶ οὕτως χρῶ.* »

Ἕτερος δὲ φῆσιν ἰατρός· Μίσγε εὐφόρϐιον, ἐπίθυμον[3]*, ἀλόης,* 17
πετροσελίνου σπέρμα, καὶ δαύκου, εἰ ἀπύρετος εἴη ὁ νοσῶν, καθαίρω τοὺς ἰκτερικούς. Ἄρισlα δὲ αὐτοὺς καθαίρει καὶ τοῦτο· πε- 18
πέρεως μακροῦ γράμματα θ', πεπέρεως μέλανος γράμματα ε', σκαμμωνέας γρ. ς', ἄμεος γρ. δ', μαράθρου σπέρμα γράμμα α' S, σελίνου σπέρμα γράμματα β' S, καρώου γρ. δ', ἀνίσσου γρ. γ', καὶ μέλιτος τὸ ἀρκοῦν σκεύαζε[4] *ὥσlε γενέσθαι ῥύπου πάχος· ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος μετὰ κοχλεαρίου ὄξους λευκοῦ καὶ ὕδατος θερμοῦ τὸ ἴσον. Ἐπὶ δὲ τῶν*[5] *μελαγχολικῶν προσπλέκειν* 19
τῇ δόσει ἐπιθύμου λειωτάτου γρ. γ'. Σφόδρα δὲ καλὸν καὶ τοῦτο· 20

[1] F. leg. *ῥῆον βάρβαρον.* — [2] *ἐκ τοδιάῤῥοδον ξουλά που* P. — [3] Rédaction de X : *Μίσγω εὐφορϐίου, ἐπιθύμου, ἀλ. πετρ. κ. δαύκου σπέρματος, καθαίρω τ. ἰκτ.* — [4] *σκεύαζε* om. X, habet P. — [5] Les paragraphes 19 et 20 manquent dans P. Ils existent dans X et dans la traduction de Cornarius.

---

fausse canelle nettoyée, 1 once de chacun; manne, 6 drachmes. Après avoir mélangé le tout, vous tirez au clair; ensuite vous y mettez du *réum* (?) brillant, 1 sextaire, et de l'extrait d'eau de rose (?) 3 sextaires plus ou moins, selon la force du malade, puis employez. »

Un autre médecin dit : Mélangez euphorbe, fleur de thym, aloès, 17
graine de persil et de daucus [athamante], si le malade n'a pas de fièvre; ce remède purge les ictériques. Voici encore qui les purge très- 18
bien : Poivre long, 9 grammes; poivre noir, 5 grammes; scammonée, 6 grammes, cumin-ammi, 4 grammes; graine de fenouil, 1 ½ gramme; graine d'ache, 2 ½ grammes; graine de carvi, 4 grammes; grains d'anis, 3 grammes; miel, quantité suffisante pour former une pâte épaisse. La dose sera de la grosseur d'une noix pontique avec une cuillerée de vinaigre blanc et une d'eau chaude. Pour les mélancoliques, il faut 19
ajouter à la dose 3 grammes de fleur de thym bien réduite en poudre.
Voici encore une recette excellente : Vous prenez une grosse courge; 20

κολοκυνθίδα μεγάλην τρήσθω ἄνωθεν καὶ ἐκκενώσας τὸ σπέρμα,
ἐάσας δὲ γναφαλῶσαι[1] ἐν αὐτῇ ὅλον ἔμβαλε οἴνου παλαιοῦ γλυ-
κέως, καὶ ἔα διανυκτερεῦσαι· ἕωθεν δὲ διηθήσας ἀκριβῶς διὰ ῥα-
κίων (?) τὸν οἶνον, καὶ θερμάνας δίδου πίνειν τοῖς ξανθοχόλοις,
21 Ἐπὶ δὲ τῶν μελαγχολικῶν προσεψεῖν[2] χρὴ τῷ γλυκεῖ οἴνῳ, ἐπί-
θυμον γράμματα ϛ′, καὶ τοῦτον τὸν οἶνον ἐμβάλλειν[3] τῇ κολοκυν-
22 θίδι, καὶ διδόναι[4] ὡς προείρηται. Καὶ ἡ τῆς κυκλαμίνου δὲ ῥίζα
ξηρὰ λεία διδομένη μετὰ τὰ ἐκφρακτικὰ βοηθήματα, ἐπιτηδειοτάτη
ἐσ7ὶν ἐκκαθαίρειν τὰ σπλάγχνα καὶ τὴν ἐν ὅλῳ τῷ δέρματι χολὴν
ἐκκρίνει δι' ἱδρώτων· ὅθεν συνεργεῖν χρὴ μετὰ πόσιν τῇ τῶν ἱδρώ-
23 των ἐκκρίσει διὰ σκέπης καὶ θάλψεως ἐπὶ κλίνης. Ἡ δὲ τελεία δόσις,
24 ∠[5] δ′ μετὰ μελικράτου. Ὑποπιπ7ούσης δὲ φλεγμονῆς περί τι μέρος
τῶν σπλάγχνων[6], πρῶτον ἐμβροχαῖς καὶ καταπλάσμασι κεχρῆσθαι

[1] Dans X on a écrit d'abord κναφ. puis changé le κ en γ. — [2] προσεψεῖν δεῖ P. — [3] ἐμβαλεῖν P. — [4] διαδιδ. P. — [5] P remplace le signe ∠ par le mot οὐλκᾶς. — [6] περί τι σπλάγχνον X.

---

vous faites un trou à sa partie supérieure, vous en retirez les pepins en y
laissant la masse moelleuse; vous remplissez la courge de vieux vin
sucré que vous y laissez passer la nuit. Le lendemain dès l'aurore, après
avoir filtré soigneusement le vin à travers un morceau d'étoffe, vous le
faites chauffer et le donnez à prendre aux malades qui ont la bile jaune.
21 Pour les mélancoliques, il faut, en outre[1], faire dans du vin sucré une
décoction de 6 grammes de fleur de thym, mettre ce vin dans une co-
22 loquinte et le faire prendre comme on l'a dit précédemment. La racine
de cyclame desséchée et réduite en poudre, donnée à la suite d'une mé-
dicamentation désobstruante, est excellente pour purger à fond les en-
trailles et fait secréter la bile contenue dans tout le tissu cutané, par le
moyen de la transpiration; aussi faut-il, après la potion prise, favo-
riser la sortie de la sueur au moyen de couvertures et d'une certaine
23 chaleur maintenue dans le lit du malade. La dose complète est de
24 4 drachmes avec du mélicrat. Lorsque l'inflammation survient sur
quelque point des entrailles, il faut d'abord recourir aux embrocations

[1] Ou bien «au préalable,» suivant la leçon du ms. P.

καὶ μετὰ ταῦτα κηρώταις καὶ ἐπιθέμασι τοῖς πρὸς Φλεγμονάς τῶν
σπλάγχνων προειρημένοις. Κρεῖσσον δὲ μίσγειν[1] τῷ ἀλεύρῳ λιβα- 25
νωτίδος πόας, σχοίνου ἄνθος, ἀψινθίας, ἀρτημισίας, ἀβροτόνου,
πηγάνου, καρδαμώμου, χαμαιπίτυος, σκορδίου, πολίου, χαμαί-
δρυος· τούτων ἕκαστον μιγνύμενον οὖρά τε κινεῖ, ὅπερ τινὸς, ὡς
μέγιστόν ἐστιν ἀγαθὸν καὶ ταῖς Φλεγμοναῖς τῶν σπλάγχνων συν-
τελεῖ. Καὶ σικύαις δὲ κεχρῆσθαι, ἐπὶ μὲν τοῦ ἥπατος πάσχοντος, 26
κούφαις, ποτὲ δὲ καὶ μετ' ἐγχαράξεως· ἐπὶ δὲ τοῦ σπληνὸς πάντως
μετ' ἐγχαράξεως· αἱ γὰρ κοῦφαι τὸν σπλῆνα οὐδὲν ὀνίνησιν. Φάρ- 27
μακα δὲ πινόμενα ἐκΦρακτικὰ τοῖς ἰκτερικοῖς ἐπιτήδεια· μάλιστα δὲ[2]
τὰ διουρητικά ἐστιν, οἷον σελίνου ἀφέψημα, ἀδιάντου[3], καὶ τὰ ὅμοια.

81-82-83

IA'. Κεφαλαῖά τινα. IB'. κδ' καὶ κέ'.

[1] προσμίσγειν P. — [2] δὲ τὰ om. X. — [3] Après ἀδιάντου, P continue ainsi : σκολοπενδρίου, ἀντιδίου καὶ τοῖς ὁμοίοις, κ.τ.λ. La suite du chapitre est différente dans X et Cornarius d'une part, et de l'autre, dans P, où le texte est évidemment interpolé.

---

et aux cataplasmes, puis aux liniments et applications décrits précé-
demment contre l'inflammation d'entrailles. Il est encore préférable de 25
mélanger dans de la farine de froment la libanotis, la fleur du jonc
odorant, de l'absinthe, de l'aurone, de la rue, du cardamome, de
l'ivette, du scordium, du polium. Chacune de ces plantes ainsi mélangée 26
provoque l'urine, ce qui produit le meilleur effet contre l'inflammation
d'entrailles. On emploiera aussi les ventouses simples dans les affections 27
du foie, et quelquefois aussi avec scarification; mais dans celles de la
rate, toujours avec scarification, car les ventouses simples ne soulagent
aucunement la rate. Les potions désobstruantes sont bonnes aussi contre
l'ictère, surtout les diurétiques, tels que la décoction d'ache, de fougère-
adiante, etc.

81-82-83

Liv. XI, chapitres divers[1]; liv. XII, ch. XXIV et XXV[2]. (Pour mémoire.)

[1] Le texte grec de ces chapitres a été inséré ci-dessus, p. 85 à 126. Le livre XI sera complété dans l'Appendice, section III. — [2] Le texte grec et la traduction française ont été insérés ci-dessus, p. 280, not. 5 et p. 282, not. 3.

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ

ΕΚ ΤΩΝ

ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΤΡΑΛΛΙΟΥ.

84

Η', ι'. Περὶ τῶν ἐν τοῖς νεφροῖς συνισταμένων παθῶν [1].

1 Οἱ τικτόμενοι περὶ τοὺς νεφροὺς λίθοι, ὑπὸ γλίσχρων χυμῶν
καὶ παχέων[2] ὀπτωμένων τὴν γένεσιν ἔχουσι, τῆς ἐν τοῖς νεφροῖς
2 θερμασίας πυρώδους ὑπαρχούσης. Ἔστιν οὖν ὑλικὸν αἴτιον ἡ πα-
χυτέρα ὕλη, ποιητικὸν δὲ, ἡ πυρώδης θερμασία, ὥσπερ καὶ ἐπὶ
3 τῶν ἐκτὸς ὁρωμένων. Ἐκ πυρὸς γὰρ καὶ τοιᾶσδε ὕλης ἐπιτηδείας

[1] Cp. Rufus, Maladies de la vessie et des reins, ci-dessus, p. 1-108. Sur ces textes d'Alexandre de Tralles, voir la Préface, IV, 4. — [2] καὶ παχέων om. A.

FRAGMENTS

DE RUFUS D'ÉPHÈSE

EXTRAITS D'ALEXANDRE DE TRALLES.

(THÉRAPEUTIQUES.)

84

Livre VIII, ch. x. — Sur les affections qui ont leur siége dans les reins.

1 Les pierres qui se forment dans les reins ont leur origine dans les
humeurs visqueuses et épaisses qui s'y sont desséchées, l'échauffement
2 des reins ayant été porté jusqu'à l'inflammation. La cause matérielle est
donc l'épaississement de la matière, et la cause effective, la chaleur fé-
3 brile, ainsi que cela se voit dans les choses extérieures. En effet, c'est
au moyen du feu et de toute matière jouissant des mêmes propriétés

οὔσης, οἱ τὰς κεράμους ἐργαζόμενοι οὕτως ἅπαντα ποιοῦσιν, ὡς
μηδὲ ὑπὸ ὕδατος δύνασθαι διαλυθῆναί ποτε. Τούτων οὖν[1] οὕτως 4
ἐχόντων, φροντιστέον ἐστὶ μήτε ὕλην παχυτέραν γεννᾶσθαι περὶ
τοὺς νεφροὺς, μήτε πυρώδεις αὐτοὺς καὶ δυσκράτους γίνεσθαι[2]. Εἰ 5
γάρ τι τούτων εἴη, οὐ μὴ συσταίη λίθος ποτέ.

85

ια'. Περὶ διαγνώσεως.

Διαγίνωσκε δὲ ἀκριβῶς οὕτως, εἰ τῷ ὄντι λίθος ἐστὶν ὁ ποιῶν 1
τὴν ὀδύνην. Καὶ γὰρ τὰ αὐτὰ συμβαίνει σημεῖα καὶ τοῖς κωλικευο- 2
μένοις καὶ τοῖς ἔχουσι λίθον ἐν νεφροῖς. Καὶ μάλιστα περὶ τὰς 3
ἀρχὰς διακρίνεται δυσχερῶς· καὶ γὰρ ἐπὶ ἀμφοτέρων[3] τῶν παθῶν
ἐμετοὶ γίνονται, καὶ ἐποχὴ γαστρὸς καὶ πνευματώσεις καὶ δια-
τάσεις ἄχρι τοῦ στομάχου καὶ τοῦ ἥπατος· εἰ δὲ καὶ συμβαίνει τὰ

[1] οὖν om. A, Ed. add. B. — [2] γίγνεσθαι B, hic et passim. — [3] ἐπ' ἀμφ. B.

---

que lui, que ceux qui fabriquent des poteries arrivent toujours à ce
résultat, que leur ouvrage ne peut être détruit même par l'eau. Puis- 4
qu'il en est ainsi, il faut éviter et qu'une matière trop épaisse se forme
dans les reins et que ceux-ci s'enflamment et contractent un mauvais
tempérament. Si ces accidents sont évités, il ne se formera jamais de 5
pierre.

85

Ch. XI. — Diagnostic.

Vous diagnostiquerez exactement de la manière suivante si c'est réel- 1
lement la pierre qui cause de la douleur. Et en effet, les mêmes indices 2
se manifestent et chez ceux qui ont des coliques et chez ceux qui ont une
pierre dans les reins. C'est surtout au début de la maladie que le dia- 3
gnostic est difficile, car, dans l'une comme dans l'autre affection, il sur-
vient des vomissements, une obstruction du ventre, des ventosités et une
distension qui monte jusqu'à l'orifice de l'estomac et au foie, et, si les
mêmes accidents affectent les deux sortes de malades, du moins le mé-

4 αὐτὰ ἀμφοτέροις, ἀλλὰ τὸν τεχνίτην ἰατρὸν οὐκ ἂν λάθοι [1]. Μᾶλλον
γὰρ καὶ πλείονες οἱ ἐμετοὶ ἐπὶ τῶν κωλικῶν, καὶ ἄπεπτοι καὶ
5 φλεγματώδεις ἐν ἐποχῇ τῆς γαστρὸς καὶ πνευμάτων. Ἐπὶ δὲ τῶν
νεφριτικῶν οὐ τοσοῦτον· ἀλλὰ καὶ θεραπευόμενοι πολλάκις ἐκ-
6 κρίνουσι [2]. Ἔσθ' ὅτε δὲ καὶ χωρὶς τοῦ θεραπευθῆναι πνευμάτων
ἔκκρισις γίνεται, καὶ τῆς γαστρὸς ὑποχώρησις, ὅπερ οὐδὲ ὅλως τοῖς
7 κῶλον ἀλγοῦσι συμβαίνει. Δεῖ δὲ καὶ τὰ οὖρα κατανοεῖν ἐπιμελῶς·
τὴν γὰρ μεγίστην διάγνωσιν ἐν τούτοις ἀκριβῶς ἐστιν εὑρεῖν.
8 Ψλεγματικώτερα γὰρ καὶ πλείων ἡ ὑπόστασις γίνεται τοῖς κωλι-
9 κοῖς, ἐλάττων δὲ τοῖς νεφριτικοῖς. Καὶ εἰ κατανοήσεις ἀκριβῶς,
ψαμμώδη τινὰ εὑρήσεις ἐν τοῖς οὔροις, ἅπερ τοῖς κωλικευομένοις
οὐ συμβαίνουσι, καὶ μᾶλλον ὀδύνη βαρεῖα καὶ ἐρείδουσα καθ' ἕνα
10 τόπον τοῖς νεφριτικοῖς, ὅπερ τοῖς κωλικοῖς οὐ συμβαίνει. Οὕτω μὲν
οὖν διαγινώσκειν δεῖ τοὺς [3] καὶ διακρῖναι ἀπ' ἀλλήλων νεφριτικούς
τε καὶ [4] λίθον ἔχοντας καὶ κωλικούς.

[1] λάθη A. — [2] ἐκκρίνει A. F. leg. ἐκκρίσει. — [3] τοὺς om. A, Ed., add. B. — [4] καὶ om. B, Ed. add. A.

---

4 decin ne devra pas prendre le change. Chez ceux qui ont des coliques,
les vomissements sont plus fréquents; ils compromettent davantage la
digestion; ils sont plus pituiteux en obstruant le ventre et les gaz qui
5 s'y forment. Chez les néphrétiques, les accidents n'ont pas lieu au même
6 degré, mais les malades une fois traités évacuent souvent. Autre diffé-
rence : il arrive que l'évacuation des gaz a lieu indépendamment du trai-
tement, ainsi que celle des matières, ce qui n'arrive en aucune façon
7 pour ceux qui souffrent au côlon. Il faut aussi se préoccuper sérieu-
sement des urines, lesquelles fournissent un diagnostic très-précieux.
8 Le sédiment est plus pituiteux et plus abondant chez ceux qui ont des
9 coliques, moindre chez les néphrétiques. Si vous y regardez attentive-
ment, vous y reconnaîtrez des parties sablonneuses qui ne se rencontrent
pas dans les urines des encoliqués. De plus, la douleur éprouvée par
les néphrétiques est plutôt une douleur pesante et fixée en un seul
10 point, ce qui n'est pas le cas des encoliqués. Tels sont les moyens de
diagnostiquer et de distinguer entre eux les néphrétiques et les enco-
liqués.

86

ιβ'. Περὶ θεραπείας λιθιώντων.

Θεραπεύειν δὲ[1] δεῖ τοὺς ἔχοντας λίθον, ἐν μὲν τοῖς παροξυ- 1
σμοῖς, διὰ τῶν χαλᾶν καὶ παρηγορεῖν δυναμένων, καὶ προσέτι
θρύπτειν καὶ ὑπεξάγειν τὸν λίθον. Ἄριστον οὖν ἁπάντων τὸ λου- 2
τρόν· οὐ γὰρ μόνον παρηγορεῖ, ἀλλὰ καὶ θεραπεύειν δύναται.
Τοὺς μὲν γὰρ κωλικοὺς μόνον παρηγορεῖ πολλάκις, τοὺς δὲ νεφρι- 3
τικοὺς κατ' ἀμφότερα ὠφελεῖ. Ἀλοιφῇ δὲ κατὰ τὸν τόπον, τῷ χα- 4
μαιμήλῳ κεχρήσθωσαν ἐν τῷ λουτρῷ, καὶ ἐν θερμῷ πλείονι καὶ
ἐν τῇ ἐμβάσει ἐπὶ πλείονα χρόνον διατριβέτωσαν. Δεῖ δὲ οὐ 5
μόνον ἅπαξ λούειν τῆς ἡμέρας, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον, πολ-
λάκις καὶ εἰς τὸ ψυχρὸν, εἰ θέρος εἴη, ἀναβιβαζέσθωσαν. Μετὰ 6
δὲ τὸ λαβεῖν τὰ σάβανα, πινέτωσαν τὸ ζέμα τῶν κολυμβάδων,
μετὰ σελίνου ἢ βραχέος ἀνίσου. Εἰ δ' ἐπιμένοι[2] τὰ τῆς ὀδύνης, 7
καὶ μηδ' ὅλως ἔκκρισις τοῦ λίθου γένοιτο, πινέτωσαν καὶ τὸ ζέμα

[1] δὲ om. B. — [2] ἐπιμένει AB.

86

Ch. XII. — Traitement de la pierre [qui se forme dans les reins].

Il faut traiter ceux qui ont la pierre, dans la période du paroxysme, 1
avec les remèdes de nature laxative et calmante, puis briser et extraire
les calculs. Le meilleur de ces remèdes, c'est le bain; non-seulement il 2
calme, mais il peut même amener la guérison. Pour les encoliques, il ne 3
fait souvent que calmer; mais pour les néphrétiques, il procure ce double
résultat. Comme onction locale, on emploiera la camomille dans le bain 4
et on y restera plus longtemps (que les autres malades), et dans une
plus grande quantité d'eau. On devra se baigner, non pas seulement 5
une fois, mais deux et trois fois par jour, et, en été, prendre des bains
froids. Après avoir mis le peignoir, on boira du jus de colombade 6
(plante aquatique) mélangée de persil en petite quantité. (?) Si la dou- 7
leur persiste, et que le calcul ne soit pas du tout sorti, on boira du jus

τῆς ῥίζης τῆς ϖενταφύλλου βοτάνης, ἔτι ϖεριβεβλημένοι τὰ σάβανα·
8 ϖάνυ γὰρ μετὰ τοῦ ἡδέος καὶ τὸ δραστικὸν ἔχει. Ἐκτὸς δὲ τοῦ λου-
9 τροῦ δεῖ λαμβάνειν αὐτὸ καθ' ἑαυτὸ καὶ μετ' ὀξυμέλιτος. Εἰ δὲ μὴ
εὐπορήσεις τῆς ϖενταφύλλου τὴν ῥίζαν εὑρεῖν, καὶ τοῦ ἠρυγγίου
ἢ ἐρυσίμου καὶ ϖριονίτιδος, ϖάνυ μεγάλως τὸ ζέμα ϖοιεῖ ϖι-
10 νόμενον. Ἔξωθεν δὲ κεχρήσθωσαν[1] μαρσίποις διὰ τῶν ϖιτύρων
τῶν σιτίνων, μάλιστα καὶ τοῦ ζέματος τῆς χαμαιμήλου καὶ ἀλθαίας
καὶ μελιλώτων, καὶ ἐλαίου χαμαιμηλίνου· συνεχέστερον δὲ ἀμει-
11 βέσθωσαν. Εἰ δὲ μὴ ϖάρεισι ϖίτυρα, τοῖς ῥάκεσι τοῖς ἐρινέοις χρη-
στέον, ἀποβρέχοντας αὐτά ϖοτε εἰς ἔλαιον γλυκὺ, ἄλλοτε εἰς
χαμαιμήλινον, καὶ οὕτω θερμαίνοντας ἀλλάσσειν συνεχέστερον.
12 Ὑπάγειν δὲ δεῖ καὶ τὴν γαστέρα κλύσμασι μὴ τοῖς ϖάνυ δρυμέσιν,
ἀλλὰ μᾶλλον τοῖς ἔχουσιν ἐλαίου ϖλείονος καὶ τοῖς δυναμένοις
13 χαλᾶν καὶ θρύπτειν ἐκτὸς τοῦ δριμύσσειν. Τοιοῦτον δέ ἐστι τὸ τῆς
ἀλθαίας ζέμα, τήλεώς τε καὶ ἰσχάδων καὶ ϖιτύρων καὶ χαμαιμήλων,

[1] κεχρίσθωσαν A.

---

de la racine de quintefeuille avant de quitter le peignoir. Il en résultera
tout à la fois une sensation agréable et une action très-bienfaisante.
8 Après le bain, on devra prendre ce médicament seul et avec de l'oxymel.
9 Si vous ne pouvez pas vous procurer facilement de la racine de quinte-
feuille, vous prendrez de l'éryngium ou de l'érysimum ou encore de la
10 bétoine en très-grande quantité, et vous en boirez la décoction. Pour
l'usage externe, le malade se servira de sachets remplis de son de blé,
bouilli surtout avec de la camomille, du mélilot et de l'huile de camo-
11 mille; on les alternera souvent. Si l'on n'a pas de son, on le remplacera
par des chiffons de laine que l'on plongera dans de l'huile douce, quel-
quefois aussi dans de l'huile de camomille, et, faisant chauffer ainsi, on
12 renouvellera continuellement cette application. Il faut aussi relâcher le
ventre par des lavements qui ne soient pas trop âcres, mais plutôt mé-
langés d'huile d'olive et de nature à détendre et à désagréger, sans pour
13 cela piquer par l'âcreté. Telle est, par exemple, la décoction passée de
guimauve, de fenugrec, de figue, de son, de camomille, ainsi que l'huile

καὶ τὸ ἔλαιον τὸ χαμαιμήλινον· ἐπὶ δὲ τῶν θερμοτέρων πάνυ, καὶ
οἱ τῆς πτισάνης χυλοὶ[1] μετὰ ῥοδίνου καὶ χαμαιμήλου καὶ κρόκων
ᾠῶν συγκείμενοι[2]. Παρηγοροῦσι γὰρ καὶ εὐκρασίαν περιποιοῦσι 14
τοῖς τόποις, καὶ πρὸς τὸ παθεῖν φορούμενοι κωλύουσιν ἁλίσκεσθαι
τῇ διαθέσει τοὺς λιθιῶντας συνεχῶς. Εἰ δὲ ἐπιμένει τὰ τῆς ὀδύνης, 15
καὶ ὁ λίθος δυσέκκριτος, ἔρχου ἐπὶ τὰ ἰσχυρότερα τῶν βοηθημάτων·
τοιοῦτον δέ ἐστι τὸ[3] τράγου αἷμα· δεῖ δὲ αὐτὸ ψύγειν καλῶς, καὶ
μετὰ τὸ ψυγῆναι κόπτειν καὶ σήθειν, καὶ οὕτω διδόναι τοῖς ἔχουσι
λίθον. Καὶ τοὺς τέττιγας[4] δὲ ὁμοίως ψύξαντα καὶ κόψαντα διδόναι[5]. 16
Δεῖ δὲ[6] αὐτῶν λαμβάνειν τὰ πτερὰ καὶ τοὺς πόδας, καὶ οὕτω παρ-
έχειν τῷ πάσχοντι, κάτω ἐν λουτρῷ [ἢ] ἐν τῇ τοῦ ψυχροῦ δεξα-
μενῇ. Κάλλιον δὲ ἂν εἰς οἰνόμελι ἢ κονδῖτον λειώσῃς τὸ βοήθημα. 17
Μὴ οὖν καταφρονήσῃς· ἔστι γὰρ ἰσχυρόν. 18

[1] καὶ ὁ τῆς πτισάνης χυλὸς AB. — [2] Cp. fragm. de Rufus dans Oribase, *Syn.* I, XIX, 10 (fragm. nº 43). — [3] τοῦ add. AB. — [4] τέττιγας B en marge; λείπει τι A en marge. Rien ne manque. — [5] Goupyl propose : τέττιγας δὲ ὁμοίως ξηράναντα κ. κ. — [6] αὐτὸν codd.; correction de Goupyl.

---

extraite de cette dernière plante; pour les (tempéraments?) particulière-
ment chauds, la crème de ptisane (orge mondée), combinée avec (l'eau)
de rose, la camomille et des jaunes d'œufs. Ce lavement procure du calme 14
et rétablit un bon tempérament dans les parties (malades), et, administré
en vue d'agir sur l'affection, empêche les néphrétiques d'être continuelle-
ment en proie à leur mal. Si la douleur persiste et qu'on ait de la peine à 15
faire sortir la pierre, recourez à des moyens plus énergiques. Tel est le
sang de bouc; seulement il faut le bien dessécher, et, après l'avoir des-
séché, le broyer, le tamiser, et le donner ainsi préparé à ceux qui ont la
pierre. On dessèche de la même façon des cigales, on les pile, puis on les 16
fait prendre; ou du moins on détache leurs ailes et leurs pattes et on
les donne ainsi préparées au malade dans le bain (ou) dans le réservoir
réfrigérant. Ce sera encore mieux si l'on broie le médicament dans du 17
vin miellé ou du *conditum*[1]. Il faut en faire grand cas; il est énergique. 18

[1] Sur le *conditum* au vin poivré, voir Oribase, *Coll. méd.* V, XXXIII, 8. Cp. Boissonade, *Notices et Extraits des mss.*, t. XI, p. 195.

20 Ταῦτα μὲν οὖν ἁπλᾶ. Τῶν δὲ συνθέτων ἄρισΊόν ἐσΊι τόδε· ναρδοσΊάχυος, ϖεπέρεως ἀνὰ γο α', κασίας, σύριγγος, κόσΊου ἀνὰ γο
21 β', δι' ὕδατος δίδου νυκτὸς[1] καὶ ϖρωΐ. ΔρασΊικώτατον δὲ καὶ σφόδρα ἰσχυρότατόν ἐσΊι βοήθημα τὸ διὰ τοῦ τραγείου αἵματος οὕτω διδόμενον· ὅταν ἄρξηται ϖερκάζειν ἡ σΊαφυλὴ, λαβὼν λοπάδα καινὴν, βάλε εἰς αὐτὴν ὕδωρ καὶ ἀπόζεσον, ὥσΊε τὸ γεῶδες ἀποβαλεῖν, καὶ σφάξας τὸν τράγον βάλε τοῦ αἵματος αὐτοῦ τὸ μέσον, ὥσΊε μήτε τὸ ϖρῶτον μήτε τὸ ὕσΊερον λαβεῖν, καὶ ἐάσας ϖαγῆναι, κατάτεμε εἰς λεπΊὰ, μόνον ἐν τῇ λοπάδι, σκεπάσας δὲ δικτύῳ λεπΊῷ ἢ ὀθόνῃ ἀραιᾷ, εἰς ὑπαίθριον τόπον τίθετι, ὥσΊε ὑπὸ τοῦ ἡλίου καὶ τῆς σελένης καταλάμπεσθαι καὶ ξηρανθῆναι, καλῶς φυλατΊόμενος μὴ
22 βραχῇ· καὶ λείωσας ἐπιμελῶς ἔχε ἐν ϖυξίδι. Καὶ ἐπὶ τῆς χρήσεως
23 δίδου κοχλιάριον ἓν ϖλῆρες μετὰ γλυκέος κρητικοῦ. Τοῦτο μὲν τοιοῦτόν ἐσΊι· καὶ ἡμεῖς δὲ οὐκ ἐν ὀλίγῳ χρόνῳ τὴν τούτου ϖεῖραν
24 εἰλήφαμεν. Προσήκει δὲ ἀκμαῖον εἶναι τῇ ἡλικίᾳ τὸν σφαζόμενον

[1] δίδου δι' ὕδατος νυκτὸς A. — [2] τὸν τράγον τὸν σφαζόμενον A.

---

20 Voilà pour les remèdes simples. Quant aux composés, le meilleur est celui-ci : Nard en épi, poivre, une once de chacun; casse, roseau, costus, deux onces de chacun; faites prendre dans de l'eau la nuit et le ma-
21 tin. Ce remède est très-actif et tout à fait énergique lorsqu'on le prend dans du sang de bouc de la manière suivante : lorsque le raisin commence à noircir, on met dans un plat neuf de l'eau que l'on y fait bouillir jusqu'à ce qu'on en ait chassé toute la partie terreuse, puis, après avoir égorgé un bouc, on y verse la partie moyenne de son sang en évitant d'en prendre ni la première ni la dernière ; on le laisse se solidifier, puis on le coupe en petits morceaux dans le plat, on recouvre celui-ci d'un léger filet ou d'un linge perméable, puis on le met dans un endroit exposé à l'air libre, de façon à ce qu'il reçoive les rayons du soleil et de la lune, afin que son contenu se dessèche et qu'il se conserve bien sans se liquéfier. On le broie ensuite avec soin et on le serre dans une boîte.
22 Lorsqu'on en a besoin, on en donne une cuillerée pleine dans du vin
23 sucré de Crète. Tel est ce médicament; pour notre part, ce n'est pas
24 d'hier que nous en avons éprouvé l'efficacité. Il convient de choisir un

τράγον· εἴη δ' ἂν ὁ[1] τοιοῦτος περὶ τὸ τέταρτον ἔτος. Φύλλα δὲ τοῦ 25
μαράθρου δεῖ προπαραβάλλειν τῷ τράγῳ, εὐωδίας χάριν, ἀμώμου τε
καὶ τῶν τοιούτων. Ἐγὼ δὲ μίξας γιγγιβέρεως τρωγλῖτιν κεκαυ- 26
μένην, εἰς τὰς μεγάλας ὀδύνας, οἶδα ἐξουρήσαντα παμμεγέθη λίθον,
ὃν διαθρύψας ἐξέωσα· ἐδείκνυ δὲ τὸ πλῆθος τῶν τμημάτων τὸ συν-
εστὸς ἐξουρηθὲν αὐτὸ μόριον. Τοῦτο τὸ φάρμακον μετὰ τοῦ θρύ- 27
πτειν καὶ ἀνώδυνόν ἐστι, καὶ ἄλλους οὐκ ἐᾷ συνίστασθαι λίθους,
ὅθεν καὶ Θεοῦ χεὶρ καλεῖται.

87

ιγʹ. Κονδῖτον νεφριτικόν.

Εἰ δὲ μὴ ἔχεις τὸ αἷμα τοῦ τράγου, κέχρησο τῷ διὰ τοῦ κον- 1
δίτου· ἔχει δὲ οὕτω. Ναρδοστάχυος, φοῦ, σαρξιφάγου, βετλονίκης,
ἀσάρου, λινοσπέρμου, πετροσελίνου, ἀνὰ γο αʹ, κόστου, φύλλου[2]

[1] ὁ om. A fort. mel. — [2] F. supplend. μαλαβάθρου.

---

bouc dans la force de l'âge, c'est-à-dire âgé de quatre ans environ. Il 25
faut avoir soin, avant qu'on le tue, de lui faire manger du fenouil, de
l'amomum et d'autres plantes de cette nature afin de donner une bonne
odeur (à son sang). Quant à moi, je sais qu'ayant fait un mélange de 26
gingembre et de myrrhe troglodytique torréfiée, pour combattre les
grandes douleurs, mon malade a essayé de rendre avec ses urines un
très-gros calcul que j'ai extrait après l'avoir divisé en le brisant; et le
morceau rendu avec l'urine fit voir l'ensemble des diverses cassures. Ce 27
remède a le double avantage de désagréger la pierre sans douleurs et
d'empêcher qu'il ne s'en forme d'autres; aussi l'appelle-t-on la main
de Dieu.

87

Ch. XIII. — Conditum néphrétique.

Si vous n'avez pas de sang de bouc, c'est le cas d'employer le remède 1
au *conditum*. Voici ce que c'est : Nard en épi, valériane, sarxiphage
(probablement la saxifrage), bétoine, asarum, graine de lin, persil sau-

ἀνὰ γο S″, κοχλιάριον βάλλε τοῦ ξηρίου εἰς κονδῖτον, καὶ πινέτω
2 πρὸ ὥρας ἀρίστου. Θρύπτει λίθους καὶ ἀπουρεῖσθαι ποιεῖ, ὡς μηκέτι συγχωρεῖν συνίστασθαι λίθους.

88

ιδ′. Περὶ ἀνωδύνων.

1 Τούτοις καὶ τοῖς ὁμοίοις τούτων ἐν ταῖς περιστάσεσι κεχρῆσθαι καὶ τῶν λίθων ἐσφηνωμένων, οὐ κατὰ τὸν τῆς ὑγείας χρόνον,
2 διὰ τὸ μὴ δυσκράτους γίνεσθαι τοὺς νεφρούς. Εἰ δὲ ἐπιμένει ἡ ὀδύνη, καὶ μέγας κίνδυνος καταβληθῆναι τὴν δύναμιν ὑπό τε τῶν ἀγρυπνιῶν, καὶ τῆς ἐπιμόνου ὀδύνης, ἔρχου καὶ ἐπὶ τὰς ἀντιδότους ὅσαι μετὰ τὸ παρηγορεῖν καὶ ὕπνον ἐμποιεῖν ἔχουσι, καὶ τὰ λεπτύνοντα καὶ θρύπτειν δυνάμενα λίθους, οἷά ἐστιν ἥ τε Φίλωνος καὶ ἡ πανάκεια καλουμένη, καὶ ἡ θηριακὴ μὴ παλαιὰ οὖσα καθ' ἑαυτὴν,

---

vage, une once de chacun; costus, feuille (de faux cannellier?)[1], une ½ once de chacun; versez une cuillerée de cette préparation réduite en poudre
2 sèche dans le conditum, et buvez une heure avant le déjeuner. Il désagrége les pierres, fait uriner, et il est constant qu'il empêche les calculs de se reformer.

88

Ch. XIV. — Sur les calmants.

1 On doit employer ces moyens et d'autres semblables dans les crises de souffrances et les calculs étant enclavés, mais non pendant le temps
2 de la santé, de peur de rendre les reins dyscrasiques. Mais, si la douleur est persistante, et qu'il y ait grand risque que la vigueur (du malade) aille en décroissant, sous l'influence des insomnies et d'une souffrance opiniâtre, il faut recourir et aux médicaments qui calment la douleur et procurent le sommeil, et aux substances qui sont de nature à atténuer et à désagréger les calculs; telles sont, par exemple, la (préparation) de Philon[2], celle qu'on nomme la panacée, la thériaque encore fraîche

[1] J'ai ajouté μαλαβάθρου en raison des propriétés diurétiques de ce simple. (Cp. Orib. *Coll.* XV, 1, 16.) Peut-être faut-il lire πεντεφύλλου. La quintefeuille est prescrite plus bas, frag. 89, § 6.

[2] Décrite dans les *Euporistes* d'Oribase, t. IV, p. 141; t. V, p. 792.

ἢ μετὰ τῆς Φίλωνος μιγνυμένη. Βέλτιον γάρ ἐστι παρηγορῆσαί τε 3
καὶ ἀνακαλεσάμενον τὴν δύναμιν, οὕτως ἐπὶ τὰ ἰσχυρότερα καὶ
λίθους θρύπτειν δυνάμενα πάλιν ἔρχεσθαι.

89

ιε'. Περὶ φλεβοτομίας.

Εἰ δὲ καὶ πλῆθος ὑπολάβῃς εἶναι ἢ φλεγμονὴν ἅμα τῇ τοῦ λίθου 1
ἐμφράξει, τὴν φλεβοτομίαν πάντως παραλάμβανε πρότερον· οὕτω
γὰρ οὐκ ἂν ἁμάρτῃς προσφέρων βοήθημα. Χαλάσεως γὰρ γε- 2
νομένης καὶ τῶν πόρων ἀραιωθέντων, ἔτι μᾶλλον τὰ προσφερό-
μενα βοηθήματα τὸ ἴδιον ἐπιδείξονται ἔργον. Οἶδα μὲν οὖν καὶ ἓν 3
μόνον τῶν γεγραμμένων βοηθημάτων ἀρκεῖν πρὸς τελείαν θερα-
πείαν τοῦ πάθους· ἐμνημόνευσα δὲ διαφόρων, διὰ τὸ ἀπορήσαντα
ἑνὸς, ἑτέρῳ δυνηθῆναι χρήσασθαι. Λοιπὸν δὲ καὶ πρὸς τὸ μέ- 4
γεθος τῆς νόσου καὶ τὴν δύναμιν καὶ τὴν ἕξιν τοῦ κάμνοντος ἐξευ-

---

employée seule ou mélangée avec la composition de Philon. Il est pré- 3
férable, en effet, de rétablir d'abord le calme et de faire revenir les
forces du malade avant de recourir derechef aux remèdes plus forts et
pouvant désagréger les calculs.

89

Ch. xv. — Sur la saignée [dans les affections des reins].

Si vous avez lieu de croire qu'il y a pléthore ou inflammation en même 1
temps qu'obstruction calculeuse, administrez avant tout la saignée; car de
cette façon vous ne manquerez pas de soulager votre malade. Par la détente 2
qui se produira, et grâce au dégagement des pores, les remèdes appli-
qués manifesteront encore mieux leur action propre. J'ai reconnu qu'un 3
seul des médicaments décrits plus haut suffit pour la guérison radicale
de cette affection, et si j'en ai rapporté plusieurs, c'est parce que, faute de
pouvoir employer l'un, on pourra recourir à un autre. Il reste main- 4
tenant à découvrir, d'après la gravité de la maladie, d'après le degré de

ρίσκειν ἐκ τῶν διαφόρων [τί ποτ'][1] ἐστὶ δυνατὸν τὸ κατάλληλον.
5 Ἐν δὲ τῷ τῶν βοηθημάτων πλήθει, τινὰ μὲν θραύειν τοὺς ἤδη τεχθέντας λίθους, ἄλλους[2] δὲ γεννᾶσθαι πλείονας παρασκευάζουσι· τὴν γὰρ ποιητικὴν αἰτίαν αὔξουσι τῶν λίθων, δυσκράτους αὐτοὺς καὶ πυρώδεις διὰ τῶν θερμαινόντων ἀπεργαζόμενοι, ὡς
6 εὐχερῶς ἑτέρους ὀπτᾶν δύνασθαι λίθους. Ὅπως οὖν μὴ τοῦτο γένοιτο, σπουδάζειν χρὴ φεύγειν τὰ πάνυ θερμὰ καὶ δριμέα τῶν βοηθημάτων· εἰ δὲ ἀνάγκη τις συμβῇ, ἅπαξ ἢ δὶς τούτοις χρησάμενον, καὶ ἐπιτυχόντα τοῦ σκοποῦ, δεῖ πάλιν ἀφίστασθαι αὐτῶν, καὶ μὴ, ὡς οἱ πολλοὶ ποιοῦσι, κεχρῆσθαι θέλειν αὐτοῖς ἐν τῷ τῆς ὑγείας χρόνῳ, προφυλακῆς χάριν, ἐπὶ τὸ μὴ συνάγεσθαι παχυτέραν ἢ ψυχροτέραν ὕλην ἐπιτηδείαν οὖσαν πρὸς τὴν τῶν λίθων γένεσιν, ἀλλὰ τοὐναντίον δεῖ σπουδάζειν καὶ εὐκρασίαν ἐμποιεῖν καὶ τοῖς λεπτύνουσιν ἄνευ τοῦ πάνυ θερμαίνειν κεχρῆσθαι, ὥσπερ τὸ ὀξύμελι καὶ τὸ ἀδίαντον καὶ τὸ ζέμα τοῦ ἑλείου ἀσπαράγου, καὶ ἀγρώστου[3], καὶ ἡ ῥίζα τοῦ

[1] τί ποτ' addo. — [2] F. legend. ἄλλα. Je traduis d'après cette correction. — [3] F. leg. ἀγρώστεως.

---

force et la constitution du malade, quel remède correspond le mieux à
5 chaque cas. Dans la multitude des remèdes, certains ont pour effet de briser les calculs déjà produits, et d'autres d'en produire de nouveaux, augmentant la cause efficiente des calculs en portant chez le sujet la dyscrasie et l'inflammation à cause de leurs propriétés échauffantes, de telle
6 façon que d'autres calculs pourront se cuire chez lui. Pour éviter cela, il faut avoir soin de proscrire les remèdes très-échauffants et trop âcres; et, si l'on ne peut se dispenser de les employer, après les avoir administrés une fois ou deux et avoir obtenu l'effet qu'on en attendait, s'en abstenir dès lors, loin d'imiter beaucoup de médecins qui ont l'habitude de s'en servir dans l'état de santé à titre de préservatifs, pour empêcher l'accumulation de matières trop épaisses ou trop froides qui favoriseraient la formation des calculs; il faut, au contraire, s'appliquer à bien disposer le tempérament et employer des remèdes atténuant sans trop échauffer, tels que l'oxymel, l'adiante, le suc d'asperge de marais et de chiendent, la racine du persil sauvage, le suc de l'éryngium, de la racine de quin-

σελίνου, καὶ ἠρυγγίου, καὶ τῆς ϖενταφύλλου ῥίζης, καὶ τοῦ ἀρνο-
γλώσσου τῆς ῥίζης, καὶ τῶν φύλλων, καὶ ἔτι μᾶλλον τοῦ καρποῦ,
καὶ τῶν ἐρεβίνθων ὁ ζωμὸς, γλυκυσίδης ὁ καρπὸς, ἀμύγδαλα. Ἀλλὰ 7
μηδὲ τούτοις συνεχῶς, ἀλλὰ τότε μόνον ὅτε τις ὑπόνοια συνάγεσθαι
ϖαρείη ϖαχυτέραν ὕλην ἐν τοῖς νεφροῖς. Πίνειν δὲ δεῖ ϖρὸ ϖάσης 8
τροφῆς εὔκρατον· οὐδὲν γὰρ οὕτως ἀπερίτΊους ἐργάζεται καὶ εὐκρά-
τους τοὺς νεφροὺς, ὡς μὴ δύνασθαι ἔτι τίκτειν λίθους· τῷ γὰρ χρόνῳ
τὸ ϖυρῶδες αὐτῶν ὑπὸ τῆς εὐκρασίας ἀποσβέννυται. Διὸ καλῶς 9
ϖοιοῦσιν οἱ ϖίνοντες καὶ ἐν τῷ μέσῳ τῆς τροφῆς ὕδατος ἢ οἴνου
ψυχθέντος, ἢ ῥοσάτου ἢ ἰάτου· τὸ γὰρ κονδῖτον ϖαντὶ τρόπῳ
ϖαραιτεῖσθαι δεῖ, ὥσπερ καὶ τὸ ὑδρόγαρον, καὶ ϖάντα τὰ διὰ ϖε-
πέρεως. Καὶ οὐ μόνον δὲ τὰ δριμέα, ἀλλὰ καὶ ϖαχύματα τῶν ἐδε- 10
σμάτων φεύγειν δεῖ, οἷον ἄλυκα, ἰτρίον, σεμίδαλιν, ὠὰ σκληρὰ,
ϖλακοῦντας, καὶ ὅσα διὰ γάλακτος ἔχει τὴν σκευασίαν, καὶ αὐτὸ
τὸ γάλα καὶ τὸν τυρόν. Παραιτείσθωσαν δὲ καὶ τοὺς ϖάνυ μέλανας 11

---

tefeuille, de la racine du plantain et de ses feuilles et mieux encore celui
de son fruit, le bouillon aux pois chiches, le fruit de la pivoine, les
amandes. Du reste, il ne faut pas employer ces médicaments d'une façon 7
continue, mais alors seulement que l'on suppose trop abondante la
matière épaisse contenue dans les reins. Avant de prendre n'importe 8
quelle nourriture, il faut boire quelque chose de bien tempéré, car rien
ne contribue autant à tenir les reins à l'abri de l'excès des humeurs et
dans une bonne disposition, à ce point qu'ils ne peuvent plus produire
de calculs, et, avec le temps, leur chaleur se consume sous l'influence
d'une disposition convenable. Aussi fait-on bien de boire, même en 9
prenant ses repas, de l'eau ou du vin rafraîchi, du vin aux roses ou à
la violette [1], car il faut absolument interdire le conditum, comme aussi
le mélange d'eau et de garum et généralement toutes les boissons poi-
vrées. On doit éviter non-seulement les substances âcres, mais encore les 10
aliments incrassants, tels que les salaisons, le gâteau au miel et au sésame,
les pâtes en fleur de farine, les œufs durs, la galette et tout ce qui est
préparé avec du lait, le lait lui-même et le fromage. On proscrira aussi 11

[1] Voir, sur ces vins, Oribase, *Coll. méd.* V, XXXIII.

καὶ αὐστηροὺς τῶν οἴνων, καὶ τὸ ἐπὶ στρωμνῆς καθεύδειν ἐχούσης
12 *ϖτερὰ τῶν χηνῶν· ϖάνυ γὰρ ἐκθερμαίνει ταῦτα τοὺς νεφρούς. Καὶ τὸ ἵστασθαι ἐπὶ ϖολὺ φυλάττεσθαι δεῖ, σπουδάζειν δὲ μᾶλλον ἢ κι-*
13 *νεῖσθαι ἢ καθέζεσθαι. Φεύγειν δὲ δεῖ καὶ τὴν βραδυσιτίαν καὶ τὸ μὴ ϖέττοντα*[1] *ἐσθίειν, καὶ τὸν ϖολὺν ἰσικὸν καὶ τῶν ἰχθύων τὰ κητώδη, οἷον θύννους, ϖηλαμύδας, σκόμβρους, κεφάλους καὶ τὰ*
14 *ὀστρακόδερμα, ϖλὴν κτενίου καὶ ἐχίνου. Τῶν δὲ ἐχίνων καὶ συνεχῶς δεῖ λαμβάνειν, ἐάν ἐστι δυνατόν· μετὰ γὰρ τοῦ εὐκρασίαν*
15 *ϖεριποιεῖν καὶ τὸ διουρητικὸν ἔχει. Ἀστακοῦ δὲ καὶ κηρυκίου σπα-*
16 *νίως δεῖ λαμβάνειν. Τὰ δὲ ὄστρεα καθόλου ϖαραιτεῖσθαι, καὶ τῶν κρεῶν τὰ λιπαρὰ καὶ τῶν ὀρνέων· ὁμοίως καὶ τῶν ἐν λίμνῃ διαιτω-*
17 *μένων συνεχῶς ἐσθίειν. Προσφερέσθωσαν δὲ καὶ χηνῶν τὰ ἄκρα καὶ τῶν στρουθίων τὰ λιπαρὰ, χλωροὺς ϖυργίτας καὶ τὰ ὅμοια.*
8 *Τῶν δὲ ὀπωρῶν ἐσθιέτωσαν καὶ τῶν σικύων τὴν ἐντεριώνην ϖρώτην*
9 *μάλιστα, καὶ ϖεπόνων. Σῦκα δὲ ξηρὰ καὶ χλωρὰ ϖροσφερέσθωσαν,*

[1] F. legend. *ϖεφθέντα.*

---

les vins noirs et âpres; on défendra au malade de coucher sur un lit
2 garni de plume d'oie. Tout cela échauffe les reins. Il faut se garder de
3 rester longtemps debout, et avoir soin de se mouvoir ou d'être assis. On évitera encore de prendre des aliments trop longs à passer, ou de manger quand on ne digère pas, ainsi que les saucisses en trop grande quantité et, parmi les poissons, ceux de grosse taille, tels que le thon, la pélamyde, le maquereau, le muge, les crustacés, à l'exception des petits coquillages et
4 des oursins. Quant à ces derniers, on en mangera d'une façon continue, si c'est possible, car, outre qu'ils entretiennent (les reins) en bonne dispo-
5 sition, c'est de plus un diurétique. On mangera rarement du homard et
6 du buccin. Il faut interdire absolument les huîtres, ainsi que la viande de boucherie et la chair d'oiseau quand elles sont grasses; il ne faudra pas non plus manger continuellement de la chair des animaux qui vivent
7 dans les étangs. On fera manger les membres de l'oie, les parties grasses de l'autruche, les oiseaux verts qui perchent dans les tours,
8 et d'autres semblables. En fait de végétaux, on mangera la courge, prin-
9 cipalement la moëlle, et les pastèques[1]. On admettra aussi les figues

[1] On a traduit ici *ϖέπονες* comme l'a fait M. Daremberg (Oribase, *Coll. méd.* t. I, p. 47).

καὶ σταφυλὴν, καὶ μῆλα, καὶ ῥοδάκινα, καὶ ἀπίδια, μήτε πολλὰ, μήτε συνεχῶς.

Τοσαῦτα[1] *καθόλου καὶ κατὰ μέρος εἰρήσθω σοι κατὰ μέθοδον* 20
ἐπιστημονικὴν ἐκτεθέντα. Ἐπειδὰν δὲ καί τινες τῶν ἀρχαιοτέρων 21
καὶ τῶν τὰ Φυσικὰ περὶ ἀντιπαθείας γραψάντων ἐξέθεντό τινα καὶ τοὺς ἤδη τεχθέντας ἐπαγγελλόμενα ῥύπτειν παραδόξως λίθους, καὶ τοῦ λοιποῦ μηκέτι τίκτεσθαι συγχωρεῖν, ἀναγκαῖον ἐνόμισα καὶ τούτων ἐκθέσθαι τινὰ, καὶ μάλιστα διὰ τοὺς Φιλαρέτους ἕνεκα τοῦ σῶσαι ἄνθρωπον, καὶ δυνηθῆναι νικῆσαι πάθος. Καλὸν γὰρ νικᾶν 22
καὶ πάσῃ μηχανῇ βοηθεῖν.

Ἔτι δὲ καὶ ὁ θειότατος Γαληνὸς *μηδὲ νομίσας εἶναι τὰς ἐπῳ-* 23
δὰς, ἐκ τοῦ πολλοῦ χρόνου καὶ τῆς μακρᾶς πείρας, εὗρε μεγάλως
δύνασθαι αὐτάς. Ἄκυσον οὖν αὐτοῦ λέγοντος ἐν ᾗ περὶ τῆς καθ' 24

[1] Cet alinéa, les suivants et tout le fragment 90 manquent dans la traduction latine de Torino.

---

sèches et les figues vertes, le raisin, les pommes, les brugnons, les poires (?), mais ni en grande quantité, ni d'une façon continue.

Voilà en détail tout ce que j'avais à vous exposer suivant la méthode 20
scientifique. Mais, comme quelques-uns de nos devanciers et de ceux qui 21
ont décrit les faits physiques relatifs à l'antipathie[1] ont exposé certains remèdes présentés comme de nature à balayer des calculs déjà formés et à empêcher qu'il ne s'en forme d'autres, j'ai pensé qu'il était nécessaire de faire connaître à mon tour quelques-uns de ces remèdes, et surtout pour le profit des amis de la vertu, afin qu'ils puissent sauver les hommes et vaincre
le mal. Il est beau de vaincre et de guérir, par quelque moyen que ce soit. 22

Ce n'est pas tout[2]; le très-divin Galien, après avoir pensé que les 23
enchantements n'étaient pas (efficaces), a trouvé, à la suite d'un grand laps de temps et d'une expérimentation prolongée, qu'ils avaient beau-
coup de puissance. Écoutez plutôt ce qu'il dit dans son traité *sur la mé-* 24

[1] Probablement le traitement par les remèdes d'une action inverse des causes de la maladie, ce qui est, en effet, le principe curatif de l'école dite méthodique.

[2] Ceci n'est certainement pas de Rufus; car Rufus est antérieur à Galien.

5 Ὅμηρον ἰατρικῆς ἐξέθετο πραγματείας· ἔχει δὲ οὕτως· « Ἔνιοι
γοῦν οἴονται τοῖς τῶν γραῶν μύθοις εἰοικέναι τὰς ἐπῳδὰς, ὥσ-
περ κἀγὼ μέχρι πολλοῦ· τῷ χρόνῳ δὲ ὑπὸ τῶν ἐναργῶς φαινο-
6 μένων ἐπείσθην εἶναι δύναμιν ἐν αὐταῖς. Ἐπί τε γὰρ τῶν ὑπὸ σκορ-
7 πίου πληγέντων ἐπειράθην ὠφελείας. Οὐδὲν δὲ ἧττον κἀπὶ τῶν
ἐμπαγέντων ὀστῶν ἐν τῇ φάρυγγι δι' ἐπῳδῆς εὐθὺς ἀναπτυομένων.
8 Καὶ πολλὰ γενναῖα καθ' ἕκαστόν εἰσι, καὶ ἐπῳδαὶ τυγχάνουσαι τοῦ
σκοποῦ. »

9 Εἰ οὖν καὶ ὁ θειότατος Γαληνὸς μαρτυρεῖ, καὶ ἄλλοι πολλοὶ τῶν παλαιῶν, τί κωλύει καὶ ἡμᾶς ἅπερ ἔγνωμεν ἐν πείραις, καὶ ὅσα ὑπὸ φίλων γνησίων, ταῦτα ἐκθέσθαι ὑμῖν;

90

ιϛ'. Φυσικά.

1 Πολλὰ μὲν οὖν εἰσι καὶ ἄλλα, οὐδὲν δὲ οὕτως ὡς ὁ ἐκ τοῦ κυ-

---

5 *decine au temps d'Homère*[1]. Il s'exprime ainsi : « Quelques-uns s'imaginent
que les enchantements ressemblent à des contes de vieilles femmes;
moi-même je l'ai cru longtemps; puis, en mûrissant, convaincu par des
faits d'une évidence éclatante, j'ai reconnu qu'ils possédaient une vertu.
6 Dans le cas de la blessure causée par un scorpion, j'ai fait l'épreuve de
7 leur utilité. J'en dirai autant du cas où des os s'arrêtent dans le pharynx,
8 ils sont rejetés aussitôt après une incantation. Je pourrais citer encore
beaucoup de détails importants où les enchantements sont suivis de
succès. »

9 Si donc le très-divin Galien porte ce témoignage et avec lui un grand nombre d'autres anciens, qu'est-ce qui nous empêche d'exposer les faits que nous avons acquis par notre propre expérience ou par l'autorité de nos amis ?

90

Ch. XVI. — Remèdes naturels.

1 Il y a encore beaucoup d'autres (remèdes), mais aucun n'égale l'an-

[1] Fragment rapporté dans les *Œuvres de Galien*, éd. de Paris, t. X, p. 573. Cp. dans Fabric. *Bibl. Gr.* éd. 1708, t. III, p. 535 (*Galeni scripta*, n° 159), *De incantatione*, etc.

πρίου χαλκοῦ δακτύλιος· ἔχει δὲ οὕτω· «Φυσικά. Λαϐὼν χαλκὸν 2
ἱκανὸν[1] ἢ κύπρινον, πυρὶ τὸ σύνολον μὴ συνομιλήσαντα, τὸ ἐν
αὐτῷ τῷ μετάλλῳ τοῦ χαλκοῦ εὑρισκόμενον ποίησον γενέσθαι ὡς
ψηφίδα, ὥστε φανῆναι ἐν δακτυλίῳ· καὶ γλύψας ἐπ' αὐτῆς λέοντα
καὶ ☾', καὶ ἀστέρα, κύκλῳ τούτου γράψον τὸ ὄνομα τοῦ θηρίου,
καὶ ἐγκλείσας χρυσῷ δακτυλιδίῳ, φόρει παρὰ τῷ μικρῷ ἰατρικῷ
δακτύλῳ.»

91

ιζ'. Περὶ φλεγμονῆς τῆς ἐν νεφροῖς.

Ὅτι μὲν ἡ φλεγμονὴ συνίσταται καθόλου πλῆθος ὕλης ἐπιρρεῦσαν 1
ἐν τοῖς μορίοις, καὶ μάλιστα τοῖς σαρκώδεσιν, ἅπασιν ὡμολόγηται.
Καὶ χρὴ τοῦτο ἐπιστημόνως σκοπεῖν· ἆρα τὸ ἐπιρρεῦσαν τῷ πλήθει 2

[1] Ita A C; νικανόν B Ed. — Note de Goupyl : « Vox utraque, meo judicio, a descriptore perversa est. Hoc autem significare voluimus ut viri docti locum hunc restituant. » Nous renouvelons l'appel du savant médecin helléniste, en l'appliquant à tout le morceau.

---

neau de cuivre chypriote. Voici la citation : « *Remèdes naturels.* On prend 2
un morceau de cuivre d'une grosseur suffisante, qui n'ait pas encore été soumis au feu; la (portion) de bronze que l'on trouve dans le minerai, vous la ferez réduire aux proportions d'une petite pierre, de façon qu'elle se voie dans un anneau, et vous y graverez la figure d'un lion, de la lune, et d'une étoile; vous y tracerez en exergue le nom du susdit animal, et, après l'avoir montée sur un anneau d'or, vous porterez celui-ci au petit doigt médical[1]. »

91.

Ch. xvii. — Inflammation des reins.

Que l'inflammation consiste généralement dans une surabondance de 1
matière qui se répand dans les (diverses) parties (du corps) et surtout
dans les parties charnues, c'est un fait universellement admis. Il s'agit 2

[1] Nous hasardons cette expression sous les plus expresses réserves.

μόνῳ λυπεῖ, ἢ ποιότητι μόνῃ, ἢ τῷ συναμφοτέρῳ; πλήθει μὲν, ὡς ὅταν αὐτὸ χρηστὸν ὑπάρχον τὸ αἷμα, διὰ μηδὲν ἄλλο ἢ διὰ πλήθους αὐτὸ μόνον τὴν ἔμφραξιν ἐργάσηται καὶ διατείνῃ τε καὶ εἰς ὕψος ἐπαίρῃ τὸ μόριον; Ποιότητι δὲ μόνῃ, ὡς ὅταν μὲν ὀλίγον ὑπάρχῃ χολῶδες καὶ ἄγαν δριμὺ, ἢ παχὺ καὶ γλίσχρον, ἢ γεῶδες καὶ με-

3 *λαγχολικόν; Ἐὰν δὲ καὶ πολὺ ὑπάρχῃ τὸ ἐπιῤῥεῦσαν καὶ κακόχυμον, συμβαίνει τηνικαῦτα κατὰ ἀμφότερα λυπεῖσθαι τὸ μόριον, καὶ διατεινόμενον ὑπὸ τοῦ πλήθους, καὶ ἀνιώμενον ὑπὸ τῆς ὀχλούσης*

4 *αὐτῷ ποιότητος. Σκοπεῖν οὖν δεῖ πότερον ἐξ ὅλου τοῦ σώματος ἐπιῤῥεῖ, ἢ ἀπό τινος ὑπερκειμένου μορίου, οἷον σπληνὸς, ἢ ἥπατος, ἢ ἄλλου μορίου· μεγίστη γὰρ ἐκ τούτου γίνεται διαφορὰ τῆς θερα-*

5 *πείας. Εἰ γὰρ ὅλον τὸ σῶμα φαίνοιτο πληθωρικὸν, ὅλου δεῖ προνοεῖσθαι πρότερον, εἶτα τοῦ μέρους· εἰ μὲν αἷμα πλεονάζον φανείη, διὰ φλεβοτομίας· εἰ δὲ κακοχυμία τις, διὰ καθάρσεως τῆς τὸν κρα-*

6 *τοῦντα χυμὸν καθαίρειν δυναμένης. Ποιοῦ δὲ τὴν κάθαρσιν, προ-*

---

maintenant d'envisager scientifiquement cette question : Est-ce que la substance ainsi répandue incommode par sa quantité seule, ou par sa seule qualité, ou enfin par l'une et l'autre tout ensemble ? Par sa quantité seule, lorsque, le sang étant bon par lui-même, ce n'est pas par une autre cause que par sa surabondance qu'il occasionne de l'engorgement, qu'il distend et soulève la partie affectée ? Par sa qualité seule, comme lorsqu'il est quelque peu bilieux, trop âcre, épais et visqueux ou terreux

3 et atrabilaire ? Si la substance répandue est à la fois et surabondante et cacochyme, il arrive alors que la partie malade l'est à un double titre : elle est distendue par suite de cette surabondance et lésée en

4 raison de la qualité nuisible qui l'afflige. Il faut donc examiner si cette matière prend sa source dans tout le corps ou si elle provient de quelque partie située au-dessus du rein, telle que la rate, le foie, etc. ; car de cette

5 question de provenance dépend la diversité du traitement. Si le corps est tout entier envahi par la pléthore, il faut d'abord s'occuper de son ensemble, puis de chaque partie. S'il y a bien évidemment surabondance de sang, pratiquez une saignée ; s'il y a cacochymie, administrez une

6 purgation qui enlève l'humeur prédominante. Faites précéder la pur-

διαιτήσας αὐτὸν ἀσφαλῶς καὶ εὔλυτον προκατασκευάσας τῇ τε πλισάνῃ, καὶ ἰχθῦσι, καὶ ἰντύβοις, καὶ πᾶσι τοῖς ὑγραίνειν καὶ
ἐπικιρνᾶν δυναμένοις. Εἰ δὲ παχὺ εἴη καὶ μηδὲν ἔχον δριμὺ, ταῖς 7
δι' ὀξυμέλιτος τροφαῖς καὶ ἀποζέμασι τοῖς λεπλύνειν καὶ τέμνειν
δυναμένοις. Ἀλλ' ἐπειδὰν ὡς ἐπὶ τὸ πολὺ τὰ τέμνοντα καὶ δακνώδη 8
ὑπάρχει, καὶ παροξύνει τὰ φλεγμαίνοντα μόρια, σπουδάζειν δεῖ
παντοίως ἐπιλέγεσθαι ὅσα τὸ ἄδηκτον ἔχει. Εἰσὶ μὲν οὖν καὶ ἄλλα 9
λεπλύνειν δυνάμενα, μηδὲν δριμὺ μηδὲ ἀνιαρὸν κεκτημένα, ἀλλ'
οὐδὲν οὕτως ὡς τὸ ὑδαρὲς μελίκρατον. Οὕτως οὖν προλεπλύνας τὰ 10
παχέα, ἢ ἐπικεράσας τὰ δριμέα, τότε τῶν λυπούντων ποίει τὴν κάθαρσιν, εἰ φαίνοιτό σοι κατὰ τὸ συναμφότερον λυποῦν[1], καὶ μὴ δύνασθαι μόνην τὴν δύναμιν εἰς τὸ περιγενέσθαι τῆς κακοχυμίας.
Φεύγειν γὰρ δεῖ ταῦτα πάντα φλεγμαίνειν δυνάμενα καὶ καθαίρειν, 11
καὶ μάλισλα ἐν τῇ ἀρχῇ, ἔτι ἀπέπλων ὄντων τῶν χυμῶν, καὶ τῆς φλεγμονῆς τὸ ζέον ἐχούσης, ἀλλ' οὐδὲν οὕτως ὡς τὰ περὶ νεφροὺς

[1] Sic AB. συναμφ. λυποῦτα καὶ.συν λυποῦντα καὶ C.

---

gation d'un régime sûr et rendez le corps bien libre au moyen de ptisane, de poisson, de chicorée et de tous ingrédients de nature à humecter
et à mélanger. Si la matière est épaisse sans avoir aucune âcreté, traitez 7
par une alimentation à l'oxymel et par des décoctions atténuantes et
dissolvantes. Mais, comme les dissolvants sont presque toujours mordi- 8
cants, et qu'ils causent un picotement sur les parties enflammées, il faut avoir soin de choisir les médicaments exempts de propriétés mordicantes.
Il y a certes plusieurs atténuants qui n'ont rien d'âcre ni de nuisible; 9
mais rien n'égale, à cet égard, le mélicrat mélangé d'eau. Après avoir 10
ainsi atténué préalablement les parties épaisses et tempéré les parties âcres, vous en venez à la purgation, si vous trouvez que le malade a une double affection [*sc.* pléthore et humeurs âcres] et qu'une action
unique ne peut vaincre la cacochymie. Car il faut éviter tels remèdes 11
pouvant enflammer en même temps que purger, surtout au début du traitement, les humeurs étant encore incuites et l'inflammation produisant partout du feu, mais nulle part autant qu'aux reins et dans la

2 *καὶ κύστιν. Δέχονται γὰρ τὰ περιττώματα ἑτοίμως εἰς αὐτὰ μᾶλλον,*
ἢ διαφορεῖταί τι ἐξ αὐτῶν, ἐὰν μὴ πέψις αὐτοῦ τοῦ φλεγμαίνοντος
3 *καὶ πάσης τῆς ὕλης εὑρεθῇ γινομένη. Οὕτω μὲν κἂν πολλὴ καὶ*
κακόχυμός σοι ἡ ὕλη φαίνοιτο, πράττειν δεῖ· εἰ δὲ μὴ φαίνοιτό
σοι πολλή τις οὖσα ἡ ὕλη καθ' ὅλον τὸ σῶμα, ἀλλὰ μᾶλλον ὀλίγη
καὶ δριμεῖα καὶ ζέουσα, φεύγειν δεῖ[1] *τὰ διουρητικὰ, κἂν ἄδιψα ᾖ,*
4 *καὶ τὸ μελίκρατον, κεχρῆσθαι δὲ μᾶλλον εὐκράτῳ πλείονι. Καὶ γὰρ*
5 *τὸ δριμὺ ἀμβλύνει, καὶ τὸ δακνῶδες ἀποπλύνει. Ὅπερ ἐπιμένον τὴν*
τε θερμότητα ἐπισπᾶται, καὶ τὸ δάκνειν καὶ ὀδύνην ἐμποιεῖ· ἡ δὲ
ὀδύνη οἶδε πλέον τὰ πεπονθότα ῥευματίζειν μόρια· ὥστε ἐὰν ᾖ δρι-
μύτης ἡ λυποῦσα, οὐ δεῖ φοβεῖσθαι τὴν πλείονα προσφορὰν τοῦ
6 *πόματος. Καὶ γὰρ τοῦτο πλέον ὠφελεῖ τὰς ἐκ δριμύτητος γινο-*
μένας φλεγμονάς· τὰς γὰρ[2] *διὰ πλῆθος ὕλης γινομένας τὰ διουρη-*
7 *τικὰ πάνυ οὐκ ὠφελεῖ. Συνεφέλκονται γὰρ καὶ ἄλλην ὕλην παχυ-*

[1] Note de Goupyl : « Asteriscum hoc loco induximus, ut qui sine causa hic adpositus sit : locus enim non depravatus. » Addition de A C : *δεῖ τὸ μελίκρατον καὶ τὰ διουρητικά*. Fort. mel. — [2] F. legend. *δὲ*.

---

12 vessie. En effet, ces parties reçoivent en soi les superfluités plutôt qu'elles
ne les laissent se dissiper, à moins que la cuisson de l'humeur inflam-
13 matoire et de toute la matière ne se soit effectuée. En conséquence, si la
matière vous apparaît et surabondante et cacochyme, il faut donner du
mélicrat et des diurétiques, tandis que, si vous ne la trouvez pas sura-
bondante par tout le corps mais plutôt en petite quantité, âcre et brû-
lante, il faut vous abstenir des diurétiques, même désaltérants, ainsi que
du mélicrat, et employer de préférence une boisson tempérée prise en
14 grande quantité. En effet, elle affaiblit l'âcreté (des humeurs) et en-
15 traîne ce qu'elles ont de mordicant. C'est ce mordicant qui, se fixant,
attire à soi la chaleur et cause une mordication et douleur; or la dou-
leur est fort capable d'augmenter la fluxion sur les parties malades, à ce
point que, si l'âcreté est accompagnée de souffrance, il ne faut pas craindre
16 de donner trop à boire. C'est ce qu'il y a de meilleur pour guérir les
inflammations causées par les humeurs âcres; quant à celles qui ont
pour cause la surabondance de matière, les boissons diurétiques sont
17 loin de les guérir. Elles attirent une nouvelle quantité de matière exces-

τέραν ἅμα τοῖς οὔροις εἰς τὰ πεπονθότα, ἥτις οὐχ εὑρίσκουσα διέξοδον, ἐν αὐτοῖς ἐμμένει τοῖς πάσχουσι.

92

ιη'. Περὶ βοηθημάτων τοπικῶν.

Ἔξωθεν μὲν δεῖ προσφέρειν, εἰ μὲν χολῶδες εἴη τὸ τὴν φλεγ- 1
μονὴν ἐργαζόμενον, τὰ ψύχειν δυνάμενα, καὶ μάλιστα ἐν ταῖς ἀρ-
χαῖς, καὶ ζεούσης ἔτι τῆς φλεγμονῆς. Πολλὰ οὖν εἰσιν τοῦτο ποιεῖν 2
δυνάμενα, ἀλλ' οὐδὲν οὕτως ὡς ἡ κηρωτὴ ἡ λαμβάνουσα ῥοδίνου,
καὶ βραχέος ὄξους, καὶ πολυγόνου χυλοῦ ἢ ἀνδράχνης. Ἐν δὲ ταῖς 3
ἀναβάσεσι καὶ τῶν διαφορητικῶν τι δεῖ προσφέρειν, οἷον χαμαιμή-
λου, ἢ τῶν νεαρῶν στεάτων ἢ τῆς διὰ χυλοῦ[1] βραχὺ παρακμῆς
γενομένης, καὶ τῶν ἔτι πλέον διαφορεῖν δυναμένων.

Εἰ δὲ παχυτέρα φαίνοιτό σοι ἡ τὴν φλεγμονὴν ἐργασαμένη 4

[1] F. legend. διαχύλου. J'ai traduit d'après cette correction.

sivement épaisse, en même temps que les urines, dans les parties affectées, matière qui, ne trouvant pas de passage pour s'écouler, y séjourne.

92

Ch. XVIII. — Remèdes topiques.

Il faut appliquer extérieurement, — s'il y a de la bile dans l'humeur 1
qui produit l'inflammation, — les remèdes réfrigérants, surtout au
début et lorsque l'inflammation est encore bouillonnante. Il est un grand 2
nombre de remèdes pouvant réussir pour cet objet, mais aucun n'agit
aussi heureusement que le cérat composé (d'huile) de rose, d'un peu de
vinaigre, de jus de polygonum et de pourpier. Dans la période d'augment, 3
il faut administrer les médicaments qui favorisent la perspiration, telle
que la camomille ou des graisses encore fraîches, ou enfin, durant la
période de décroissance qui survient bientôt grâce à la décoction administrée, des remèdes poussant encore davantage à la perspiration.

Maintenant, si vous voyez que la matière occasionnant l'inflammation 4

ὕλη, δεῖ βοηθεῖν τοῖς ἀδήκτως λεπτύνουσι, καὶ ἔξωθεν τῷ τε χαμαι-
μήλῳ, καὶ καταπλάσματι διὰ κριθίνου καὶ λινοσπέρμου ἑψηθέντων
εἰς τὸ ζέμα τοῦ χαμαιμήλου καὶ μελιλώτων, ἀψινθίου, καὶ ἀλθαίας,
5 καὶ ὀλίγου ἑψήματος. Τὸ δὲ ἐπὶ ϖολὺ ϖυριᾶν ϖαραιτοῦ, ἀλλὰ
6 ϖραϋτέρᾳ τῇ ϑερμασίᾳ κέχρησο. Ὥσπερ οὖν τὸ ἐπὶ ϖολὺ ϑερμαί-
νειν δεῖ ϖαραιτεῖσθαι διὰ τὸ μὴ εἰς ϖῦον μεταβληθῆναι τὴν ἐν τῇ
φλεγμονῇ ϖεριεχομένην ὕλην, οὕτω καὶ τοῖς ψύχουσιν ἐπὶ ϖολὺ
καὶ ϖολλάκις τάχιστα σκληροῦνται τῶν νεφρῶν αἱ φλεγμοναί.
7 Πάντα οὖν τὰ ἄκρα φεύγειν δεῖ ἐπὶ ϖάντων, μάλιστα δὲ ἐπὶ νεφρῶν
8 ἐχόντων φλεγμονήν. Λουτροῖς μὲν ϖρὶν κενῶσαι τὸ ϖλῆθος οὐ δεῖ
σπουδάζειν· κεχρῆσθαι δὲ μετὰ τὴν τοῦ ὅλου ϖρόνοιαν, καὶ λουτροῖς
ἐκθερμαίνουσιν ἀσφαλῶς ἄν τις χρήσαιτο.

93

ιθ'. Περὶ φλεγμονῆς νεφρῶν εἰς ϖῦον μεταβαλλούσης.

1 Τὴν δὲ φλεγμονὴν μέλλουσαν εἰς ϖῦον μεταβάλλεσθαι, διαγί-

---

soit trop épaisse, il faudra traiter par des atténuants non mordicants, et
extérieurement par la camomille, par des cataplasmes d'orge et de graine
de lin cuits dans une décoction de camomille et de mélilot, d'absinthe et
5 de guimauve en petite quantité. Proscrivez les fortes transpirations à
6 l'étuve, mais procurez au malade une chaleur plus douce. De même
donc qu'il faut interdire les moyens trop violents de donner de la cha-
leur, parce qu'ils empêchent la matière contenue dans l'inflammation de
se convertir en humeur purulente, de même aussi les réfrigérants trop
actifs et administrés trop fréquemment ont pour effet de durcir très-
7 promptement les inflammations des reins. Il faut donc, dans tous les cas,
éviter les extrêmes, mais surtout dans celui de l'inflammation des reins.
8 On doit avoir soin de ne pas faire prendre de bains avant la déplétion
de la pléthore, mais de n'y recourir qu'après avoir veillé à l'état général,
et encore n'emploiera-t-on avec sécurité que des bains chauds.

93

Ch. XIX. — De l'inflammation des reins qui aboutit à la suppuration.

1 Quant à l'inflammation qui est sur le point de se convertir en humeur

νωσκε πρότερον ἐκ τοῦ, μηδεμιᾶς προφάσεως γινομένης, πυρετοὺς
ἢ περιψύξεις τινὰς ἀλόγους ἐπιγίνεσθαι, καὶ ἀτάκτους. Περὶ γὰρ 2
τὰς γενέσεις τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον ἢ
γεννωμένου. Ἔπειτα δὲ πρὸς τοῦτο ἀνακλινόμενον αὐτὸν εἰς τὸ ὑγιαῖ- 3
νον μέρος ἐκ τοῦ πεπονθότος βάρους πολλοῦ μᾶλλον αὐτὸν αἰσθά-
νεσθαι λέγειν, ἢ πρὸ τοῦ εἰς ἀπόστασιν ἄρχεσθαι τὴν φλεγμονήν.
Λοιπὸν δὲ καὶ εἰ πῦον φανείη, μὴ ἀλλαχόθεν αὐτὸ ἐκκρίνεσθαι ὑπο- 4
λάβῃς, εἰ μὴ ἐκ τῶν νεφρῶν. Καὶ γὰρ ἡ προλαβοῦσα ὀδύνη καὶ ἡ 5
τοῦ βάρους συναίσθησις ἀκριβῆ τὴν διάγνωσιν καὶ ἀναμφίβολον
ἔχει[1] ἀποδείκνυσιν ὁμοίως. Ἐπειδὴ δὲ καὶ ἐξ ἄλλων τόπων πλειόνων 6
ἐκκρίνεται πῦον, ἅπαντά σοι σαφῶς ἐκτίθημι τὰ σημεῖα, δι' ὧν
δυνήσεταί τις αὐτὸ καταλαβεῖν, ἐξ ὧν ἐκκρίνεται τόπων τὸ πῦον,
εἴτε ἀπὸ νεφρῶν, εἴτε ἀπὸ κύστεως ἢ οὐρητικῶν πόρων, ἢ καὶ ἀπὸ
τοῦ πνεύμονος, ἢ ἄλλου τινὸς μορίου, εἴτε ἀναπνευστικῶν ἢ θρεπτι-
κῶν· καὶ γὰρ εἰ σπανίως, ἀλλ' ὅμως ἐξ αὐτῶν ἐκκρίνεται πῦον.

[1] ἔχειν Ed. Corrigo.

---

purulente, vous la diagnostiquerez d'abord d'après ce fait qu'il survien-
drait, sans aucune cause préalable, des fièvres ou des frissons sans raison
et irréguliers. En effet, c'est aux approches de la formation du pus que 2
surviennent les douleurs et les fièvres, bien plus qu'après cette formation.
Un second signe est que le malade, étant couché sur le côté sain, dit 3
ressentir, du fait de la partie malade, une pesanteur beaucoup plus grande
qu'avant que l'inflammation tournât en suppuration. Enfin, si le pus se 4
montre, ne supposez pas qu'il puisse s'échapper d'un autre endroit que
des reins. En effet, la douleur qui précède et la sensation de pesanteur 5
(éprouvée par le malade) donnent un diagnostic positif en même temps
qu'une démonstration non équivoque. Maintenant, comme le pus peut 6
encore provenir de plusieurs autres endroits, je vais vous dire tous les
signes auxquels vous pourrez reconnaître d'où provient cette humeur,
soit des reins, ou de la vessie, ou des voies urinaires, ou encore du
poumon, etc., soit des organes de la respiration ou de ceux de la nu-
trition; car, si cette provenance est rare, elle n'en est pas moins réelle.

7 Ἄνωθεν μὲν οὖν τό πῦον Φερόμενον εὑρίσκεται πάντως σὺν τῷ
8 σχήματι τοῦ οὔρου ἀναμεμιγμένου ἀκριϐῶς. Εἰ δὲ ἐκ τῶν κάτωθεν
ἐκκρίνοιτο, καὶ τὴν ὑπόσΊασιν ὑφισΊάνουσαν εὑρήσεις ἐν τῷ πυθ-
9 μένι τῆς ἀμίδος μᾶλλον. Εἰ δὲ ἐκ τῶν μέσων μερῶν Φέροιτο, μέση
καὶ ἡ μίξις τοῦ πύου εὑρίσκεται, καὶ οὐκ ἀκριϐῶς ἀναμεμιγμένη.
10 Πρόσεχε δὲ καὶ τοῖς ἀναμεμιγμένοις καὶ ἐμΦερομένοις ἐν οὔροις·
11 πάντως γὰρ μηνύουσί σοι τὸν πεπονθότα τόπον. Εἰ μὲν γὰρ ἐκ τῆς
κύσΊεως, εὑρήσεις ἐμΦερόμενα μόρια πεταλώδη· εἰ δὲ σαρκώδη,
12 ἀπὸ τῶν νεΦρῶν. Λοιπὸν δὲ καὶ ἡ ἰδιάζουσα ὀδύνη καὶ τὰ προηγη-
σάμενα καὶ πάντα τὰ συνεδρεύοντα καὶ τὸν τόπον τὸν πεπονθότα
καὶ τὴν διάθεσιν δηλώσει, καὶ Φανερὰν ποιήσει πάνυ.

94

κ'. ΝεΦριτικὸν ξήριον πρὸς δυσουρίαν καὶ λιθίασιν.

1 Ἀλθαίας σπέρμα, λινόσπερμα ἀνὰ Γο S″, κνίδης σπέρμα, γρ. ϛ',

---

7 Donc cette humeur, lorsqu'elle descend des parties supérieures, se ren-
8 contre toujours mélangée complétement avec de l'urine. Si elle vient des
parties inférieures, vous la trouverez plutôt à l'état de dépôt au fond
9 du vase de nuit. Si elle prend sa source dans les parties intermédiaires,
10 le mélange de l'humeur [avec l'urine] est médiocre et incomplet. Obser-
vez aussi avec soin les matières contenues dans les urines et mélangées
avec elles : elles vous feront toujours reconnaître le siége de l'affection
11 morbide. Si le mal est dans la vessie, ces matières auront l'aspect de
12 pellicules; sont-elles charnues? il est dans les reins. Au surplus, la dou-
leur locale, les faits avant-coureurs et concomitants feront reconnaître le
point affecté et la diathèse d'une façon tout à fait manifeste.

94

Ch. XX. — MÉDICAMENT NÉPHRÉTIQUE SEC CONTRE LA DYSURIE ET LA LITHIASE.

1 Graine de guimauve, graine de lin, une demi-once de chacun; graine

ναρδοσλάχυος, καρποβαλσάμου ἀνὰ γρ. ϛ′, παλιούρου σπέρμα Γο S″, ὑέλου Γο α′.

95

κα′. Ἄλλο ᾧ καὶ αὐτὸς κέχρημαι[1].

Ἀγαρικοῦ Γο α′, ἀλθαίας σπέρμα Γο S″, λινοσπέρμου Γο S″, 1 *κνίδης σπέρμα καρποβαλσάμου, παλιούρου σπέρμα, ὑέλου, ἀνὰ γρ. ϛ′ · δίδου ἐκ τοῦ ξηρίου γρ. α′, μετὰ χρυσατλικοῦ ζέματος ἢ ἠρυγγίου, καὶ ἀγρώσλεως, καὶ σικύου σπέρματος*[2]*, καὶ ἀτρακτυλίδος βοτάνης.*

96

κβ′. Περὶ θεραπείας.

Θεραπεύειν δὲ δεῖ τοὺς ἐκκρίνοντας πῦον, τοῖς ἀδήκτοις καὶ 1 *ἀποῤῥίπλειν δυναμένοις, ὧν ἐσλι καὶ τὸ ὑδαρὲς μελίκρατον, καὶ ὁ χυλὸς τῆς πλισάνης μετ' ὀλίγου μέλιτος τότε ἀδίαντον,*

[1] C'est Alexandre qui parle. — [2] *σπέρμα* Ed. Corrigo.

---

d'ortie, 6 grammes; nard en épi, baume, 6 grammes de chacun; grains de paliure, une demi-once, [poussière de] verre, 1 once.

95

Ch. XXI. — AUTRE MÉDICAMENT QUE J'EMPLOIE MOI-MÊME.

Agaric, 1 once; graine de guimauve, une demi-once; graine de lin, 1 une demi-once; graine d'ortie, baume, grains de paliure, [poussière de] verre, 6 grammes de chacun. Faites prendre 1 gramme de cette poudre avec du chrysattique (sorte de vin artificiel) bouillant ou une décoction d'éryngium, de chiendent, de pepins de concombre et la plante elle-même du chardon.

96

Ch. XXII. — TRAITEMENT.

Il faut traiter ceux qui urinent du pus par les médicaments à la fois 1 non mordicants et capables de le faire évacuer, entre autres, le me-

καὶ σπέρμα τοῦ σικύου μετὰ χρυσαττικοῦ, καὶ ὁ διὰ Φυσσα-
λίδων τροχίσκος, καὶ τὸ γάλα τὸ ὄνειον πινόμενον, καὶ μάλιστα
τοῖς ἔχουσι τὸ ἕλκος περὶ τὴν κύστιν, καὶ ἡ ἀρμενία βῶλος πι-
2 νομένη, καὶ ἵππουρις, καὶ ἄγρωστις ἔτι μάλα. Τὰ δὲ περὶ τὸν
οὐρητικὸν πόρον, διὰ κοκκίων ἢ τροχίσκων ἀδήκτως ξηραινόντων
3 μᾶλλον ἤπερ διὰ τῶν λεπτυνόντων θεραπεῦσαι. Προσέχειν δὲ δεῖ
πάντως καὶ τῇ διαίτῃ, καὶ μὴ, ὡς οἱ πολλοὶ, τοῖς φαρμάκοις μόνοις
4 καταπιστεύειν. Ἐπιτήδειος οὖν ὁ χυλὸς τῆς πτισάνης καὶ τοῦ βρόμου
μόνος[1] μετὰ χρυσαττικοῦ ἢ ῥοσάτου ἢ οἰνομέλιτος, ἢ τοῦ γλυκέως
τοῦ κρητικοῦ, ἢ λαδάνου ἢ σκυθοπολίτου.

5 Εἰ δὲ μὴ ἔχει ἡδέως γλυκὺν πιεῖν ὁ πάσχων οἶνον, ἢ ὑδρόμηλον
ἢ κνίδιον, ἢ σαρεφθῖνον, ἢ τυρίον λαμβανέτω, ὀλίγον μέντοι· οὐ γὰρ
πολὺς καὶ ῥευματίζεσθαι παρασκευάζει τὰ ἕλκη καὶ φλεγμαίνειν.
6 Κάλλισται δὲ τούτοις εἰσὶ σταφίδες ἐσθιόμεναι, καὶ ἀμύγδαλα καὶ

[1] F. supplend. καὶ.

---

licrat mélangé d'eau, la décoction de ptisane accompagnée d'un peu de
miel, l'adiante, les pepins de concombre pris avec du vin d'Athènes, la
pastille de physalis, le lait d'ânesse en boisson, surtout pour ceux qui
ont un ulcère à la vessie, la pilule d'Arménie[1], prise en boisson, l'équi-
2 setum et surtout le chiendent. [On traite] les affections de l'urètre par des
3 pilules ou des pastilles à la fois desséchantes et non mordicantes. Il faut
aussi se préoccuper grandement du régime, et ne pas croire, comme
beaucoup de médecins, qu'il suffit de s'en reposer sur l'action des seuls
4 remèdes. On se trouvera bien de la décoction de ptisane et de folle
avoine administrée seule et avec le chrysattique, ou le vin aux roses, ou
encore le vin miellé, le vin sucré de Crète, le ladanum ou le scythopo-
lite.

5 Si le malade n'aime pas à boire sucré, il prendra du vin [ordinaire],
ou de l'hydromélon, du daphné-cnidium, du sarephthinon, ou du petit
fromage, en petite quantité toutefois, car il n'en faudrait pas beaucoup
6 pour amener une fluxion sur les ulcérations et les enflammer. Sont excel-

[1] Pilule d'ellébore (cp. *Œuvres d'Oribase*, t. II, p. 102), ou plutôt de terre d'Arménie (*ibid.* p. 706).

*στρόβιλοι μετὰ γλυκέος, εἰ μὴ λίθους ἔχουσιν· ἔθος γὰρ τίκτειν εἰς
τοὺς νεφρούς· καὶ τὰ ὠὰ δὲ τῶν κατοικιδίων ὀρνίθων ἐσθιόμενα χλιαρὰ
καὶ ἁπαλώτατα πάνυ ὠφελεῖ. Ἐγὼ γοῦν οἶδά τινα ὃς ἅμα τῷ τεχθῆ-* 7
ναι τὰ ὠὰ κατεῤῥόφει[1] *αὐτὰ ἄνευ ἑψήσεως, καὶ ἔφασκε τὰ μέγιστα
ὠφελεῖσθαι, καὶ τὰς δήξεις καὶ τὰς ὀδύνας τὰς γινομένας περὶ τὴν
κύστιν ἐκ τοῦ τρόπου τούτου φέρειν δύνασθαι πράως ἔφασκε. Καὶ ὁ* 8
*ἐχῖνος δὲ ὁ πεπλυμένος ἐσθιόμενος καθ' ἑαυτὸν ἢ μετὰ χρυσαττικοῦ
ἢ ὑδρομήλου γλυκέος καὶ κτένια πεπλυμένα. Καὶ ἀστακὸς διέφθος* 9
*ἐν ἄλλῳ καὶ ἄλλῳ ὕδατι μετὰ τὸ καθαρθῆναι ἑψηθεὶς, ὠφελιμώ-
τατός ἐστι. Τῶν δὲ λαχάνων τὸ ἴντυβον καὶ ἡ κράμβη, τρίσεφθος* 10
*ἐσθιομένη εἰς οἶνον, εἰ μὴ τὸ φερόμενον πῦον δριμύτερον καὶ δα-
κνῶδες εἴη. Καὶ οἱ θέρμοι ἄναλοι*[2] *χρήσιμοι, τὸ θρύπτειν ἔχοντες,* 11
καὶ τὸ σμηκτικὸν τῶν ἑλκῶν, καὶ οἱ βλαστοὶ τῆς τήλεως ἐσθιόμενοι,

[1] *κατεῤῥόφα*. Corrigo. — [2] F. leg. *ἁπαλοὶ*.

---

lents contre ceux-ci les raisins secs pris comme nourriture, ainsi que les
amandes et les pommes de pin prises dans du vin sucré (pourvu qu'elles
ne soient pas pierreuses, car d'ordinaire elles engendrent des calculs
dans les reins); les œufs des oiseaux de basse-cour, mangés tièdes et très-
mollets, sont encore d'un très-bon effet. Pour ma part, je connais quelqu'un 7
qui les avalait aussitôt pondus, sans les faire cuire, et m'affirmait qu'il s'en
trouvait parfaitement; il ajoutait que, par ce moyen, il parvenait à pou-
voir bien supporter les mordications et toutes douleurs prenant naissance
dans la vessie. L'oursin encore, que l'on mange simplement blanchi, ou 8
seul ou avec du chrysattique ou de l'hydromélon sucré; de même les
coquillages simplement blanchis. Le homard cuit dans une eau, puis 9
recuit dans une autre eau après qu'on l'a vidé, est tout ce qu'il y a de
plus efficace. En fait de légumes, l'intybe[1] et le chou cuit trois fois et 10
mangé dans du vin, à moins que le pus contenu [dans les reins] ne
soit trop âcre et mordicant. Les lupins non salés[2] ont du bon, aidant 11
à la désagrégation [des calculs] et au nettoiement des ulcères; de même
les bourgeons du fenugrec pris comme nourriture, ainsi que le cumin

[1] Espèce de chicorée, *endives*.

[2] Tendres, frais, si l'on adopte la correction conjecturale *ἁπαλοὶ*.

2 καὶ τὸ εὔνοστον[1] κύμινον συμμέτρως. Καὶ τὰ κάστανα δὲ ἑψόμενα ἢ ὀπτὰ συμβάλλονται πάνυ, καὶ μάλιστα ὅταν λεπτὸν καὶ χολῶδες εἴη τὸ Φερόμενον· ὅτε[2] δὲ παχὺ καὶ ἐσφηνωμένον ὑπάρχει, ὡς μόλις ἐκκρίνεσθαι, τῶν παχυχύμων ἐδεσμάτων Φείδεσθαι.

97

κγ'. Περὶ στραγγουρίας διαγνώσεως καὶ θεραπείας.

1 Εἰ μὲν δριμύτης τις εἴη ἐν τοῖς οὔροις, καὶ ἡ ὄρεξις ἐπὶ τὸ δριμύτερον καὶ χολωδέστερον εἴη τετραμμένη, δεῖ στοχάζεσθαι πάντως διὰ τὴν δῆξιν τὴν ἐκ τῆς δριμύτητος γίνεσθαι τὴν στραγγουρίαν.
2 Εἰ δὲ μηδὲν εἴη τοιοῦτον, ἀλλὰ τοὐναντίον, καὶ τὸ οὖρον λευκὸν Φαίνοιτο μᾶλλον, καὶ τὰ προηγησάμενα ψυχρότερα μᾶλλον, καὶ δίαιτα καὶ λουτρὰ ψυχρότερα, δεῖ μᾶλλον ψυχρὰν δυσκρασίαν αἰτιᾶσθαι

[1] Fort. legendum ἄνοστος, insipidus. Voir Théophr. *de causis plant.* liv. IV. Voici la *castigatio* de Goupyl sur ce mot : «Literæ a librario transpositæ locum turbarunt. Suspicor enim εὔστομον ex Dioscoride legendum esse, quo verbo ἥμερον κόμινον significatur. — [2] ὅτι Ed. Corrigo.

2 sans saveur[1], pris modérément. Les châtaignes bouillies ou grillées sont très-bienfaisantes, surtout lorsque [l'humeur] formée est ténue et bilieuse; mais, lorsqu'elle est épaisse et obstruante, à ce point qu'elle s'échappe avec peine, [il faut] éviter les aliments trop succulents.

97

Ch. XXIII. — DIAGNOSTIC ET TRAITEMENT DE LA STRANGURIE.

1 S'il y a une certaine âcreté dans les urines et que l'appétit se porte vers les aliments âcres et bilieux, il faut toujours conjecturer, en raison
2 de la mordication, que c'est cette âcreté qui produit la strangurie. Mais, s'il ne survient rien de tel, qu'au contraire l'urine apparaisse plutôt de couleur blanche, que l'état antérieur ait plutôt marqué une température froide, avec un régime et des bains froids également, il faut, dans ce cas, s'en prendre plutôt à une dyscrasie froide de la vessie qui ne lui

[1] Traduit d'après la correction conjecturale.

τῆς κύστεως, ἥτις οὐκ ἐᾷ κρατεῖσθαι τὸ οὖρον. Αὗται μὲν αἱ αἰτίαι 3
τῆς στραγγουρίας· ἡ θεραπεία δὲ συμφώνως γενέσθω τῇ ποιούσῃ
αἰτίᾳ. Τοῖς μὲν γὰρ ὑγραίνουσι καὶ ἐπικιρνῶσι δεῖ κεχρῆσθαι, εἰ 4
δριμύτης εἴη, καὶ μηδενὶ θερμῷ ἢ ἁλμυρῷ. Παντάπασιν οὖν πτι- 5
σάνη τούτοις χρησίμη καθ' ἑαυτὴν καὶ μετὰ ὀλίγου ὑδρομήλου ἢ
χρυσαττικοῦ· ἔσθ' ὅτε δὲ καὶ μετὰ γάλακτος μετὰ τὸ παύσασθαι
τὸ πολὺ τῆς δριμύτητος· ἐπεὶ διαφθείρεται, ἐὰν πάνυ ἐπικρατούσης
τῆς ξηρᾶς καὶ δριμείας ποιότητος ἐπιδοθείη τὸ γάλα. Τούτοις καὶ 6
τὰ συνεχῆ λουτρὰ ἐπιτήδεια καὶ τὸ εὔκρατον πρὸ τροφῆς καὶ σι-
κύων ἡ ἐντεριώνη, καὶ πέπων, καὶ οἱ βλαστοὶ τῆς τήλεως καὶ γλυ-
κεῖα σταφυλή, καὶ οἶνος γλυκύς, οἷος ἐστιν ὁ βιθυνός, καὶ ἁπλῶς
εἰπεῖν, ὅσα ἐπικιρνᾶν δύναται καὶ παύειν δριμύτητα.

98

κδ'. Περὶ τῆς διὰ ψύξιν στραγγουρίας.

Εἰ δὲ διὰ ψυχρὰν δυσκρασίαν συμβῇ γενέσθαι τὸ τῆς στραγγου- 1

---

permet pas de triompher de l'urine. Telles sont les causes de la strangurie; 3
quant au traitement de cette affection, il faut qu'il soit en rapport avec la
cause effective. On doit recourir aux remèdes humectants et produisant 4
le mélange [des matières], s'il y a âcreté, et proscrire tout ce qui est
échauffant ou salé. Dans ce cas-là, la ptisane donne d'excellents résultats, 5
employée seule ou avec une petite quantité d'hydromélon ou de chry-
sattique, quelquefois aussi avec du lait, après que le plus fort de
l'âcreté est passé; car il tourne [dans l'estomac] lorsqu'on le prend pen-
dant que la sécheresse et l'âcreté [des humeurs] règnent absolument. A 6
ce traitement devront succéder des bains continus et une boisson bien
tempérée prise avant le manger, puis l'intérieur du concombre ainsi
que le concombre lui-même, des bourgeons de fenugrec, du raisin
bien sucré, du vin sucré aussi, tel que celui de Bithynie par exemple;
en un mot, tout ce qui peut mélanger [les humeurs] et en faire cesser
l'âcreté.

98

Ch. XXIV. — DE LA STRANGURIE CAUSÉE PAR LE FROID.

Maintenant, si l'affection stranguriqne vient de ce que le tempérament 1

ρίας πάθος, ἀναγκαῖόν ἐσ1ι τοῖς θερμαίνειν δυναμένοις κατά τε
2 δίαιταν καὶ Φαρμακείαν κεχρῆσθαι. Οἶνος τοίνυν θερμότερος τού-
τοις ἐσ1ὶν ἐπιτήδειος, καὶ οἰνόμελι, καὶ ἀψινθάτον, καὶ ἀνισάτον
πινόμενον καὶ ἐσθιόμενον· καὶ ἐν λαχάνοις σέλινον καὶ πρᾶσον
διέφθον, καὶ δαῦκος καὶ πᾶν ὃ θερμαίνειν οἶδε χωρὶς τοῦ δάκνειν.
3 Ἀλοιφῇ δὲ κεχρήσθω τῷ ἀνηθίνῳ ἢ γλευκίνῳ ἢ μαρκιάτῳ[1] καὶ τοῖς
4 αὐτοφυέσιν ὕδασιν. Ἔσθ' ὅτε δὲ καὶ σκορδίου καὶ ἀρτεμισίας ἀπό-
ζεμα πινόμενον ποιεῖ καλῶς πρὸς δυσουρίαν, ὅπου μὴ ἐσ1ι πολλὴ
δριμύτης ἢ Φλεγμονή.

99

κε΄. Περὶ δυσουρίας διαγνώσεως καὶ θεραπείας.

1 Τῆς δυσουρίας ἡ μέν ἐσ1ι μετ' ὀδύνης, ἡ δὲ ἄνευ ὀδύνης. Εἰ μὲν
οὖν μόλις ἐκκρίνοιτο τὸ οὖρον καὶ μετ' ὀδύνης, εἰδέναι δεῖ τὴν
2 κύσ1ιν ἔχειν τὸ πάθος. Εἰ δὲ καὶ χωρὶς βάρους, ἕλκος εἶναι περὶ

[1] Mot inconnu; f. legend. ναρκιάτῳ a νάρκη.

---

pèche par le froid, il est nécessaire de suivre un régime et de prendre
2 des remèdes de nature à lui procurer de la chaleur. Le vin un peu chaud
convient dans ce cas, ainsi que le mélange de vin et de miel, le vin à
l'absinthe ou à l'anis, pris comme aliment et comme boisson; parmi les
légumes, le persil sauvage, le poireau recuit, le panais et généralement
3 tout ce qui procure de la chaleur sans causer de mordication. On usera
aussi de l'onction à l'aneth ou bien du vin doux, ou encore du mar-
4 ciat (?) [1], ou même simplement des eaux naturelles. Dans certains cas,
une potion composée d'une décoction de scordium et d'armoise produit
un bon effet sur la dysurie, quand il n'y a pas beaucoup d'âcreté ni d'in-
flammation.

99

Ch. XXV. — MOYENS DE RECONNAÎTRE ET DE TRAITER LA DYSURIE.

1 Il y a dysurie avec douleur et dysurie sans douleur. Si l'urine s'écoule
difficilement et avec douleur, il faut en conclure nécessairement que la
2 vessie est affectée. Si l'écoulement en a lieu sans une [sensation de] pe-

[1] Ou, si l'on adopte la correction conjecturale (ναρκιάτον), du vin de gentiane.

τὴν κύστιν ὑπονοεῖν χρὴ, εἰ μετὰ δήξεως σφοδρᾶς, καὶ πύου ἔκκρι-
σις γένοιτο· εἰ δὲ βάρους συναίσθησίς τις εἴη γεγενημένη, δεῖ
μᾶλλον ὑπονοεῖν ἢ φλεγμονὴν αὐτὴν ἔχειν ἢ ἀπόστημα. Εἰ δὲ ἄνευ 3
βάρους ἡ ὀδύνη, ἢ διατάσεως μόνης αἰσθάνοιτο περὶ τὴν κύστιν,
γίνωσκε φυσῶδες πολὺ πνεῦμα εἶναι τὸ αἴτιον τῆς ἐπισχέσεως. Εἰ 4
δὲ μηδεμιᾶς αἰσθάνοιτο περὶ τὴν κύστιν ὁ κάμνων ὀδύνης, ἢ ὄγκου
ἢ διατάσεως, γίνωσκε περὶ τοὺς νεφροὺς ἢ τοὺς οὐρητῆρας εἶναι
τὴν ἔμφραξιν ἢ φλεγμονὴν ἢ λίθον. Ὅπως δὲ καὶ διαγιγνώσκειν 5
ἅπαντα δεῖ καὶ ἰᾶσθαι, εἴρηται πρόσθεν, ὅταν περὶ τῆς νεφρῶν
φλεγμονῆς καὶ ἀποστήματος καὶ τῶν ἄλλων γινομένων ἐν αὐτοῖς
διαθέσεων διελεγόμεθα· καὶ ταῦτα νῦν γράφειν περιττόν· ὅμως
πρὸς τὸ εὐχερῶς εὑρίσκειν καὶ ἐνταῦθα τινῶν μνημονεύσωμεν[1].
Πρὸς μὲν τὴν διὰ γλίσχρους χυμοὺς γινομένην ἔμφραξιν τῶν οὔρων 6
καλῶς ποιεῖ καὶ τὸ σύνθετον ὀξύμελι, καὶ τὸ μελίκρατον καὶ τὸ
ἀπόζεμα τῆς ῥάμνου, τὸ ἀπὸ τῆς ῥίζης, καὶ τοῦ ὀριγάνου τὸ ζέμα

[1] F. leg. μνημονεύσομεν.

---

santeur, on doit supposer l'existence d'un ulcère à la vessie, surtout quand il est accompagné de picotements violents et d'excrétion de pus; mais, s'il y a une sensation de pesanteur, il y a plutôt lieu de supposer que la vessie a de l'inflammation ou un abcès. Si la douleur n'est pas accompagnée d'une sensation de pesanteur, ou que le malade ressente seulement une distension à la vessie, vous devez en conclure que la flatulence localisée là occasionne cette obstruction. Si le malade n'éprouve à la vessie ni douleur, ni enflure, ni distension, concluez-en que c'est dans les reins ou dans les uretères que réside l'obstruction, ou l'inflammation ou le calcul. Quant aux moyens de reconnaître et de traiter tous ces divers cas, ils ont été détaillés précédemment, lorsque nous avons parlé de l'inflammation des reins, des abcès et des autres accidents qui s'y produisent; il est inutile de les décrire en ce moment; toutefois, pour faciliter la recherche, nous mentionnerons ici quelques points. Contre l'obstruction des urines causée par des humeurs visqueuses, on emploie avec succès l'oxymel composé, le mélicrat, la décoction de nerprun épineux, faite

7 θαυμασίως. Καὶ ἔτι μᾶλλον, εἴπερ ἡ ἔμφραξις εἴη μεγάλη, ὥσῖε τὰ οὖρα ἐπέχεσθαι, ποιεῖ καλῶς καὶ τέμνει καὶ ἐκφράτῖει τὸ ζέμα τοῦ
8 φλοιοῦ τῆς τιθυμάλου. Ὅπου δέ ἐσῖι φλεγμονὴ, τούτων ἀπέχεσθαι δεῖ, τοῖς δὲ ἀδήκτοις κεχρῆσθαι καὶ συμπεπῖικοῖς, οἷόν ἐσῖι καὶ τὸ ὑδαρὲς μελίκρατον, καὶ ὅσα συμπέτῖειν οἶδε τὰς φλεγμονὰς, ἔξωθεν
9 προσφερόμενα. Πρὸς δὲ τοὺς ἐν νεφροῖς λίθους, ἐὰν ὦσι μεγάλοι, ὥσῖε δι' αὐτῶν γενέσθαι τὴν τῶν οὔρων ἐπίσχεσιν, καλῶς ποιεῖ ἥ
0 τε πριονῖτις βοτάνη πινομένη μετ' οἰνομέλιτος. Διδόναι δὲ ὅσον
1 β' ἢ γ' γρ. ἐξ αὐτῆς τῆς ῥίζης. Καὶ τῆς πενταφύλλου τὸ ζέμα μᾶλλον ποιεῖ, καὶ τοῦ ἐρυσίμου, καὶ ἑρπύλλου ξηροῦ, καὶ τὸ διὰ τοῦ τρα-
2 γείου αἵματος, καὶ τῶν τετῖίγων. Πάντα δὲ ταῦτα καὶ τοὺς ἐν κύσῖει
3 κατὰ μέρος πεπίσῖευται θρύπῖειν λίθους. Καὶ συνθέτων δὲ ἐμνημονεύσαμεν βοηθημάτων.

---

7 avec sa racine; celle d'origan est merveilleuse. Il y a mieux encore, si l'obstruction est forte au point d'arrêter le cours des urines, pour agir efficacement, diviser [les matières] obstruantes et désobstruer : c'est une
8 décoction d'écorce d'euphorbe. Il ne faut pas faire usage de ces remèdes lorsqu'il y a inflammation, mais employer ceux qui ne causent pas de picotements et qui sont digestifs, tels que le mélicrat trempé d'eau et tous ceux
9 qui font mûrir l'inflammation, étant appliqués à l'extérieur. Contre les calculs existant dans les reins, s'ils sont assez gros pour causer l'arrêt des urines, on se trouvera bien de la bétoine prise en potion avec du
0 vin au miel. Donner 2 ou 3 onces de cette racine. La décoction de quintefeuille réussit encore mieux, de même que celles d'érysimum, de ser-
2 polet sec, celle-ci mélangée avec du sang de bouc et des cigales. Tous ces médicaments, il est avéré qu'ils ont, en outre, la propriété de désa-
3 gréger, partie par partie, les calculs de la vessie. Quant aux remèdes composés, nous les avons déjà mentionnés.

100

κς'. Περὶ τῶν ἐν τῇ κύσ7ει τικτομένων λίθων.

Κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν τῇ κύσ7ει τικτόμενοι λίθοι, ὥσπερ καὶ οἱ ἐν τοῖς νεφροῖς, περιοδεύονται, πλὴν ὅτι οἱ ἐν τῇ κύσ7ει λίθοι παιδίοις μᾶλλον τίκτονται ἤπερ ἀνδράσι, καὶ οὔτε ὑπὸ τοσαύτης θερμότητος, ἀλλὰ μᾶλλον ἀπὸ παχυτέρας ὕλης, καὶ ἐπιτηδείας εἰς τὸ τίκτειν λίθους, καὶ πήγνυσθαι ἑτοίμως ὑπὸ τῆς ἐμφύτου θερμότητος. Πρὸς τὴν παχύτητα οὖν δεῖ ἐνίσ7ασθαι μᾶλλον διὰ τῶν λεπ7υνόντων, ὥσ7ε μὴ πολλὴν ἀθροίζεσθαι ὕλην παχεῖαν, ἣν τίκτουσιν εἰκότως καὶ ἀθροίζουσιν ἀδηφαγίαι τε ἄτακτοι, καὶ μετὰ τροφὴν ἀκινησίαι.

101

κζ'. Σημεῖα λιθιάσεως ἐκ τῶν οὔρων.

Μάλισ7α μὲν ἄπεπ7α καὶ ὑπόλευκα τούτοις ὁρᾶται τὰ οὖρα κατὰ

100

Ch. xxvi. — DES CALCULS QUI SE FORMENT DANS LA VESSIE.

Les calculs qui se forment dans la vessie se comportent de la même façon que ceux des reins, sauf que les premiers viennent plutôt aux enfants qu'aux hommes, et qu'ils sont dus, non pas à une aussi grande chaleur [que ceux des reins], mais plutôt à une matière trop épaisse et propre à engendrer des pierres et à être figée sous l'action de la chaleur naturelle. Contre l'épaisseur [des humeurs] il faut d'abord recourir aux atténuants, afin d'empêcher une accumulation excessive de la matière épaisse, résultant vraisemblablement d'une voracité désordonnée et de l'immobilité après les repas.

101

Ch. xxvii. — INDICES DE LA LITHIASE, D'APRÈS LES URINES.

Les urines, dans ce cas, ne présentent point de coction, et sont d'une

2 τὴν χροιὰν, καὶ ὑπόστασις ψαμμώδης καὶ ψωροειδής. Καὶ ϖροσέτι
φιλοῦσι κνᾶσθαι τὸ αἰδοῖον ἢ διατείνειν αὐτὸ βιαίως καὶ ϖολλά-
κις, καὶ τότε ϖλέον ἡνίκα ϖρὸς τὴν τῶν οὔρων ἔκκρισιν ἐπείγονται.

102

κη'. Περὶ θεραπείας.

1 Εἴρηται μὲν οὖν καὶ ἔμπροσθεν ἰσχυρὰ βοηθήματα ϖρὸς τοὺς
2 ἐν κύστει λίθους. Εἴρηται[1] δὲ καὶ νῦν ἔτι δραστικώτερα, καὶ χρόνῳ
ϖολλῷ καὶ ϖείρᾳ ϖροσεξερευθέντα, καὶ μαρτυρούμενα, τό τε αἴγειον
3 αἷμα ἐπιχριόμενον ἔξωθεν θερμὸν μάλιστα ϖοιεῖ. Κάλλιον δὲ καὶ
[εἰ[2]] ἐπάνω τῆς κύστεως θήσῃς τὸν τράγον· καὶ ἔτι κάλλιστον, εἰ ἐν
4 τῷ θερμῷ ἀέρι τοῦ βαλανείου χρίσῃς, καὶ οὕτως ἐπιδήσῃς. Ποίει
δὲ αὐτὸ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ ϖολλάκις καὶ ἐκ διαλείμματος.

[1] F. legend. εἰρήσθω. — [2] εἰ addo.

---

2 couleur blanchâtre; le sédiment en est sablonneux et d'apparence pso-
rique. [Les personnes affectées] sont portées à se gratter dans les parties
génitales ou à les distendre violemment, et cela fréquemment, mais sur-
tout lorsqu'elles éprouvent le besoin d'uriner.

102

Ch. XXVIII. — TRAITEMENT.

1 On a indiqué précédemment des remèdes énergiques à employer contre
2 les calculs de la vessie. On en indique maintenant qui sont encore plus
efficaces, que le temps et l'expérience ont permis d'ajouter [aux autres],
et dont l'effet est attesté; ainsi, par exemple, le sang de chèvre, employé
3 tout chaud comme onction à l'extérieur, est excellent. Ce sera encore
mieux [si] vous placez le bouc [égorgé] au-dessus de la vessie; mais ce qui
est parfait c'est de pratiquer l'onction dans l'atmosphère chaude du bain
4 et de sauter dans ces conditions. Faites cela non pas une fois seulement,
mais à plusieurs reprises et par intervalles.

103

κθʹ. Ψωριώσης κύστεως διάγνωσις.

Διαγίνωσκε τὴν ψωρίασιν τῆς κύστεως ἐκ τοῦ πιτυρώδη τινὰ 1
μόρια κατὰ τὸ χῦμα τῶν οὔρων φαίνεσθαι· διακρινεῖς δὲ αὐτὰ ἀπὸ
τῶν φερομένων ἀπὸ τῶν φλεϐῶν. Καὶ γὰρ καὶ αἱ φλέϐες ἔστιν ὅτε 2
καὶ ὅλον τὸ σῶμα πολλάκις, ὥσπερ τινὰ ψωρίασιν ὑπομένουσιν ἐν
τοῖς ἀμέτροις καύσοις, καὶ φέρεται ἐξ αὐτῶν πιτυρώδη. Εἰ μὲν οὖν 3
τὸ οὖρον λεπτὸν εἴη κατὰ τὴν σύστασιν, καὶ μᾶλλον δριμὺ, γίνωσκε
πιτυρώδη ἐκ τῶν φλεϐῶν εἶναι· εἰ δὲ τὸ οὖρον παχὺ κατὰ τὴν σύστα-
σιν εἴη, γίνωσκε τὴν ψωρίασιν τῆς κύστεως εἶναι. Θεραπεύειν δὲ δεῖ 4
τοῖς δυναμένοις καθαίρειν, καὶ τελευταῖον τοῖς ξηραίνουσι καὶ εἰς
οὐλὴν ἄγουσι τὸ ἕλκος. Ἔστι μὲν οὖν δυσχερὲς καὶ ἐγγὺς ἀνίατον ὡς 5
μηδὲν ἰσχύειν πρὸς τὸ πάθος βοήθημα. Ὅμως δὲ δεῖ βοηθεῖν καὶ μὴ 6
ἀποκάμνειν, ἀλλὰ διαίτῃ καὶ φαρμακείᾳ καὶ παντὶ τρόπῳ βοηθεῖν. Τὸ 7

103

Ch. XXIX. — MOYENS DE RECONNAÎTRE LA PSORIASE DE LA VESSIE.

Vous devez reconnaître la psoriase de la vessie à la présence des par- 1
ticules furfuracées qui se manifestent dans l'écoulement des urines. Il
vous sera loisible de les distinguer de celles qui proviennent des veines.
En effet, il arrive souvent que les veines, comme le corps tout entier, 2
éprouvent une sorte de psoriase, dans le cas de fièvres très-violentes,
et qu'il s'en échappe des particules furfuracées. Ainsi donc, lorsque 3
l'urine est ténue dans sa composition et âcre, concluez-en que ces par-
ticules proviennent des veines; si elle est épaisse dans sa composition,
tirez-en l'indication qu'il y a psoriase de la vessie. Il faut traiter par les 4
moyens capables de purger et, en dernier lieu, par des remèdes dessé-
chants et qui soient de nature à cicatriser l'ulcère. Cette maladie est 5
rebelle, je dirais presque incurable, au point que nul remède ne peut
lutter victorieusement contre elle. Il n'en faut pas moins appliquer des 6
médicaments sans se décourager et faire concourir le régime et la thé-
rapeutique, par tous les moyens possibles, au soulagement des ma-
lades. Le lait d'ânesse, administré avec une grande persistance, leur fera 7

γάλα τοίνυν τὸ ὄνειον πάνυ συνεχῶς διδόμενον τούτοις ὠφέλιμον.
8 Εἰ δὲ μὴ παρῇ, καὶ τὸ αἴγειον διδόμενον, καὶ πίνειν καὶ ἐσθίειν μὴ μόνον, ἀλλὰ καὶ μετά τινος τῶν σιτωδῶν ἢ μετὰ ἄρτου ἢ μετὰ σεμι-
9 δάλεως ἢ ἰτρίου ἢ ἅλικος[1] ἢ χύτρου. Ὠφελεῖ τούτοις καὶ ὠὰ ἁπαλώτατα καὶ πεπόνων καὶ σικύων τὰ ἐντός· ἐν τροφῇ δὲ στρόβιλοι νεαροὶ καὶ σταφίδες καὶ σπέρμα τοῦ σικύου πινόμενον, καὶ ὅσα διὰ τῶν τοιούτων σκευάζεται, μετέχοντα καὶ τῶν ἀνωδύνων, ἢ κωνείου,
10 ἢ ὀπίου, διὰ τὴν ἄμετρον ὀδύνην. Οὐ δεῖ δὲ συνεχῶς τοῖς ἀνωδύνοις πάνυ κεχρῆσθαι, εἰ μὴ πρὸς δύναμιν.

104

λ′. Βοήθημα ποιοῦν πρὸς τὰς ψωρώδεις διαθέσεις καὶ δυσουρίας καὶ φλεγμονάς.

1 Στροβίλια κ′, σικύου ἡμέρου σπέρματος κόκκοι μ′, ἀμύλου, ναρ-

[1] ἄλυκος Ed. Corrigo. — [2] F. legend. χόνδρου. Comp. *Œuvres d'Hippocrate*, éd. Littré, t. II, p. 502, 503.

---

8 du bien. Si l'on n'en a pas, le lait de chèvre est bon aussi, pris non-seulement en breuvage et comme nourriture, mais encore comme ingrédient avec divers aliments, avec du pain, de la farine sémidalise, de
9 l'itrion[1], de la farine d'épeautre, de la farine de gruau (?). Une chose qui est encore d'un bon effet, ce sont des œufs tout à fait mollets et l'intérieur des concombres ou des courges; ou bien, comme nourriture, des pommes de pin fraîches, des raisins secs, ou encore de la graine de concombre prise en boisson et toutes choses préparées avec ces ingrédients, jouissant de propriétés anodines, ou avec la ciguë ou l'opium
10 dans le cas de douleurs trop vives. Il ne faut pas employer les calmants d'une manière continue, mais rien que pour produire l'effet (?).

104

Ch. XXX. — REMÈDE EFFICACE CONTRE LES AFFECTIONS PSORIQUES, LA DYSURIE ET LES INFLAMMATIONS.

1 20 petites pommes de pin, 40 pepins de courge de jardin (*littéralement*

[1] Voir une note sur ce gâteau, *Œuvres d'Oribase*, t. I, p. 562; voir aussi *ibid.* p. 20.

δοσ7άχυος ἀνὰ ∠ α′, σελίνου σπέρμα ∠ ι′, εἰς ὕδατος ξε α′· ἕψεται ἡ νάρδος καὶ τὸ σέλινον, εἶτα τοῦ ἀφεψήματος μίγνυται τοῖς προγεγραμμένοις ἡ δόσις κο β′.

105

λα′. Περὶ διαβήτου.

Ὁ διαβήτης καλούμενός ἐσ7ιν ὅταν ἀμετρότερον ἐκκρίνεται τὸ 1
οὖρον αὐτοῖς, πολλάκις ἅμα τῷ πίνειν· οἷόν τι καὶ τοῖς λειεντε-
ριώδεσι συμβαίνει τὸ τὰ σιτία ἐκκρίνεσθαι, μηδὲ βραχὺ δυνάμενα
κρατεῖσθαι ἐν τῇ γασ7ρὶ, καὶ ἀλλοιοῦσθαι καὶ τρέφειν τὸ σῶμα.
Διό τινες οὐ διαβήτην μόνον καλοῦσι τὸ πάθος, ἀλλὰ καὶ εἰς οὖρα 2
διάῤῥοιαν διὰ τὸ διαῤῥεῖν εὐθὺς τὸ πόμα; ἐπεὶ δὲ ἀμέτρως διψῶσι,
τοῦ ὑγροῦ παντὸς ἐκκρινομένου, καὶ διψακὸν τὸ πάθος ὠνόμασαν.
Τοιοῦτον μὲν οὖν ἐσ7ι καὶ διαφόρου τετύχηκεν ὀνόματος· γίνεται 3

---

adoucie par la culture), amidon[1], nard en épi, 1 drachme de chacun; graine de céleri, 10 drachmes dans 1 sextaire d'eau. On fait bouillir le nard et le céleri, puis, de cette décoction, on mélange avec les ingrédients précités une dose de 2 cotyles (près d'un demi-litre).

105

Ch. XXXI. — DU DIABÈTE.

Il y a ce que l'on appelle *diabète* lorsque l'urine s'écoule en quantité 1
démesurée, souvent pendant que l'on boit, de même qu'il arrive aux
personnes affectées de lienterie de rendre par en bas leurs aliments sans
qu'ils puissent être retenus un seul instant dans le ventre, ni être trans-
formés, ni nourrir le corps. Aussi certains [médecins] ne donnent pas à 2
cette maladie le seul nom de *diabète,* mais, en outre, celui de *diarrhée
urinaire,* à cause de l'écoulement immédiat des liquides absorbés. De
plus, comme les malades ont une soif immodérée, vu que tout le liquide
s'écoule, on a donné aussi à cette maladie le nom de *dipsacos* (de δίψα,
soif). Telles sont les dénominations diverses qu'elle a reçues. Elle a 3

[1] Voir note sur l'aliment à l'amidon, *Œuvres d'Oribase*, t. I, p. 561.

δὲ δι' ἀσθένειαν τῆς ἐν τοῖς νεφροῖς καθεκτικῆς δυνάμεως, καὶ διὰ
ῥώμην τῆς ἑλκτικῆς, ἥτις διὰ θερμασίαν ἀμετρότερον ἕλκειν ἀναγ-
κάζεται οὐ μόνον τὰ ἐν φλεψὶν, ἀλλὰ καὶ τὰ τοῦ ὅλου σώματος ὑγρά.
4 Διὸ καὶ ϖρὸς ταύτην ἐνίστασθαι δεῖ τὴν δυσκρασίαν, καὶ οὕτω
ϖοιεῖσθαι τὴν ϖᾶσαν θεραπείαν, ψύχοντας μὲν τὸ σῶμα καὶ ῥων-
νύοντας, ἐπικιρνῶντας δὲ τὸ ὅλον σῶμα καὶ ὑγραίνοντας· ἐπειδήπερ
ἐξ ἀνάγκης ξηρὸν εὑρίσκεται γινόμενον τὸ σῶμα διὰ τὴν ϖολλὴν
5 τῶν οὔρων ἔκκρισιν. Δεῖ οὖν καὶ ϖόμα τούτοις ϖλέον διδόναι τοῦ
συνήθους, ὥστε μηδὲ ὅλως δίψαν συγχωρεῖν γίνεσθαι, καὶ τροφὰς
δυσμεταβλήτους, ὥστε μὴ εὐχερῶς ἐξουρεῖσθαι καὶ λεπτοποιεῖσθαι
6 τὴν τροφήν. Τὸ γὰρ ἧπαρ θερμότερον γινόμενον καὶ δριμύτερον
τὴν γαστέρα ξηροτέραν ἐργάζεται, ἑλκομένων καὶ ἐκβοσκομένων
7 τῶν σιτίων τὴν ὑγρότητα. Δεῖ οὖν διδόναι τούτοις ἐξ ἀνάγκης
8 ϖλείονα τροφὴν καὶ ϖαχύνουσαν, ὥστε δύνασθαι ἐπαρκεῖν. Ἄλιξ[1]

[1] ἄλυξ Ed. Corrigo.

---

pour origine l'affaiblissement de la puissance rétentive des reins et l'ac-
croissement de la puissance attractive, qui, par suite d'un excès d'é-
chauffement, est amenée forcément à entraîner, non-seulement les li-
4 quides contenus dans les veines, mais même ceux de tout le corps. Voilà
pourquoi il faut combattre le mauvais tempérament qui s'y rapporte et
diriger tout le traitement dans ce sens, cherchant à rafraîchir et à fortifier
le corps, puis augmentant la quantité des liquides et les mélangeant
dans tout l'organisme; d'autant plus que le corps devient nécessairement
5 plus sec par suite d'une grande dépense d'urine. Il faut donc donner à
boire à ces malades dans des proportions inusitées, au point de leur faire
convenir qu'ils n'ont plus soif, et à manger des aliments d'une trans-
formation difficile, de façon que leur nourriture ne soit pas facile à
6 convertir en urine et à atténuer. En effet, le foie devenu trop chaud et
trop âcre rend le ventre trop sec, les aliments attirant à eux et absorbant
7 son humidité. Il faut donc nécessairement donner à ces malades une
nourriture plus riche et épaississante, pour qu'elle puisse suffire à cette
8 dépense. Il n'y a rien de meilleur contre ces affections que l'épeautre (?)

τοίνυν τούτοις ἐπιτηδειότατος μετὰ ῥοσάτου ἢ χρυσαττικοῦ λαμβα-
νόμενος ἢ ῥοδομήλου ἢ ἡδρομήλου ἢ ὀλίγου σαρεφθίνου, ἢ τυρίου
ἢ κνιδίου· καὶ λαχάνων ἴντυβα ἢ τρώξιμα, ἢ θριδακίνη· καὶ τῶν
κρεῶν, βούλβιον[1], καὶ σΊέρνιον, καὶ πόδες μάλισΊα τῶν βοῶν, ἢ
ῥύγχη[2]· καὶ τῶν ἰχθύων, ἴσικος, ὀρφὸς, ἢ ἄλλος τις τῶν σκληρο-
σάρκων, καὶ τῶν πεπόνων ἡ σὰρξ ἐκτὸς τοῦ σπέρματος, καὶ μῆλα
τὰ πάνυ γλυκέα. Φεύγειν δὲ δεῖ τὰ ἁλμυρὰ πάντα καὶ δριμέα. Καὶ 9-10
μηδεὶς εἰς τοὺς ζωμοὺς ἐμβάλῃ ἢ ἀνισου, ἢ κυμίνου, ἢ ὅλως τι τῶν
τοιούτων σπερμάτων ἢ τῶν οὖρα προτρεπόντων. Φευγέτω δὲ καὶ 11
ἐχίνου μεταλαμβάνειν ἢ ἀμυγδάλων, ἢ πισΊακίων, ἢ ἰσχάδων, ἢ
φοινίκων· τῶν δὲ κασΊάνων λαμβάνειν οὐδὲν ἄτοπον.

[1] Mot inconnu qui paraît être un diminutif du latin *vulva*. Torino emploie ce dernier mot dans sa traduction. — [2] ῥέγχη Ed.; ῥώγχη C. Corrigo e lat. vers.

---

mélangé avec du vin aux roses, du chrysattique, ou du vin aux pommes
de roses, de la liqueur au jus de pommes, ou bien avec une petite quan-
tité de [vin] sarephthin ou de Tyr ou de Cnide (?); en fait de légumes, des
intybes, ceux qui se mangent crus, la laitue sauvage; en fait de viandes,
le ventre [de truie], les tripes, et les pieds, surtout ceux du bœuf, ou
le groin du porc; en fait de poissons, l'isicus (?), l'orphe, et les autres à
chair dure; des [fruits] tendres, la chair qui entoure le noyau; les pommes
tout à fait sucrées. Il faut éviter tous les aliments salés et âcres. Ne vous 9-10
hasardez pas à prendre le jus exprimé de l'anis ou du cumin, ni généra-
lement d'aucune graine de cette nature ou de celles qui provoquent les
urines. Évitez aussi les [fruits] épineux, ainsi que les amandes, les pistaches, 11
les figues sèches, les dattes. Quant aux châtaignes, elles ne présentent
aucun inconvénient.

106

λϐ′. Περὶ γονοῤῥοίας.

1 *Γονόῤῥοια γίνεται ποτὲ μὲν ὑπὸ πλήθους σπέρματος βαρύνοντος τὴν δύναμιν τὴν καθεκτικὴν, τὴν οὖσαν ἐν τοῖς σπερματικοῖς ἀγγείοις, ὡς μὴ κατέχειν ἐπὶ πλέον ἔτι δύνασθαι τὸ τεχθὲν σπέρμα· ἔστιν ὅτε καὶ διὰ δριμύτητα καὶ λεπτότητα τοῦ σπέρματος.*

2 *Ἐρωτᾶν οὖν χρὴ καὶ περὶ τῆς χρόας τοῦ σπέρματος καὶ τῆς συ-*
στάσεως αὐτοῦ, καὶ τὰ προηγησάμενα αἴτια, τήν τε δίαιταν καὶ τὸν
3 *προλαβόντα[1] βίον. Εἰ μὲν γὰρ ἦν εἰωθὼς ἀφροδισιάζειν καὶ πλείοσι*
κεχρῆσθαι μίξεσι, νῦν δὲ μετέβαλεν ἐπὶ τὸ σωφρονέστερον καὶ
καθάριον, ὁμολογουμένως ὑπὸ πλήθους τοῦτο ὑπομένειν, τῶν μορίων
4 *μὴ δυναμένων φέρειν τὸ πλῆθος. Εἰ δὲ μηδὲν εἴη τοιοῦτον, χολω-*
δέστερον δὲ καὶ δριμύτερον μᾶλλον φαίνοιτο εἶναι τὸ ἐκκρινόμενον
σπέρμα, γίνωσκε μᾶλλον ἐρεθίζεσθαι τὴν γονὴν καὶ φέρεσθαι διὰ

[1] F. leg. *παρελθόντα*. J'ai traduit en conséquence.

106

Ch. XXXII. — DE LA GONORRHÉE.

1 La gonorrhée a pour origine, tantôt une surabondance de sperme alourdissant la faculté rétentive qui existe dans les vaisseaux spermatiques au point de ne plus pouvoir retenir le sperme en formation, tantôt l'âcreté et la ténuité du sperme.

2 Il faut donc questionner le malade sur la couleur du sperme et sa
composition, ainsi que sur les causes antécédentes, le régime suivi et la
3 vie passée. En effet, si, après s'être fait une habitude d'actes vénériens
nombreux et variés, on modifie sa conduite dans le sens de la conti-
nence et de la pureté, il est constant que la maladie est amenée dans ce
cas par la surabondance, les parties ne pouvant supporter cette sura-
4 bondance. Mais, s'il n'y a rien de tel, et que le sperme émis apparaisse
plutôt avec un caractère bilieux et âcre, c'est le lieu de reconnaître
que la semence est en état d'éréthisme et qu'elle est entraînée à cause

λεπτότητα· ὡς ἐπὶ τὸ ϖολὺ δὲ καὶ δι' ἀσθένειαν αὐτοῖς ἕπεται τῆς καθεκτικῆς δυνάμεως.

107

λγ'. Περὶ θεραπείας.

Ἐπὶ μὲν οὖν τῆς ὑπὸ ϖλήθους γινομένης γονοῤῥοίας, ϖάντων 1
ἀπέχεσθαι σπουδάζειν τῶν ϖολλῶν τροφῶν, καὶ μάλιστα τῶν γεννώντων χολὴν καὶ ϖλείονα ϖνεύματα, καὶ ἐρεθιζόντων τὴν ὕλην ϖροπετέστερον Φέρεσθαι ϖρὸς τὰ ἐκτός. Πολλὰ δέ ἐστι τοιαῦτα 2
καὶ ἐν τροφαῖς καὶ ἐν Φαρμάκοις· ἐν μὲν τροφαῖς, κῶνοι, κύαμοι, ἐρέβινθοι, βολβοὶ, εὔζομα, γογγύλη, καὶ μάλιστα τὸ σπέρμα αὐτῆς ϖινόμενον· ὥσπερ καὶ τοῦ δαύκου τοῦ μεγάλου ἡμέρου τὸ σπέρμα, καὶ τὸ ἡδύοσμον.

---

de sa ténuité; mais généralement aussi elle s'échappe à cause de la diminution de la faculté rétentive.

107

Ch. XXXIII. — TRAITEMENT.

Dans le cas de la gonorrhée ayant pour origine la surabondance, 1
il faut s'abstenir avec soin de tous les aliments riches, et surtout de ceux qui engendrent la bile et de nombreux gaz, comme de ceux qui excitent la matière à se précipiter au dehors. Un grand nombre d'aliments 2
et de remèdes produisent ces divers effets. Tels sont, parmi les aliments, les pommes de pin (?), les fèves, les pois chiches, les oignons, la roquette, les radis ou les raves, et surtout les breuvages faits avec leurs graines, comme aussi la graine de grand panais cultivé et la menthe.

108

λδʹ. Ὅσα ἐν φαρμάκοις γεννᾷ σπέρματα καὶ παρορμᾷ.

1 Ἐν δὲ φαρμάκοις ἀκαλήφης[1] τὸ σπέρμα πινόμενον καὶ κόστος παρορμᾷ μετ' οἰνομέλιτος, ὄρχεως ἡ ῥίζα, ἥν τινες κυνὸς ὄρχιν λέγουσιν, ἡ μείζων παρορμᾷ πινομένη, σατύριον[2], σκίγκων τὰ περὶ τοὺς νεφροὺς ὡς ἐντατικὰ τῶν αἰδοίων πίνεται.

109

λεʹ. Ὅσα ξηραίνει τὴν γονήν.

1 Ταῦτα οὖν καὶ ὅσα τούτοις ὅμοια φεύγειν δεῖ ἢ ἐν ἐδέσμασι βάλ-
2 λειν, ἢ πίνειν ὅλως. Ἐσθίειν δὲ τὰ ἀντιπαθῶς ἔχοντα πρὸς τὸ τὴν γονὴν τίκτεσθαι πλείονα, καὶ σβεννύντα μᾶλλον τὸ σπέρμα, ἐξ ὧν ἐστιν ὅ τε τοῦ ἄγνου καρπὸς πεφρυγμένος καὶ ἄφρυκτος, καὶ τὰ φύλλα δὲ καὶ τὰ ἄνθη ὑποστρωννύμενα τὰ αὐτὰ ποιεῖν δύνανται.

[1] ἀκαλύφης Ed. Corrigo. — [2] σατόριον Codd.

108

Ch. XXXIV. — REMÈDES QUI ENGENDRENT LE SPERME ET L'EXCITENT.

1 En fait de remèdes, la graine d'ortie prise en potion est un excitant, ainsi que le costus employé avec du vin miellé, ou la grande racine d'orchis, appelée quelquefois testicule de chien, qui, prise en potion, est un stimulant, le satyrium, les parties des grands lézards avoisinant les reins, administrées comme breuvage portant à l'érection du membre viril.

109

Ch. XXXV. — REMÈDES POUR DESSÉCHER LA SEMENCE.

1 Ces remèdes et tous leurs analogues, il faut éviter de les mettre dans
2 la nourriture ou de les prendre en potion. On doit rechercher ce qui combat la production exagérée de la semence et ce qui consume plutôt le sperme, notamment le fruit de l'agnus-castus, desséché ou non; un

Θρίδακος σπέρμα μεθ' ὕδατος πινόμενον τὰ αὐτὰ ποιεῖν εἴωθε, καὶ 3
ἐπέχειν γονόῤῥοιαν· ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. Ὁμοίως δὲ 4
καὶ ὁ τῆς ἀγρίας κανάβεως καρπὸς, εἰ πλείων ποθεὶς[1] εἴη, ξηραίνει
τὴν γονήν. Ὄρχις, ὅν τινες [κυνὸς][2] ὄρχιν λέγουσιν, ἢ ἐλάττων ῥίζα 5
πινομένη ἐπέχει τὸ σπέρμα, μόλυβδος ταῖς ψόαις ἐπιτιθέμενος, τοὺς
ὀνειρώττοντας ὀνίνησι. Νυμφαίας ἡ ῥίζα καὶ τὸ σπέρμα τοῖς ὀνει- 6
ρωγμοῖς καλῶς ποιεῖ, ἀμετρότερον δὲ φερομένοις ἐν οἴνῳ μέλανι
αὐστηρῷ πινομένη. Καὶ περικλυμένου τὰ φύλλα καὶ ὁ καρπὸς ξη- 7
ραίνει τὸ σπέρμα, καί τινάς φασιν ἀγόνους γενέσθαι τοὺς ἐπὶ τὸ
πολὺ πίνοντας.

Καθόλου οὖν τὰ ψύχοντα καὶ ξηραίνοντα, ἐφ' ὧν καὶ πλῆθός 8
ἐστι σπέρματος, καὶ ἀσθενὴς ἡ καθεκτικὴ δύναμις, ἐπιλέγεσθαι δεῖ,
καὶ ἐν τροφαῖς καὶ ἐν φαρμάκοις Παραιτεῖσθαι δὲ τὰ φυσώδη μετὰ 9

[1] πωθεὶς. Corrigo. — [2] Supplendum censeo κυνός ut supra habetur. Goupyl est du même avis. Cp. frag. 108.

---

lit de ses feuilles et de ses fleurs produit le même effet. La graine de 3
laitue bue avec de l'eau n'est pas moins efficace et arrête la gonorrhée;
aussi la fait-on prendre aussi contre les pollutions nocturnes. Il en est de 4
même du chènevis; si l'on en boit une bonne quantité, il dessèche la
semence. Citons encore l'orchis, que l'on nomme quelquefois testicule 5
[de chien], ou petite racine qui, prise en potion, retient le sperme; du
plomb appliqué sur les régions lombaires est un remède utile contre les
pollutions nocturnes. La racine du nénuphar et sa graine sont d'un bon 6
effet dans le même cas, et, dans celui des écoulements immodérés, [cette
même racine] prise en potion dans du vin noir et âpre. Le fruit et le 7
feuillage du chèvrefeuille dessèchent encore le sperme, et l'on prétend
même que certains sont devenus impuissants pour en avoir pris en potion
une grande quantité.

Donc, en général, les substances refroidissantes et desséchantes, soit 8
comme aliments, soit comme remèdes, sont à rechercher pour traiter
ceux chez qui il y a surabondance de sperme et amoindrissement de la
faculté rétentive. Il faut éviter celles qui ont le double caractère de fla- 9

τοῦ θερμαίνειν, τὰ δὲ ἄφυσα[1] ἐπιλέγεσθαι μετὰ τοῦ μὴ πάνυ θερ-
10 μαίνειν. Εἰ δὲ λεπτὸν καὶ δριμὺ τὸ σπέρμα τύχῃ εἶναι, διδόναι μὲν
δεῖ καὶ τῶν εἰρημένων ὅσα ψύχειν καὶ ξηραίνειν δύνανται βοηθή-
11 ματα, μάλιστα δὲ τῇ τροφῇ προσέχειν. Δέονται γὰρ οὗτοι τῶν
ἐπικιρνώντων καὶ ἐμψυχόντων πάνυ, καὶ λουτρῶν εὐκράτων, ὥστε
παχυνθεῖσαν ἠρέμα τὴν γονὴν καὶ εὔκρατον γινομένην μηκέτι φέ-
12 ρεσθαι. Τὸ πήγανον καὶ θερμὸν ὑπάρχον παχύνειν τὴν γονὴν
μεμαρτύρηται· διὸ καὶ ὠφελεῖ πρὸς τὸ μὴ συνεχῶς ὀνειρώττειν τε
καὶ ἐκτήκειν τὴν γονήν, καὶ τὴν ὅλην δὲ αὐτοῦ οὐσίαν οὐ μόνον τὴν
κρᾶσιν, οἰκείως πρὸς τοῦτο ἔχειν.

110

λϛʹ. Περὶ πριαπισμοῦ.

1 Τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἐχόντων πριαπισμὸν δεῖ ποιεῖν, καὶ

[1] ἄφυσσα Ed. Corrigo.

---

tulentes et d'échauffantes, et choisir, au contraire, celles qui ont le double
10 caractère inverse. Maintenant, s'il arrive que le sperme soit ténu et âcre,
il faut administrer, parmi les remèdes précités, ceux qui sont de nature
à le rafraîchir et à le dessécher, et se préoccuper surtout de l'alimenta-
11 tion. Ces malades ont besoin de ce qui opère le mélange [des humeurs],
de tout ce qu'il y a de plus rafraîchissant et de bains convenablement
composés, de façon que la semence, devenant insensiblement plus épaisse
et mieux proportionnée dans ses diverses parties, ne soit plus suscep-
12 tible d'écoulement. Que la rue, étant chaude, épaississe la semence,
c'est un fait avéré; aussi est-elle efficace pour combattre les pollutions
nocturnes continues et l'atténuation de la semence, et c'est dans toute sa
substance et non pas seulement dans son tempérament qu'elle possède
cette bienfaisante qualité.

110

Ch. XXXVI. — DU PRIAPISME.

1 Il faut traiter de la même façon ceux qui sont affectés de priapisme;

ἀπέχεσθαι μὲν τῶν θερμοτέρων ἐδεσμάτων καὶ ἀναλύειν δυναμένων
τὴν ὕλην εἰς πνεύματα καὶ ἀναστομεῖν[1] τὰς ἀρτηρίας τὰς εἰσβαλλούσας
εἰς τὸ αἰδοῖον σηραγγῶδές τε ὂν καὶ ἐπιτηδείως ἔχον πρὸς τὸ ὑπο-
δέχεσθαι τὰ διατείνειν αὐτὸ καὶ φυσᾶν δυνάμενα πνεύματα. Ὥστε 2
οὐ μόνον τῶν θερμαινόντων, ἀλλὰ καὶ τῶν γλίσχρον χυμὸν τίκτειν
δυναμένων, ἢ καὶ[2] τοιούτων φείδεσθαι δεῖ τὸν πάσχοντα πάσης τε
θέας αἰσχρᾶς καὶ ὁμιλίας καὶ φαντασίας πάσης, ὥστε πανταχόθεν
ἐκκόπτεσθαι πᾶσαν κίνησιν ὑπομιμνήσκειν δυναμένην τὴν φύσιν
ἐπεγείρεσθαι. Πολλοὶ οὖν τοῦτο φυλαξάμενοι, τελείως ἀπηλλάγησαν 3
τοῦ πάθους. Ὅσοι δὲ μετὰ τοῦ τὴν δίαιταν ἔχειν θερμὴν καὶ ὑγρὰν 4
ὥστε τίκτεσθαι πάλιν τὸ σπέρμα, καὶ τῶν ἐπιθυμιῶν τῶν αἰσχρῶν
οὐκ ἐπαύσαντο, οὗτοι καὶ μετὰ θάνατον ὀρθὸν εὑρέθησαν ἔχοντες καὶ
ἐκτεταμένον τὸ μόριον. Κηρωτὴ οὖν ῥοδίνη καλῶς τούτοις ποιεῖ 5
μετὰ ψυχροῦ ὕδατος ἀνακοπτομένη καὶ ὀλίγου[3] ὄξους. Τὰ δὲ πάνυ 6
ψύχοντα παραιτεῖσθαι, καὶ μάλιστα τὰ στύφοντα καὶ ναρκωτικά,

[1] On ne connaît qu' ἀναστομόω. — [2] κατὰ Ed. Corrigo. Nil deest, ut opinor, sed tantum καὶ pro κατὰ legendum. — [3] ὀλίγον Ed. Corrigo.

---

ils doivent s'abstenir d'aliments trop chauds, pouvant résoudre la matière
en gaz et élargir les artères qui introduisent dans le pénis, organe garni
de trous nombreux et disposé pour les recevoir, les gaz propres à le dis-
tendre et à le gonfler. Aussi faut-il sevrer le malade non-seulement de 2
ce qui échauffe, mais, en outre, de ce qui peut engendrer une humeur
visqueuse ou produire des effets analogues, tel que spectacles, conver-
sations, pensées obscènes; de façon à écarter autour de lui tout mou-
vement qui pourrait raviver par le souvenir la surexcitation de la nature.
Beaucoup [de malades], grâce à cette précaution, ont été complète- 3
ment guéris. Ceux qui, tout en observant un régime chaud et humide 4
de nature à favoriser une nouvelle formation de sperme, ne mettent pas
de terme à leurs désirs lubriques, ceux-là, même après la mort, on leur
trouve le membre viril roide et distendu. Le cérat à la rose réussit bien 5
à ces individus, battu dans de l'eau fraîche mélangée d'un peu de vinaigre.
Proscrire tout ce qui est très-refroidissant, surtout les astringents et les 6
narcotiques, afin d'éviter que la maladie ne se complique d'une perspi-

7 διὰ τὸ μὴ τὸ πάθος δυσδιαφόρητον γενέσθαι. Πινέτωσαν δὲ πάντα τὰ δυνάμενα μετριάζειν τὴν γονὴν, καὶ μάλισῖα τῆς νυμφαίας τὸ σπέρμα καὶ τὴν ῥίζαν· πάνυ γὰρ ἀντιπαθῶς ἔχειν πρὸς ταῦτα τετήρηται, καὶ οὐ μόνον κράσει τινὶ δρᾷ, ἀλλὰ καὶ ὅλῃ τῇ οὐσίᾳ
8 αὐτῆς. Κινήσει δὲ κεχρήσθωσαν καὶ ἀνατρίψει τῶν ἄνω μερῶν καὶ[1] εἰς ἀλτῆρας γυμναζέσθωσαν καὶ σφαῖραν[2], ἀντισπᾶσθαι τὴν ὕλην, καὶ τὸ φυσῶδες πνεῦμα διαφορεῖσθαι.

111

Θ', α'. Περὶ κωλικῆς διαθέσεως.

1 Δεινόν τι πάθος καὶ ὀδυνηρὸν ἡ κωλικὴ διάθεσις, πρὸς τούτοις
2 καὶ τὸ δυσδιάγνωσῖον ἔχουσα. Καὶ τὸ μὲν ἐπιφέρειν τὰς ὀδύνας σφοδρὰς, εἰκότως τῷ κώλῳ προσγίνεται, διὰ τὸ πυκνὸν εἶναι καὶ παχὺ καὶ νευρῶδες τὸ κῶλον, καὶ μηδὲν τῶν ἐκεῖ συῤῥεόντων[3] εὐχε-
3 ρῶς διαφορεῖσθαι δυνατὸν, καθάπερ ἐπὶ τῶν λεπῖῶν ἐντέρων. Τὸ

[1] ἀρτῆρας Ed. — Goupyl propose cette correction : καὶ διὰ τῶν ἀλτήρων καὶ σφαίρας γυμν. ἀντισπ. τὴν ὕλην... — [2] Hic f. supplend. διὰ τό. — [3] συῤῥυέντ. B.

---

7 ration difficile. Que les malades prennent en potion tout ce qui peut modérer la semence, notamment la graine du nénuphar et sa racine; car l'efficacité de ces substances est un fait qui a été observé, non-seulement en raison de leur tempérament, mais encore dans son essence même.
8 Qu'ils aient recours aussi à l'exercice fréquent et au frictionnement des parties supérieures, qu'ils s'exercent avec les haltères et la paume, afin de tirer en sens contraire la matière [spermatique] et de provoquer l'évacuation des gaz flatulents.

111

Livre IX, ch. 1er. — DE L'AFFECTION DITE COLIQUE.

1 L'affection dite *colique* est un état dangereux, faisant beaucoup
2 souffrir, et, qui plus est, fort difficile à diagnostiquer. Quant au premier point, c'est-à-dire les souffrances qu'elle occasionne, elles tiennent à ce que le côlon est dense, épais, nerveux, et à ce que rien de ce qui s'y accumule ne peut être facilement évacué, comme il arrive pour les
3 intestins grêles. En ce qui touche la difficulté de la diagnostiquer, elle

δὲ δυσδιαγνωστικὸν[1] ἐκεῖ πάλιν, ἐκ τοῦ καὶ ἄλλοις μορίοις
τοιαῦτα συμπτώματα συμβαίνειν, οἷα τοῖς τὸ κῶλον ἀλγοῦσιν. Ὅπως 4
οὖν μὴ πλανᾶσθαι τις μέλλων τυφλώττῃ περὶ τὴν θεραπείαν,
ἀναγκαῖόν ἐστιν εἰδέναι καὶ διακρίνειν ἡμᾶς πρότερον, εἰ τὸ κῶλόν
ἐστιν τὸ πάσχον, ἢ ἄλλο τι μόριον, καὶ τίνες εἰσὶν ἐν αὐτῷ συμ-
βαίνουσαι διαθέσεις, καὶ ὅπως ἑκάστην αὐτῶν διάθεσιν κατ' ἰδίαν
δεῖ διαγινώσκειν[2]. Οὐδὲ γὰρ μία τίς ἐστιν ἐν αὐτῷ συνισταμένη 5
διάθεσις, ἀλλὰ πολλαὶ καὶ ποικίλαι. Καὶ γὰρ διὰ ψυχροὺς χυμοὺς 6
καὶ χολώδεις, ἤτοι φλέγματος περιουσίαν[3] τικτομένου ἐν αὐτῷ, ἢ
ἑτέρωθεν ἐπιῤῥέοντος καὶ διὰ φλεγμονὴν καὶ διὰ ξηρὰν κόπρον ἰσχο-
μένην καὶ πνευμάτων πλειόνων καὶ παχυτέρων ἔνστασιν καὶ δι'
ἄλλα μυρία, οὐ μόνον διὰ πρωτοπάθειαν τὸ τοιοῦτον γίνεται πάθος,
ἀλλὰ καὶ κατὰ συμπάθειαν τῶν γειτνιώντων αὐτῷ μορίων. Καὶ γὰρ 7
καὶ κύστεως φλεγμαινούσης, καὶ νεφρῶν, καὶ ἥπατος, καὶ σπληνὸς,
καὶ διαφράγματος, καὶ κοιλίας καὶ λαγόνος. Ἀλλὰ τὰς μὲν κατὰ 8

[1] Sic A B. Edit. : διαγνωστικὸν. — [2] δεῖ γιν. B. — [3] Sic A B. Ed. : περὶ οὐσίαν.

---

provient de ce que d'autres parties manifestent des symptômes analogues
à ceux qui accompagnent les douleurs du côlon. Donc, afin que, sur le 4
point de s'engager dans la voie de l'erreur, on ne soit pas aveuglé en
fait de traitement, il est nécessaire de savoir et de discerner tout d'abord
si c'est bien le côlon qui est affecté, ou si ce n'est pas telle ou telle
autre partie, puis quels sont les divers états dans lesquels il se trouve,
enfin quels sont les moyens de diagnostiquer chaque état en par-
ticulier. C'est qu'en effet il y en a plus d'un, et ils sont même nombreux 5
et variés. Les humeurs froides et bilieuses [amassées dans le côlon], ou 6
l'invasion de la pituite formée dans cet intestin ou y affluant d'ail-
leurs, enfin l'inflammation, l'arrêt d'excréments secs, l'obstruction de
gaz abondants et trop épais, en un mot, mille autres causes, et non pas
seulement une affection originaire [de cet organe], mais une sorte de
communauté de sensations avec les parties qui l'avoisinent, telles sont les
raisons d'être de cette maladie. Ajoutons-y l'inflammation de la vessie, 7
des reins, du foie, de la rate, du diaphragme, de la cavité intestinale,
des flancs. Du reste, les obstructions du ventre et des intestins produites 8

συμπάθειαν συμβαινούσας ἐπισχέσεις τῆς γασ7ρὸς καὶ τῶν ἐντέρων, οὐδὲ κωλικὰς δεῖ καλεῖν διαθέσεις, περὶ ὧν ἐν τῷ περὶ εἰλεῶν, ὅπερ τινὲς καὶ χορδαψὸν εἰώθασι καλεῖν, ἐκεῖσε δειχθήσεται· νῦν γὰρ περὶ τῶν κατὰ πρωτοπάθειαν ἐν αὐτῷ μόνῳ συνισ7αμένων
9 προκεῖται διαλαβεῖν. Ἐπειδὴ δὲ τὰ συμβαίνοντα πάθη τοῖς τὸ κῶλον ἀλγοῦσι, καὶ τοὺς νεφροὺς, πολλὴν ἔχουσιν ὁμοιότητα, ὥσ7ε πρὸς τὴν διάκρισιν αὐτῶν κάμνειν ἔσθ' ὅτε καὶ τοὺς ἐπισ7ήμονας ἰατροὺς, ἔσ7ιν ἀναγκαῖον περὶ τούτου διαλαβεῖν πρῶτον, ὅπως μὲν ἐοίκασιν ἀλλήλοις, κατά τι δὲ διαφέρονται, ὥσ7ε διαγνωσθέντος ἑκατέρου πάθους, μηδεμίαν περὶ τὴν θεραπείαν πλάνην ἡμᾶς ὑπομένειν.

112

β'. Πῶς διακρινοῦμεν τοὺς κωλικοὺς[1] ἀπὸ τῶν νεφριτικῶν.

1 Πρῶτον μὲν αἱ ὀδύναι τοῖς κωλικοῖς συνεχέσ7εραι καὶ ἰσχυρότεραι τῶν νεφριτικῶν εἰσιν· ἔπειτα δὲ καὶ οἱ συμβαίνοντες ἐμετοὶ

[1] κωλιτικοὺς A, hic et ubique.

---

en vertu de cette sympathie, il ne faut pas leur donner le nom de coliques : nous en parlerons en traitant de l'iléus, que certains dénomment aussi *chordapsus*. Pour le moment, notre dessein est de discuter les faits qui concernent le côlon seul en vertu d'une affection ayant pris naissance en
9 lui-même. Comme les affections qu'éprouvent ceux qui souffrent du côlon et les néphrétiques ont une grande ressemblance, et même si grande, que des médecins fort savants ont parfois beaucoup de peine à les discerner, il faut d'abord traiter la question de savoir à quel point de vue elles se ressemblent entre elles, et en quoi elles diffèrent, de telle façon que, chacun de ces deux ordres d'affections bien diagnostiqué, nous ne soyons, dans le traitement, exposés à aucune erreur.

112

Ch. II. — COMMENT NOUS DISCERNERONS LA COLIQUE DE LA NÉPHRÉTIQUE.

D'abord, dans la colique, les douleurs sont plus continues et plus fortes que dans la néphrétique; en second lieu, les vomissements qui

ϖλείονές εἰσι καὶ συνεχέσθεροι καὶ Φλεγματώδεις, ἥ τε γασθὴρ
ἐπέχεται τούτοις ϖολὺ ϖλέον, ἢ τοῖς νεφριτικοῖς, ὥσθε μήτε φῦσαν
ὅλως διεξιέναι δύνασθαι· οὐ γὰρ μόνον ἐπὶ τῶν κωλικευομένων γί-
νεται ἡ ὀδύνη ϖερὶ αὐτὸ τὸ κῶλον, ἀλλὰ ϖεριλαμβάνει καὶ ἕτερα
ϖερικείμενα μέρη, ἔσθ' ὅτε δὲ καὶ τὴν γασθέρα ϖᾶσαν, ὅπερ ἐπὶ
τῶν νεφριτικῶν οὐ συμβαίνει. Ἐρηρεισμένη γὰρ ἐν αὐτοῖς ἡ ὀδύνη, 2
οὐ μεταβαίνουσα τόπους ἄλλους καὶ ἄλλους ὁρᾶται· ὥσθε σαφὴς
καὶ ἐκ τούτων ἔσθω σοι ἡ διαφορὰ ϖρὸς νεφριτικούς. Λοιπὸν δὲ 3
καὶ τὰ οὖρα ϖαχύτερα μὲν ἐπὶ τῶν κωλικῶν, ἐπὶ δὲ τῶν νεφριτικῶν,
ὑδατώδη μὲν ἐν ταῖς ἀρχαῖς, ϖροϊόντος δὲ τοῦ χρόνου ψαμμώδη,
ὥσπερ ἐπὶ τῶν κωλικῶν οὐ συμβαίνει. Καὶ ἐπὶ μὲν τῶν κωλικῶν, 4
εὐθὺς μετὰ τὸ συμβῆναι τὴν γασθέρα ἐκκρίνεσθαι, ϖαραυτίκα καὶ
ἡ ὀδύνη ϖαύεται, ὅπερ ἐπὶ τῶν νεφριτικῶν οὐκ ἀκολουθεῖ, ἀλλὰ
καὶ μετὰ τὴν ἔκκρισιν οὐδὲν ἧτθον ἐπιμένουσα φαίνεται. Καὶ αὕτη 5
μὲν αὐτῶν ἡ διάκρισις. Καὶ δεῖ ϖροσέχοντας καὶ διεγνωκότας ἀκρι- 6

---

surviennent sont plus fréquents, plus prolongés, pituiteux; le ventre est
aussi plus obstrué que dans la néphrétique, au point que les flatuosités
ne peuvent pas du tout passer; car, lorsqu'il y a colique proprement dite,
la douleur ne se produit pas seulement au côlon lui-même, mais elle
gagne, en outre, les parties environnantes, parfois même tout le ventre,
ce qui n'a pas lieu dans la néphrétique. La douleur s'attache aux reins et 2
on ne la voit pas voyager d'un point sur un autre : cela vous fournira
un moyen non équivoque de différencier [la colique] et la néphrétique.
Au surplus, les urines sont plus épaisses dans la colique, tandis que, chez 3
les néphrétiques, elles sont aqueuses au début, puis avec le temps elles
deviennent sablonneuses, ce qui n'a pas lieu chez ceux qui sont affectés
de la colique. Dans cette dernière affection, aussitôt après l'évacuation 4
alvine, la douleur cesse instantanément, tandis que, chez les néphré-
tiques, cet effet n'est pas immédiat, et l'on voit la douleur persister même 5
après l'évacuation. Tels sont les moyens de distinguer ces deux affections.
De plus, après avoir considéré attentivement et diagnostiqué avec préci- 6
sion [l'état du malade], on doit aborder le traitement avec la même

7 ϐῶς, οὕτως ἐπὶ τὴν θεραπείαν ἔρχεσθαι. Τὸ γὰρ ὡς ἔτυχεν ἐπὶ τηλικούτων παθῶν κατατολμᾶν προσφέρειν βοηθήματα, μεγίστων
8 κακῶν ἔσθ' ὅτε καὶ θανάτων αἴτιον γίνεται. Γνωριεῖς δὲ καὶ τὰς διαφόρως συμϐαινούσας περὶ τὸ κῶλον διαθέσεις οὕτως.

113

IB', οζ'. Περὶ ἀμφημερινοῦ[1].

1 Ὅτι τὴν γένεσιν ὁ ἀμφημέρινος πυρετὸς ἀπὸ φλέγματος ἔχει,
2 πᾶσιν ὡμολόγηται. Καὶ γὰρ οὔτε οἱ πυρετοὶ φαίνονται τούτοις ὄντες ὀξεῖς, οὔτε διψώδεις σφόδρα, οὔτε διακαές τι καὶ ξηρὸν ἔχουσι κατὰ τὴν ἀφὴν εὐθὺς ἁπτομένοις, ἀλλὰ μᾶλλον τοῖς χρονίζουσιν
3 ἀναδιδομένη φαίνεται ἐκ τοῦ βάθους καπνώδης θερμασία. Καὶ οἱ σφυγμοὶ δὲ ὡς ἐπὶ τὸ πολὺ μικροὶ καὶ ἀραιοὶ, καὶ ἡ ἀνάϐασις οὐ
4 ταχεῖα, πολὺν δὲ χρόνον μᾶλλον κατέχουσα. Καὶ οἱ ἱδρῶτες δὲ οἱ γιγνόμενοι αὐτοῖς οὐδέποτε φανεροῦσι διάλειμμα, οἷόν ἐστι πολ-

[1] Cp. Galien, *Méthode thérapeutique, à Glaucon*, I, VII.

---

7 attention. Lorsqu'il s'agit de maladies aussi graves, une application téméraire de remèdes choisis trop légèrement peut devenir la cause des plus
8 grands maux, et même de la mort. C'est donc ainsi que vous reconnaîtrez les affections qui se produisent de diverses manières dans le côlon.

113

Livre XII, ch. LXXVII. — FIÈVRE QUOTIDIENNE.

1 Que la fièvre quotidienne tire son origine de la pituite, tout le monde
2 en convient. En effet, il est constaté que ces sortes de fièvres ne sont pas aiguës, qu'elles ne donnent pas une grande soif, qu'elle ne rendent pas tout de suite [la peau] brûlante et sèche au toucher, mais plutôt qu'on voit se produire en ceux chez qui elle devient chronique une chaleur
3 fumeuse qui vient des profondeurs. Le plus généralement, le pouls est petit et faible, l'acmé ne se produit pas vite et se prolonge beaucoup.
4 Les sueurs qui surviennent à ceux qui ont cette fièvre n'amènent jamais d'intermittence, ce que l'on observe souvent dans le cas de la

λάκις ἰδεῖν ἐπὶ τριταίου Φαινόμενον, ἢ τεταρταίου. Σαφέσlερον δέ 5
σοι καὶ κατάδηλον ἔσlαι τὸ εἶδος τοῦ πυρετοῦ καὶ ἐκ τῶν προηγη-
σαμένων ἔτι μᾶλλον, εἰ μὴ παρέργως, ἀλλὰ μετὰ πολλῆς ἀκριβείας
ἐπιζητῆσαι καὶ ἐξετάσαι σπουδάσειs ἅπαντα· καὶ γὰρ ἀπεψίαι ὡς
ἐπὶ τὸ πολὺ, καὶ ἀδδηφαγίαι, καὶ λούτρων ἀμέτρων χρήσεις, καὶ
ἥπατος δ' ἔσθ' ὅτε καὶ σlομάχου προηγεῖται κατάψυξις. Τούτοις 6
οὖν προσέχειν καὶ κατανοεῖν ἀκριβῶς δεῖ τὸν τὸ εἶδος τοῦ πυρετοῦ
γινώσκειν ἐθέλοντα. Ποτὲ μὲν γὰρ πάντα τὰ σημεῖα ἅμα πάρεισι, 7
ποτὲ δὲ οὔ. Ἐπὶ μὲν γὰρ τῶν γνησίων ἅπαντα σχεδὸν εὑρίσκεται· 8
ἐπὶ δὲ τῶν νόθων, οὐ πάντα, ἀλλά τινα μὲν αὐτῶν πάρεισι, τινὰ
δ' οὐκ ἀεὶ διὰ τὰς[1] τότε, καὶ πλείσlη τις ἐν αὐτοῖς εὑρίσκεται ἡ
διαφορὰ καὶ κατὰ τὴν θεραπείαν, καὶ κατὰ τὸ εἶδος. Ἡ μὲν οὖν
διάγνωσις οὕτω γιγνέσθω· εἴρηται δὲ καὶ τῷ θειωτάτῳ Γαληνῷ
ἐπὶ πλέον, καὶ Ῥούφῳ, καὶ πολλοῖς τῶν ἄλλων παλαιῶν.

---

fièvre tierce ou de la fièvre quarte. Mais vous verrez mieux et tout à fait 5
clairement en quoi consiste cette variété de fièvre si, loin d'y mettre de
la négligence, vous apportez une exactitude rigoureuse dans la recherche
et dans l'examen de tous les faits; car le plus souvent elle a pour
antécédents de mauvaises digestions, un appétit vorace, un usage immo-
déré du bain, un refroidissement du foie et de l'estomac. Il faut tenir 6
grand compte de ces circonstances et les observer avec exactitude lorsque
l'on veut reconnaître de quelle espèce de fièvre il s'agit. Tantôt ces divers 7
symptômes apparaissent tous ensemble, tantôt non. Ils se manifestent 8
à peu près tous dans le cas des fièvres légitimes; dans celui des fausses
fièvres, certains d'entre eux surviennent mais certains autres pas tou-
jours; en un mot, il existe dans ces fièvres la plus grande diversité, et
quant au traitement et quant à la spécification. Voilà ce qu'il en est du
diagnostic; il en a été traité tout au long par le très-divin Galien, par
Rufus et par beaucoup d'autres médecins de l'antiquité.

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ

ΕΚ ΤΩΝ

ΠΑΥΛΟΥ ΤΟΥ ΑΙΓΙΝΗΤΟΥ[1].

114

Β', λε'. Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ[2].

1 Πάντα ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα, καὶ οὐδὲν ἀποκεκριμμένον, ὥσπερ καθ' ἕκαστον νόσημα[3]. . . . .

2 Χρηστὸν δὲ καὶ τοῦτο προπότισμα· ἀλόης μέρη β' ἀμμωνιακοῦ θυμιάματος μέρη β' σμύρνης μέρος ἕν, τοῦτο λειώσαντες ἐν οἴνῳ

[1] Sur ces fragments de Paul d'Égine, voir la préface, IV, 5. — [2] Cp. Orib. *Synopsis*, VI, xxv. — [3] Même texte que dans Oribase jusqu'à la phrase finissant par les mots *κάτωθεν πρὸς τὰ ἔξω* (t. V, p. 303, l. 2); vient ensuite le texte que nous donnons, et qui est particulier à la compilation de Paul d'Égine.

FRAGMENTS

DE RUFUS D'ÉPHÈSE

EXTRAITS DE PAUL D'ÉGINE.

114

Livre II, ch. xxxv. — Sur la peste.

1 Tous les accidents les plus terribles peuvent avoir lieu dans la peste, et il n'y a rien de spécial comme dans chaque autre maladie. . . . .

2 Voici un bon propoma[1]. Aloès, 2 parties; encens de gomme d'ammoniaque, 2 parties; myrrhe, une partie; broyer le tout, puis en fai

[1] Sur le sens du mot *πρόπομα*, voir *Œuvres d'Oribase*, t. I, p. 649.

εὐώδει δοτέον, ὅσον κυάθου ἥμισυ, δηλονότι καθ' ἡμέραν. Οὐκ οἶδα 3
(φησὶν ὁ Ῥοῦφος) ὅσ]ις μετὰ τούτου τοῦ ποτοῦ οὐχ ὑπερδέξιος ἐγένετο τοῦ λοιμοῦ· ταῦτα μὲν ὁ Ῥοῦφος.

115

Γ', γ'. Περὶ πιτυριάσεως.

. . . .

Ἄλλο[1]*· Νίτρου, φέκλης, μυροβαλάνων, ἀνὰ λι. α', σ]αφίδος ἀγρίας* 1
λι. α' S', τὴν κεφαλὴν σμῆχε οἴνῳ αὐτὰ ἀναλύσας[2]*. Εἰ δὲ τὸ ἄλλο* 2
σῶμα κνησμὸν ἔχοι, ξηρόν· πρὸς δὲ τὰς ὑγροτέρας πιτυριάσεις, ἅλμῃ ἀπόκλυζε ἢ θέρμων ἀποζέματι τούτου πεῖραν ἔσχον πολλήν.

116

κβ'. Περὶ γλαυκώματος καὶ ὑποχύματος· ἐκ τῶν Ῥούφου[3].

Γλαύκωμα δὲ καὶ ὑπόχυμα οἱ μὲν ἀρχαῖοι ἕν τι ἡγοῦντο εἶναι· 1

[1] Rubrique de S : *Ἄλλο Γαληνοῦ, Ῥούφου, Ἀρχιγένους.* — [2] Ita S; *αὐτὸ λύσας* S. — [3] Cp. Orib. *Synopsis*, VIII, XLIX.

Nous indiquons les principales variantes verbales, mais non les différences de rédaction.

---

prendre dans du vin aromatique la valeur d'un demi-cyathus chaque jour.
Je ne sache pas, dit Rufus, de malade qui ne se soit tiré d'affaire avec 3
cette potion. C'est ainsi que s'exprime Rufus.

115

Liv. III, ch. III. — Dartres farineuses à la tête.

Autre recette. Prenez nitre, lie de vin brûlée, myrobolan, une livre 1
de chacun; staphisaigre, une livre et demie; frictionnez la tête avec du
vin dans lequel vous aurez fait dissoudre ces substances. Si d'autres par- 2
ties du corps éprouvent une démangeaison, [vous les frictionnerez] à sec.
Quant aux dartres à la tête accompagnées d'humidité, faites-les disparaître en les lavant avec de la saumure ou une décoction de lupins.

116

Ch. XXII. — Du glaucome et de la cataracte.

Les anciens médecins croyaient que le glaucome et la cataracte étaient 1

οἱ δὲ ὕσῖερον τὰ μὲν γλαυκώματα τοῦ κρυσῖαλλοειδοῦς ὑγροῦ πάθη
ἐνόμιζον ὑπὸ ὑγρότητος μεταϐαλλομένου ἐπὶ τὸ γλαυκόν· τὰ δὲ
ὑποχύματα, ὑγρῶν παρέγχυσιν [1] *πηγνυμένων μεταξὺ τοῦ κερα-*
2 *τοειδοῦς* [2] *καὶ τοῦ κρυσῖαλλοειδοῦς. Ἔσῖι δὲ πάντα τὰ* [3] *γλαυκώματα*
3 *ἀνίατα, τὰ δὲ ὑποχύματα ἰᾶται οὐ πάντα. Θεραπεύειν δὲ τοὺς ὑπο-*
χύσει πειρωμένους, πρὸ τοῦ συσῖῆναι τὸ πάθος, αἵματος ἐπ' ἀγ-
κῶνος ἀφαιρέσει, καὶ καθάρσει, καὶ κενώμασι δριμυτέροις, καθάπερ
τοῖς διὰ κενταυρίου ἀφεψήματος, ἢ σικύου πικροῦ, καὶ κοιλίας
λύσει συνεχεσῖέρᾳ, καὶ σικύας τῷ ἰνίῳ προσϐάλλειν μετὰ κατα-
4 *σχασμοῦ. Δεῖ δὲ καὶ ὑδροποτεῖν παρ' ὅλην τὴν δίαιταν, καὶ κεχρῆ-*
5 *σθαι τροφαῖς λεπῖυνούσαις. Συνοίσει δὲ, χρόνου διελθόντος, καὶ*
6 *ἀποφλεγματισμὸς* [4] *διὰ τινῶν ἡμερῶν. Ὅσοις δὲ παροράσεις γί-*
νονται, οἷον κωνωπίων προφαινομένων, ἔκ τινος κακοχυμίας, ἢ

[1] *παρέμπτωσιν* Orib. — [2] *ῥαγοειδοῦς* Orib. — [3] *τὰ* addo ex Orib. — [4] *ἀποφλεγματισμοῖς* Ed. Corrigo ex Orib.

une seule et même chose; mais les modernes sont d'avis que les glaucomes sont des affections de l'humeur cristalline, passant sous l'influence de l'humidité à la couleur glauque[1]; tandis que les cataractes sont un
2 épanchement d'humeurs coagulées entre la cornée et le cristallin. Tous les glaucomes sont incurables et toutes les cataractes ne sont pas curables.
3 On traite ceux qui sont attaqués de la cataracte, avant que l'affection ait pris de la consistance, par une évacuation de sang au pli du bras, par la purgation et par des évacuants plus ou moins âcres comme est une décoction de centaurée ou de concombre amer, enfin par l'emploi assez fréquent
4 de laxatifs; on applique aussi des ventouses scarifiées sur l'occiput. Pendant toute la durée du traitement, on s'astreint à boire de l'eau et l'on se sert
5 d'aliments atténuants. Après un certain temps, il est utile d'employer
6 aussi des apophlegmatismes, à quelques jours d'intervalle. Lorsqu'il se produit un trouble dans la vue, faisant l'effet de moucherons que l'on

[1] Voir, sur les mots *γλαυκός* et *γλαύκωμα*, Sichel, *Mémoire sur le glaucome*, Bruxelles, 1842, p. 124-154, et Littré, *Œuvres d'Hippocrate*, t. IV, p. 502, note 1. M. Littré, avec M. Sichel, traduit *γλαύκωμα* par cataracte. Nous adoptons ici, comme dans tous les cas prêtant à la controverse, la traduction donnée dans les OEuvres d'Oribase par MM. Bussemaker et Daremberg. Toutefois, le mot *γλαυκός* nous a paru, comme à M. Littré, signifier plutôt *bleuâtre*, *glauque* ou *gris*.

χολωδεσ7έρων ἀτμῶν ἀναδιδομένων, τὸ διὰ τῆς ἀλόης πικρὸν δώ-
σομεν Φάρμακον κατὰ συνέχειαν ἢ καὶ διὰ τούτου καθάρωμεν. Ἐν 7
δὲ τοῖς ὀφθαλμοῖς, Φαρμάκοις χρησ7έον, τὸ μὲν πρῶτον, ἁπλοῖς,
καθάπερ μέλιτι καὶ ἐλαίῳ σὺν μαράθρου χυλῷ· ὕσ7ερον δὲ καὶ
τοῖς συνθέτοις, οἷόν ἐσ7ι καὶ τόδε· σαγαπήνου δραχμὰς β', ὀποῦ
κυρηναικοῦ, ἐλλεβόρου λευκοῦ, ἀνὰ δραχμὰς ϛ'· οἱ δὲ καὶ ἐν μέλιτος
κοτύλαις ὀκτώ. Ἡμεῖς δὲ, Φησὶν Ὀριβάσιος, τῷ ὑπογεγραμμένῳ 8
χρώμεθα· καυκαλίδων κ. τ. λ[1].

117

με'. Περὶ τῶν κατὰ τοὺς νεφροὺς καὶ τὴν κύσ7ιν παθῶν·
καὶ πρῶτον περὶ λιθιάσεως.

Τὴν τάξιν τῆς διδασκαλίας ἡμᾶς ἀναγκάζει παρεξιέναι τῶν νο- 1
σημάτων ἡ συγγένεια· κοινὸν γάρ ἐσ7ι κωλικῶν τε καὶ τῶν λίθον[2]
ἐχόντων ἐν τῷ νεφρῷ, τό τε κατ' ἀρχὰς ἐπέχεσθαι τὸν γασ7έρα

[1] Ceci est dans Oribase, *Synop.* VIII, XLIX, 17. — [2] Sic IFG; λίθων reliqui codd. et Ed.

aurait devant les yeux, par suite des mauvaises humeurs ou de vapeurs
bilieuses qui surviendraient, nous donnerons le médicament amer à
l'aloès, d'une façon continue, ou même nous purgerons à l'aide de ce 7
médicament. Dans les affections des yeux, il faut d'abord se servir de
remèdes simples, par exemple, d'une combinaison de miel, d'huile et
de suc de fenouil; plus tard on aura recours à des médicaments com-
posés comme le suivant : gomme sagapène, 2 drachmes; suc de cyrène,
ellébore blanc, 6 drachmes de chacun, d'autres ajoutent : pris dans 8
8 cotyles de miel. Quant à nous, dit Oribase, nous employons le mé-
dicament ci-après : suc de petit boucage, etc.

117

Liv. III, ch. XLV. — Des affections des reins et de la vessie,
et premièrement de la lithiase.

L'affinité des maladies nous force à rompre l'ordre de notre ensei- 1
gnement; car il y a un point commun aux coliques et à la présence des
calculs dans les reins, c'est qu'au début le ventre est obstrué, les dou-

καὶ σφοδρῶς ὀδυνᾶσθαι, καὶ ἀνορεκτεῖν, καὶ ἀπεπτεῖν, καὶ στρο-
2 φοῦσθαι. Ἴδιον δὲ, τὸ τοῖς μὲν κωλικοῖς ἐπιτεταμμένα ταῦτα πάντα
μᾶλλον γίνεσθαι, τοῖς δὲ νεφριτικοῖς ἧττον· καὶ τοῖς μὲν κωλι-
κοῖς, κατὰ τὴν δεξιὰν λαγῶνα μᾶλλον εἶναι τὴν ὀδύνην καὶ ἀνιέναι
μέχρι στομάχου[1], καὶ ἥπατος, καὶ σπληνὸς[2], καὶ τὴν κόπρον ἐπέ-
χεσθαι παντελῶς, ὡς μηδὲ[3] φύσας διεξιέναι, ὅτε δὲ πρὸς ἀνάγκην
ἐκκρίνουσιν, φυσώδη αὐτὴν εἶναι, βολβίτῳ παραπλησίαν[4], καί ποτε
καὶ ὑαλῶδες ἐκκρίνεσθαι φλέγμα, καὶ τὸ οὖρον πλεῖον καὶ[5] φλεγ-
3 ματῶδες ἐκδίδοσθαι[6]. Τοῖς δὲ νεφριτικοῖς, τὴν μὲν ὀδύνην κατ' αὐτῶν
τῶν νεφρῶν ἐστηρίχθαι[7] βαρεῖαν δίκην σκόλοπος ἐμπεπαρμένου, τόν
τε κατευθὺ δίδυμον ὀδυνᾶσθαι, καὶ νάρκη γίνεται μηροῦ τοῦ κατ'
4 ἴξιν. Ἐκκρίνει τε καὶ αὐτομάτως μὲν κατὰ τὸ σπάνιον, πάντως δὲ
5 ἐπὶ κλύσμασι, τὴν κοιλίαν, φύσας τε καὶ κόπρον χολωδέστερον. Τὰ
δὲ οὖρα ὀλίγα καὶ ψαμμώδη μᾶλλον ἐκδίδοσθαι, καὶ στύφεσθαι τὸν

[1] μέχρι τοῦ στ. T. — [2] γαστρὸς X. — [3] Sic HK. μήτε rel. et Ed. — [4] Sic HKCT. παραπλησίως rel. et Ed. — [5] ἢ HK f. mel. — [6] ἐκκρίνεσθαι DCF. — [7] ἐνεστηρίχθαι K.

---

leurs sont vives, on manque d'appétit, on digère mal et l'on a des tran-
2 chées. Quant aux caractères particuliers, celui des coliques consiste en
ce que tous ces accidents sont plus aigus, et celui de la néphrétique, en
ce qu'ils le sont moins; celui des coliques, en ce que la douleur siége
au flanc droit et monte jusqu'à l'orifice de l'estomac, au foie et à la rate,
et que l'excrément est complétement arrêté, au point que les vents mêmes
ne peuvent s'échapper, et que l'évacuation, quand elle est procurée par
la force des médicaments, s'accompagne de ventosités et produit des
selles qui ressemblent à la bouse; quelquefois aussi on rend une pituite
3 vitreuse, et l'on urine un liquide très-abondant et pituiteux. Dans la né-
phrétique, une douleur pesante siége dans les reins eux-mêmes, don-
nant la sensation d'une broche que l'on y enfoncerait; le testicule du
4 côté de la douleur est douloureux, et de ce côté aussi la cuisse est en-
gourdie. Le malade a rarement des selles naturelles, mais en tout cas à
5 l'aide de lavements, et ses défécations sont accompagnées de ventosités
et de bile. Ses urines sont d'ordinaire peu abondantes et sablonneuses,

οὐρητικὸν πόρον. Ταῦτα τῶν ἐν τοῖς νεφροῖς λίθων τεκμήρια, τε- 6
λείοις μᾶλλον ἀνδράσι γινόμενα.

Ἡ δὲ κατὰ κύστιν τῶν λίθων πῆξις παιδίοις μᾶλλον γίνεσθαι 7
φιλεῖ. Σημεῖα δὲ καὶ τούτων, ἄπεπτόν τε καὶ ὑπόλευκον οὖρον μετὰ 8
ψαμμώδους ὑποστάσεως. Κνῶνται συνεχῶς, καὶ ψηλαφῶσι τὸ αἰ- 9
δοῖον καὶ ἐντείνουσι, καὶ συνεχῶς[1] εἰς οὖρον ἐπείγονται, καὶ στραγγουροῦσιν.

Ὑλικὸν μὲν οὖν αἴτιον τῆς τῶν λίθων γενέσεως ἐστιν παχὺς 10
καὶ γεώδης χυμός· ποιητικὸν δὲ, πυρώδης θερμασία τῶν νεφρῶν
ἢ τῆς κύστεως. Ἀλλ' ἐπὶ μὲν τῶν νεφρῶν, τοῖς θρύπτουσι τοὺς 11
λίθους καὶ τέμνουσι χρῆσθαι φαρμάκοις, ἄνευ τοῦ θερμαίνειν ἐπι-
φανῶς. Τοιαῦται δέ εἰσιν αἵτε τῶν βασιλικῶν ἀσπαράγων ῥίζαι 12
καὶ τοῦ βάτου, καὶ ὕαλός τε κεκαυμένος, καὶ ἀγρώστεως ῥίζα, καὶ
ἀδίαντον, καὶ βδέλλιον, δάφνης τε τῆς ῥίζης ὁ φλοιὸς, καὶ ἀλθαίας

[1] συχνῶς DACJEFGXTVQΦ.

---

et ses voies urinaires sont contractées. Tels sont les indices de la présence 6
des calculs dans les reins, indices plus accentués chez les hommes faits.

Quant à la fixation des calculs dans la vessie, elle a plutôt lieu chez 7
les jeunes enfants. Les signes de leur présence sont les suivants: Urine 8
crue et blanchâtre avec sédiment sablonneux. Continuellement, ils se 9
grattent le membre génital, ils y portent la main et le mettent en érection; continuellement aussi ils ont besoin d'uriner et éprouvent la strangurie.

La cause matérielle de la formation des calculs, c'est l'existence d'une 10
humeur épaisse et terreuse; la cause effective, une chaleur brûlante
des reins et de la vessie. Dans le cas de la lithiase des reins, il faut em- 11
ployer des remèdes qui divisent et morcellent les calculs sans produire
d'inflammation manifeste. Telles sont les racines de l'asperge royale 12
et de la mûre sauvage[1], le verre brûlé[2], la racine de chiendent, la
fougère-adiante, la résine [du palmier], l'écorce de la racine du laurier,

[1] Ou de la ronce?
[2] Cp. Oribase, *Coll.* XV, 1, 25

τὸ σπέρμα, καὶ τῶν ἐρεβίνθων οἱ μέλανες κόκκοι[1] οἵ τε τῶν σπόγγων
λίθοι, καὶ τὸ σκιλλιτικὸν ὄξος, καὶ φοῦ, καὶ μῆον, καὶ ἄσαρον, καὶ
καρπήσια, καὶ σαρξιφαγὲς, τὸ δὲ σίον καὶ ἐσθιόμενον καὶ πινό-
13 μενον, σκολύμου τε ῥίζα, καὶ ἐρύσιμον, καὶ πριονίτις. Λουτροῖς τε
συνεχῶς χρήσθωσαν· καὶ μετὰ τὸ λουτρὸν εὐθὺς τινὰ τῶν εἰρη-
14 μένων πινέτωσαν. Ἐμβροχαῖς τε καὶ καταπλάσμασι καὶ πυρίαις,
καὶ ἐγκαθίσμασι, τοῖς χαλαστικοῖς τε καὶ παρηγοροῦσι[2] χρηστέον,
15 ἐκ τῶν κωλικῶν αὐτὰ μεταφέροντες. Σύνθετα δὲ πόματα πηγάνου
ἀγρίου, καὶ μαλάχης ἀγρίας καὶ σελίνου τὰς ῥίζας ἑψήσας μετ'
16 οἴνου καὶ τὸ ὑγρὸν ἐκθλίψας ὕδατι τε[3] κεράσας δίδου κοχλ. β'. Κα-
τάπλαστον δὲ τοῦτο βαλσάμου καρποῦ, λίθου τοῦ ἐν σπόγγοις, γλή-
χωνος ξηρᾶς, μαλάχης ἀγρίας τοῦ σπέρματος ἴσα κόψας, δίδου κο-
17 χλιάριον, μετ' οἴνου κεκρασμένου κοχλιαρίων β'. Καὶ τὸ ξηρανθὲν[4]
δὲ τράγειον αἷμα, καὶ οἱ τέτλιγες[5] ξηροὶ χωρὶς τῶν πτερῶν καὶ τῶν

[1] κριοί Ed. Corr. ex HK. — [2] παρηγορεῖν δυναμένοις HK. — [3] τε add. JFHKB. — [4] Fin de la collation de Q. — [5] πέτλιγες Ed.

---

la graine de l'althée, les bourgeons des pois chiches, les graviers de
l'éponge, le vinaigre au jus de scille, la valériane-phou, le méum,
l'asarum, le bois de carpèse, le sarxiphage, le sium, pris comme
aliment ou comme boisson, la racine de chardon comestible et la bé-
13 toine. On prendra continuellement des bains, et, immédiatement après
14 chaque bain, on boira quelqu'un des remèdes précités. On aura aussi
recours aux embrocations, aux cataplasmes, aux fomentations, aux bains
de siége, aux laxatifs et aux calmants, ceux-ci, en les empruntant au trai-
15 tement de la colique. On emploiera des boissons composées de rue sau-
vage, de mauve sauvage, après avoir fait dans du vin une décoction de
racines de mauve sauvage et de céleri, puis, la liqueur ainsi formée et
16 trempée d'eau, on en donne deux cuillerées. On applique un cataplasme de
fruit du baume, des graviers des éponges, de sèche, de graine de mauve
sauvage, le tout pilé par parties égales ; on en donnera une cuillerée mé-
17 langée avec deux cuillerées de vin. On donnera encore le sang de bouc
desséché et les cigales sèches auxquelles on a ôté les ailes et les pattes, ou

ποδῶν, καὶ οἱ τηκόλιθοι, δι' οἰνομέλιτος ἐν τῇ τοῦ λουτροῦ θερμῇ
δεξαμενῇ διδόσθωσαν. Καὶ τὰ δι' αὐτῶν σκευαζόμενα σύνθετα φάρ- 18
μακα, ἤτε νεφρητικὴ φοῦσκα, καὶ τὰ πρὸς τοῦτο συντιθέμενα κον-
δῖτα. Καὶ ὁ τρωγλωδῖτις δὲ τῶν ἄγαν ἐπαινομένων ὑπάρχει βοη- 19
θημάτων. Ἔσῖι δὲ σῖρουθίον ἁπάντων τῶν ὀρνέων τὸ σμικρότατον, 20
πλὴν τοῦ λεγομένου βασιλίσκου, μικρὸν γάρ[1] ἐκείνου μόνου μεῖζόν
ἐσῖιν, καὶ προσεοικὸς αὐτῷ χρόαν μεταξὺ τέφρου καὶ χλωροῦ[2],
λεπῖόραμφον, ἐν[3] τοίχοις μάλισῖα καὶ φραγμοῖς διαιτώμενον· ὅ
ταριχευθὲν ὅλον, ὠμόν τε συνεχῶς ἐσθιόμενον, τούς τε γεγονότας
λίθους ἐξουρηθῆναι ποιεῖ καὶ τοῦ λοιποῦ γεννᾶσθαι κωλύει. Καὶ 21
καυθέντος δὲ τούτου ὅλου σὺν τοῖς πῖεροῖς ζῶντος, ἡ τέφρα πᾶσα
καθ' ἑαυτήν τε καὶ μετὰ πεπέρεως καὶ φύλλου συμμέτρου[4] δι' εὐκρα-
τομέλιτος[5] πινομένη, τὸ αὐτὸ πέφυκεν δρᾶν. Πρὸς δὲ τὴν ὀξύτητα 22
τῶν ὀδυνῶν καὶ τὴν ἀγρυπνίαν, ἥ τε σώτειρα, καὶ ἡ Φίλωνος, ἀγαθὰ

[1] ὂν add. KC. — [2] τεφρᾶς καὶ χλωρᾶς G. — [3] τοῖς add. E. — [4] φύλλων συμμέτρων HK; σύμμετρον G. — [5] F. leg. εὐκράτου μέλιτος ut HKI; εὐκράτῳ μέλιτι legit E.

---

les dissolvants de la pierre, employés avec du vin miellé dans l'eau chaude
du bain. Il y a aussi les remèdes composés préparés avec les précédents, tels 18
que la *fusca* néphrétique, les *condita* accommodés contre cette [maladie]. 19
Le roitelet troglodite est au nombre des recettes renommées. Citons encore 20
le moineau *struthium*, le plus petit des oiseaux, le susdit roitelet excepté,
car il ne le cède qu'à celui-ci en petitesse; il lui ressemble par la couleur
du plumage, qui est entre le gris cendré et le jaune; il a un tout petit bec;
il vit principalement dans les murs et dans les haies vives. Cet oiseau, salé
tout entier et mangé cru d'une façon continue, fait rendre avec les urines
les calculs déjà formés, et empêche qu'il ne s'en forme d'autres. Brûlé tout 21
vivant avec ses ailes, sa cendre bue seule et avec du poivre ainsi que des
feuilles en quantité modérée, dans du miel bien tempéré, a par nature la
même efficacité. Contre les douleurs aiguës et l'insomnie, le médicament 22
dit « le Sauveur » et le médicament de Philon[1] sont de bons remèdes.

[1] Voir la formule de ce médicament dans Oribase, *Euporistes*, IV, CXLI, t. V, p. 792.

23 φάρμακα. Καὶ φλεβοτομία δὲ παραληφθεῖσα τὴν ὀδύνην πολλάκις ἐξεκούφιζε, ταχεῖαν τοῦ λιθοῦ ποιουμένη τὴν ἔκκρισιν.

24 Προφυλακτικὰ δὲ τῆς τῶν λίθων γενέσεως ἔσΊω, πρῶτον μὲν, εὔχυμός τε καὶ σύμμετρος τροφὴ, καὶ γυμνάσια, ὀσπρίων τε παντοίων καὶ τῶν σιτωδῶν τῆς συνεχοῦς εἰργέσθωσαν χρήσεως, τυροῦ τε καὶ γάλακτος, καὶ τῶν δι' αὐτοῦ σκευαζομένων ὄψων, οἴνου τε μέλανος, κ. τ. λ.[1].

118

Ε', γ' Περὶ λυσσοδήκτων καὶ τοῦ ὑδροφοβικοῦ πάθους[2].

1 Ὁ δέ γε Ῥοῦφος μελαγχολίας αὐτοῖς εἶδος τὸ τοιοῦτον ἀπεφηνάτο γίνεσθαι τοῦ ἰοῦ τὸν χυμὸν ἐκεῖνον μιμησαμένου καθάπερ ἑτέρους ἴσμεν μελαγχολικοὺς ἄλλους ἄλλα φοβουμένους· ἥτις αἰτία συντρέχει καὶ τοῖς φάσκουσιν αὐτὸν[3] οἴεσθαι τὸν δάκνοντα κύνα ἐν τοῖς

[1] M. Daremberg n'a pas transcrit la suite de ce chapitre dans la pensée, sans doute, qu'elle ne devait pas être attribuée à Rufus. — [2] Cp. le fragment 76, rapporté plus haut, d'après Aétius, VI, XXIV. Voir aussi Oribase, *Coll. méd.* liv. incert. § 118, t. IV, p. 623. — [3] αὐτοῦ Ed. Correction de M. Littré.

---

23 L'emploi de la saignée a souvent enlevé la douleur en accélérant la sortie du calcul.

24 Les préservatifs de la formation des calculs seront d'abord une nourriture succulente et modérée, l'exercice, l'abstention de l'emploi continu de toutes les sortes de graines légumineuses et des céréales, du fromage, du lait et de tous les aliments qu'il sert à préparer.

118

Liv. V, ch. III. — DES GENS MORDUS PAR UN CHIEN ET DE L'AFFECTION HYDROPHOBIQUE.

. . . .

1 Quant à Rufus, il a fait voir que c'est là pour ces malades une variété de la mélancolie, le venin [rabique] imitant cette humeur, de même que nous savons que les objets de crainte des mélancoliques varient suivant les individus. Cette raison confirme l'opinion de ceux qui prétendent que

ὕδασιν εἰκονίζεσθαι. Τῶν δὲ ἐμπεσόντων εἰς τὸ πάθος, οὐδένα ἴσμεν 2
περισωθέντα, πλὴν ἐξ ἱστορίας ἕνα ἢ δύο μεμαθήκαμεν, καὶ αὐτοὺς
οὐκ ἀπὸ τοῦ λυσσῶντος κύνος δηχθέντας, ἀλλὰ ὑπὸ δηχθέντος τινὸς
μετειληφότας[1]. Πρὸς δὲ τῆς τοῦ πάθους καταπείρας, πολλοὶ καὶ τῶν 3
ὑπὸ τοῦ κύνος δηχθέντων περιεσώθησαν. Ἀρκτέον οὖν τῆς θερα- 4
πείας ἐντεῦθεν· ἀλλ' ἐπεὶ πολλάκις ἐκ τοῦ μὴ συστῆναι τέως τὸ
ὑδροφοβικὸν πάθος (ὡς τὰ πολλὰ γὰρ περὶ τὴν τεσσαρακοστὴν
ἡμέραν εἴωθεν ἐνσκήπτειν, τισὶ δὲ καὶ μετὰ ϛʹ μένας, ἱστόρηται δὲ
τισι καὶ μετὰ ἑπτὰ συστάναι) τινὲς οἰηθέντες μὴ λυττᾶν τὸν κύνα
τὸν δακόντα, συνουλῶσαί τε σπουδάσαντες τὸ ἕλκος, αὐτοὶ τοῦ πά-
θους αἴτιοι κατεστήκεισαν, τῇδε τῇ δοκιμασίᾳ χρησάμενος εὑρήσεις
πότερον λυττῶντος εἴη τὸ δῆγμα, ἢ οὔ. Κάρυα βασιλικὰ λειοτρι- 5
βήσας ἐπιμελῶς κατάπλασσε τὸ ἕλκος· τῇ δὲ ἑξῆς λαβὼν αὐτὰ πά-
ραθες εἰς βρῶσιν ἀλέκτορι, ἢ ἀλεκτορίδι· καὶ τὸ μὲν πρῶτον οὐχ

[1] μετειληφότος Ed. Corrigo.

---

le malade voit dans les eaux l'image du chien qui a fait la morsure. De 2
tous ceux qui tombent dans cette affection, nous savons qu'aucun n'en
réchappe, sauf un ou deux cas consignés dans l'histoire, et encore ces
malades n'avaient-ils pas été mordus par un chien, mais c'était d'une per-
sonne mordue elle-même qu'ils avaient pris leur mal. Du reste [si l'on 3
prend] l'affection dès son premier accès, il y a beaucoup d'exemples de
morsures par un chien auxquelles on a survécu. Il faut donc commencer 4
le traitement dès ce moment-là. Mais, comme il arrive souvent que l'affec-
tion hydrophobique ne se déclare par sur-le-champ (assez généralement
elle reste en suspens durant quarante jours environ, et, dans certains cas,
jusqu'à six mois, et même sept à ce que l'on rapporte), quelques-uns, jugeant
non enragé le chien qui a fait la morsure et s'appliquant à la faire cicatri-
ser, deviennent eux-mêmes les auteurs de l'affection. Voici une épreuve
dont l'emploi vous fera découvrir si la morsure provient ou non d'un
animal atteint de la rage. Vous pilez avec soin des noix royales dont vous 5
faites un cataplasme que vous appliquez sur la plaie. Le lendemain, vous
le donnez à manger à un coq ou à une poule. Tout d'abord, le gallinacé

*ἅψεται· εἰ δὲ ὑπὸ λιμοῦ πιεσθὲν φάγῃ, σκόπησον· εἰ μὲν γὰρ μὴ
λυτlῶν εἴη ὁ δακὼν κύων, ζήσεται τὸ ὀρνίθιον· εἰ δὲ λυτlῶν τῇ
ἐπιούσῃ τεθνήξεται· καὶ τότε πρὸς ἀνασlόμωσιν ἐπείγου τοῦ ἕλ-
κους· πάλιν δὲ μετ' ὀλίγας ἡμέρας τῇ δοκιμασίᾳ κέχρησο· κἀπειδὰν
μὴ ἀποθάνῃ τὸ ὀρνίθιον, τηνικαῦτα τὸ ἕλκος εἰς οὐλὴν ἄγε ὡς ἀπηλ-*
6 *λαγμένου κινδύνου τοῦ κάμνοντος.* Ταύτην μὲν οὖν τὴν δοκιμασίαν
*Ὀριβάσιος παραδίδωσιν· εἰ δὲ διὰ τῶν εἰρημένων σημείων ἀκριβῶς
γνοίημεν λυτlᾶν τὸν κύνα, τοῖς ἀνασlομωτικοῖς αὐτίκα χρησlέον·
πρῶτον μὲν οὖν ἐσlι τῶν ἀνασlομωτικῶν, τὸ διὰ πίσσης καὶ ὄξους
δριμυτάτου, καὶ ὀποπάνακος ἐν τῷ περὶ νευροτρώτων ἀκριβῶς
εἰρημένον.*
7 Εἰ *δὲ τρυφερόχρως ὁ δηχθεὶς εἴη, ἀνετέον αὐτὸ ἰρίνῳ ἢ
βαλσάμῳ, ἤ τινι τοιούτῳ· ἢ προπυριάσας τὰ ἕλκη σκόρδῳ κατά-
πλασσε, τοῦτο καὶ ἐσχαροῖ*[1].

8 *Ξηρὸν ἐσχαρωτικὸν τῶν λυσσοδήκτων.* — Ἁλῶν ὀρυκτῶν
∠ η', χαλκίτεως ∠ ις', σκίλλης ∠ ις', πηγάνου χλωροῦ ∠ δ', ἰοῦ

[1] Ed. ἐσχαροῖς. Corrig. Littré.

---

n'y voudra pas toucher; mais observez si, pressé par la faim, il vient à en manger; car, si le chien qui a fait la morsure n'est pas enragé, l'oiseau conservera la vie, sinon il mourra le jour suivant. Dans ce dernier cas, procédez à l'ouverture de la plaie. Renouvelez cette épreuve après quelques jours d'intervalle. Lorsque l'oiseau ne mourra pas, amenez la cicatri-
6 sation [de la plaie], considérant le danger comme écarté. Telle est l'épreuve qu'Oribase rapporte. Si, au moyen des indices précités, nous reconnaissions que le chien était atteint de la rage, il faudrait aussitôt recourir aux recettes usitées pour l'ouverture [des plaies]. La première de ces recettes, c'est un composé de poix, de vinaigre très-acide et de suc de panacée, tel qu'on l'a décrit exactement dans le chapitre des *blessures affectant les*
7 *nerfs.* Si la personne mordue avait la peau fine, il faudrait amortir ce [médicament] avec du vin d'iris, du baume, ou quelque autre analogue. Vous pouvez encore, après une fomentation préalable, appliquer sur les plaies un cataplasme d'ail; cela produit aussi une escarre.

8 *Remède sec pour la formation d'une escarre dans le cas des morsures de chiens enragés.* — Sel fossile, 8 drachmes; calamine ou pierre de cuivre, 16 drachmes; scille, 16 drachmes; rue verte, 4 drachmes; raclure de

ξυστοῦ ∠ δ', πρασίου σπέρματος ∠ α', χρῶ, πρῶτον ξηρὸν ἵνα ἐσχαρωθῇ, εἶτα μετὰ ῥοδίνου ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι· φυλασσέσθω δὲ ἀκατούλωτα τὰ μέρη ἐπὶ ἡμέρας μϐ' τὸ ἐλάχιστον.

Κατάπλασμα λυσσοδήκτοις εὐρέα φυλάττον τὰ στόμια. 9
— Κρομμύῳ μετὰ ἁλῶν καὶ πηγάνου κατάπλασσε, ἢ σιλφίῳ μετὰ ἁλῶν, ἢ ταρίχει[1] παλαιῷ, ἢ τέφρᾳ κληματίνῃ μετὰ ἐλαίου, ἢ σκόρδα, ἢ ἀκτῆς φύλλα, ἢ ἡδύοσμον, ἢ μελισσόφυλλον, ἕκαστον [καθ' ἑαυτὸ][2] ἢ μετὰ ἁλῶν, ἢ κάρυα βασιλικὰ σὺν κρομμύῳ, καὶ ἁλσὶ καὶ μέλιτι, ἢ τέφρᾳ συκῆς κηρωτῇ ἀναληφθείσῃ. Ἀπονίψειν 10
δὲ τὸ ἕλκος ἑψόντας ἐν ὕδατι χαμαίμηλον, καὶ τὴν τοῦ ἀγρίου λαπάθου ῥίζαν. Τινὲς δὲ καὶ καυτηρίοις σιδηροῖς τὸ ἕλκος καίουσι. 11
Προποτίζειν δὲ αὐτοὺς ἁπλᾶ μὲν, τὸ λύκιον, καὶ τὸ ἀψίνθιον, καὶ 12
τὸν ὀπὸν τοῦ σιλφίου, καὶ χαμαίδρυν, καὶ σκόρδιον, καὶ πόλιον· σύνθετα δὲ ταῦτα, καρκίνων ποταμίων, ἐπὶ κληματίδων λευκῆς ἀμπέλου καυθέντων ἐν κυπρίνῳ ἀγγείῳ ἢ χαλκῷ, κοχλιάρια β',

[1] Mot inconnu pour ταρίχῳ. — [2] κ. ἑ. addo ex conj.

---

rouille, 4 drachmes; graine de marrube, 1 drachme. Employez d'abord à sec, afin que l'escarre se forme, puis avec du vin aux roses, afin de faire tomber les escarres. Maintenez les parties [malades] sans les laisser se cicatriser pendant quarante-deux jours au moins.

Cataplasmes pour maintenir les plaies ouvertes dans le cas des morsures de 9
chiens enragés. — Faites un cataplasme d'oignon avec du sel et de la rue, ou encore de silphium avec du sel, ou de vieille salaison. On emploie aussi la cendre de sarment avec de l'huile, ou l'ail, ou les feuilles de sureau, ou la menthe, ou la mélisse, chacun d'eux [seul] ou avec du sel. On emploie encore les noix royales avec de l'oignon, du sel et du miel, ou de la cendre de bois de figuier retenue dans du cérat. Laver la plaie 10
avec une décoction de camomille et de racine de patience sauvage. Quel- 11
ques-uns brûlent aussi la plaie avec des cautères au fer [rouge]. Faire 12
boire d'abord à ces malades des médicaments simples, le nerprun, l'absinthe, le jus de silphium, la germandrée, le scordium, le polium; des médicaments composés : écrevisses de rivière grillées sur des sarments de vigne blanche dans un vase de cuivre ou d'airain, la valeur de 2 cuil-

γεντιάνης τῆς ῥίζης λείας κοχλιάρια γ' [1] μετὰ οἴνου ἀκράτου παλαι-
13 λαιοῦ κο. β'· πότιζε ἡμέρας δ'. Τινὲς δὲ καὶ πέρδικος αἵματος κο-
14 χλιάρια β'. Λάμβανε δὲ τοὺς καρκίνους αὐξανομένης σελήνης, πρὶν
15 ἢ ἥλιον ἀνασχεῖν. Τοῖς δὲ μὴ αὐθήμερον ποτισθεῖσι διπλῆν δίδου
16 τὴν δόσιν· ἔσθ' ὅτε δὲ καὶ τριπλῆν. Καὶ ἡ δι' ἐχιδνῶν δὲ θηριακὴ
17 καλῶς ἂν δοθείη. Καθαίρειν δὲ τὸ διὰ τῆς σικυωνίας διδόντα καθ'
ἡμέραν τοῦ φαρμάκου μετὰ ἀφεψήματος ἐλελισφάκου ἢ τῆς σιδηρί-
18 τιδος τῆς ἡρακλείας, ἣν καὶ διάλυσσον καλοῦσι. Τινὲς δὲ καὶ τοῦ
ἥπατος τοῦ δακόντος κυνὸς ἔδοσαν φαγεῖν.

19 Δίαιτα δὲ τοιαύτη παραλαμβανέσθω, ἥτις ὁμοῦ μὲν ἀμβλύνει καὶ
σβεννύει τὴν τοῦ ἰοῦ δύναμιν, ὁμοῦ δὲ καὶ κωλύει τὴν εἰς τὸ βάθος
20 φοράν. Δύναται δὲ τούτων ἑκάτερον οἴνου γλυκέως ἀκράτου παλαιοῦ
[καὶ] [2] ζωροτέρου γάλακτος πόσις, ὡσαύτως δὲ καὶ σκόρδων, καὶ
21 κρομμύων, καὶ πράσων ἐδωδή. Εἰ δὲ μὴ κατ' ἀρχὰς παραληφθείη
τὰ λεχθέντα βοηθήματα διά τινα ἐμποδισμὸν, τὸ μὲν περισαρκίζειν

[1] κοχλιάρια α' Ed. Fort. legend. κοχλιάριον α'. — [2] καὶ addo.

---

lerées; racine de gentiane pilée, 3 cuillerées (?) avec 2 cyathus de vin
13 vieux non trempé : vous prendrez cette potion pendant quatre jours. Quel-
14 ques-uns prescrivent encore 2 cuillerées de sang de perdrix. Vous prendrez
15 les écrevisses tandis que la lune est dans sa période de croissance, avant
le lever du soleil. Si la potion n'est pas administrée le jour même [de la
6 morsure], vous doublerez la dose; quelquefois il faut la tripler. La thé-
7 riaque de vipère serait encore bien efficace. Purger avec le concombre en
donnant le médicament tous les jours dans une décoction de sauge ou
8 d'héraclée ferrée, appelée aussi dialysson. Certains font manger au malade
le foie du chien qui l'a mordu.

9 Quant au régime que l'on adoptera, il devra tendre, soit à émousser et
à consumer la force du venin, soit à l'empêcher de pénétrer plus avant
0 dans les tissus. Ce double objet est rempli par une potion composée de
vieux vin sucré non trempé [et] de lait bien pur, comme aussi d'aliments
1 à l'ail, aux oignons et aux poireaux. Si, par suite d'un empêchement quel-
conque, ces remèdes n'ont pas été administrés dès le principe, il ne faut
pas manquer de faire une incision autour de la plaie, d'y poser des ven-

Page 119, l. 2. ἢ om.

3. Post τότε δὲ] εἰ add.

4. μυρτίτης.

5. προσπεσούμενα. — Pro ἢ] καὶ.

Numéro du chapitre : pro λα′] λγ′. — Ἐκ τῶν om.

7. Pro μυξώδη] χυλώδη.

9. καὶ om. post ὑδαρῆ.

13. τούτων.

14. δὲ om. post ἡμεῖς. — καὶ om. post ὅτε.

16. εἶναι ταῦτα om. — δὲ om.

17. εἶπον.

20. ὁ Ἀρχ. δὲ.

22. τὴν* add. ante κύστιν.

Note de l'auteur de la collation à la fin de ce chapitre : « Vide cap. κϐ′ quod in hoc msto hic legitur. »

Numéro du chapitre : pro λϐ′] λε′. — Περὶ πριαπ. καὶ σατυρ. — Ἐκ τ. Γαλ. om.

Page 120, l. 2. τοῦ om. — Σατύρων· ὄνομα Πρίαπον.

4. αὐτὸ om.

5. γενομένου. — Ante Ἐμοὶ] Γαληνοῦ add.

6. Pro πλεονάκις] πολλάκις.

7. δὲ om.

15. σπάσμασι.

21. οὐδ' ἔτι. — παρακ. αἵματος.

22. δοκείη. — καὶ om. — βδέλας.

23. διὰ om.

29. ψυχ.] στυφόντων. — κιμωλίας.

30. Post ὕδ.] ψυχρῷ add. sed κάλλιστα . . . ψυχρῷ om.

Page 121, l. 1. πλευρῶν [*fort. melius*].

Numéro du chapitre : pro λγ′] λς′. — Ἐκ τῶν om.

9. γίγνεται.

12. αὐτῶν om.

16. Pro μὲν] δὲ. — σιχασμὸν.

19. παρηϐοῦσι.

20. τοῖς om.

22. καὶ om.

24. Pro πλῆθος] πάχος.

26. καὶ om.

31. Pro τε] δὲ.

Page 122, l. 1. ἀφεψήματι σχοίνου.

3. Pro τε] δὲ.

4. τὸ om.

7. πολλάκις. — ἀπεσϐ.

8. τούτῳ.

9. δὲ om.

10. Pro καρποῦ] φύλλων.

11. *τροχίσκους* om.
12. Pro *τε*] *δὲ*.
14. *τὰ* om.
16. *μέρη* om.
17. *βουλόμενοί ποτε*.
18. *κωλύει**. — *μεταφεύγειν*.
22. *κ. μαλαγμ.* om. — Pro *καὶ*] *δὲ*.
25. *ἐπίθεμα*. — *δὲ* om. — *τοιόνδε*.

Page 123, numéro du chapitre : pro *λδ'*] *λζ'*. — *Ἐκ τῶν* om.

1. *λέγεται*.
2. *συμβαίνειν*.
5. Pro *μορίων*] *ἀγγείων*.
10. *αὐτοῖς*. — *τὸ σῖόμα*.
11. *δὲ* om. — Post *καταλύονται*] *δὲ* add.
11-12. *καὶ λεπῖοὶ* om.
12. *ἀπέχονται*.
15. Post *αὐτοῖς*] *τοῖς* add.
17. Pro *οὖν*] *τοίνυν*.
19. *τῶν* om.
23. *καὶ* om. post *φασι*. — *τε* om.
27. *τὸ* transponit post *λευκοίου*. — *κόρυμβοι μέλανες τρεῖς πινόμενοι*.

Page 124, l. 1. *γέγραπῖαι*.

5. *προσαγομένων*.
7. *ψυχόντων*.
11. *ἐν* om.
13, *χυλὸν*. — *εἰς τοῦτο* om.
15. *ἀφίησι*.
16. *παρεγχεῖται*.
19. *φακοῦ*. — *ἐν* om.
21. *ὑπότιθ. τ. ψ.* — *τῶν γονοῤῥοϊκῶν*.
22. *αὕτη* om.
32. *φαίνεται*.

Page 125, l. 2-3. *ἔχουσιν ὕπνῳ ἀνασῖάντας διατριψ*.

3. Pro *τι σχῇ*] *ἰσχῃ*.
4. Pro *πολὺ*] *που*.
5. Ante *κλιβαν*.] *τῶν* [legend. *τὸν*].
7. *ἔχοι*. — *περιπατείτω*.
8. Pro *κρύος*] *καιρός*.
10. *δὲ* om.
13. Ante *τρίτην*] *τὴν* add.

Numéro du chapitre : pro *λε'*] *λη'*.

16. *οὖν* om.
17. *ὧν* om.
18-19. Pro *κοίταις*] *κλίναις*.
19. *δὲ* om.—Ante *συνουσίας*] *τῆς** add.
20. Pro *τε*] *δὲ*.
22. *τὸ* add. ante *σπέρμα*. — *κολοκ. ῥ. ἑφθὴ* om.
24. *κόσῖου* leg. et *καὶ* add.

Page 125, l. 25, et page 126, l. 1. *Ὠφελεῖ* jusqu'à *ἐσθιόμενον* omis.

5. Pro *διὰ*] *μεθ'*.
6. *ἐντείνῃ* [f. legend. *ἐντείνει*].
7. *ὀβόλους* om.
8. Pro *β'*] *λ'*.
9. *καὶ* om. ante *λεάνας*.
11. *καὶ* om.
14. *μὲν* om. ante *μὴ*.
15. Post *ἀπολλύειν*] *διὰ τῆς ἕδρας* add. ut cæt. codd. — *τούτῳ* [fort. leg. *τοῦτο*].
17. Pro *ἐξέκρινε*] *ἐξέρυε*.
20. *μίξαις*. — Pro *περὶ*] *ἐπὶ*.
24. Post *καὶ ξηρᾷ*, hæc addit : *Ἐντατικόν. Βετονικὴν κόψας, σήσας, μέλιτι πασῖιλωθέντι ἀναλαβὼν, δίδου φαγεῖν πρὸ τριῶν ὁρῶν* [f. l. *ὡρῶν*]. *Τέλος*.

SECTION III.

COMPLÉMENT DU LIVRE XI D'AÉTIUS

PUBLIÉ EN PARTIE PAGES 85 ET SUIVANTES[1].

ϛʹ. Δίαιτα προφυλάτlουσα κ. τ. λ.[2]

Ἀρχιγένους σμῆγμα[3], πρὸς τὴν κύσlιν καὶ νεφροὺς πεπονθότας ὡς ψάμμον οὐρεῖν, ᾧ ἐν τοῖς λούτροις ἱδροῦντι χρήσῃ· πεπέρεως, ἀσβέσlου, σιωήπεως, τρυγὸς οἴνου κεκαυμένου, σlαφίδος ἀγρίας, νίτρου, ἀδάρκης, κησσίρεως, σlυπlηρίας[4] σχισlῆς, θείου ἀπύρου ἴσα· χρῶ, προαλείφων ἐλαίῳ. Ἐκ τῶν ἔξωθεν[5], θρυπlικὸν λίθων ΔΔ. Εἰ καθάρσεως ἐσlὶ χρεία, τῷ ζέματι τοῦ μεγάλου ἀποζέματος, ἕψαι ἰδίος ποσὸς πlερώματι βοηθήματος καὶ ἐάσας κατακαθίσαι τὴν ὕλην κάθηρον μετὰ τοῦ ὑγροῦ· τῇ δὲ δευτέρᾳ ἢ γʹ τῶν ἡμέρων, λαβὼν κυκλαμίνου ῥίζης λείας χνοωδεσlάτης ξηρᾶς ὅσον τοῖς τρισὶ δακτύλοις, μέλιτος καὶ ἐλαίου καὶ βουτύρου ἐξ ἴσου, οἴνου δὲ διπλάσιον καὶ πλέον ὡς γενέσθαι ποσότητα ποτηρίου μικροῦ, πεπέρεως κόκκους ιδʹ, λιβάνου χόνδρους βʹ κυαμιαίους, ἀμφότερα λεῖα καὶ βαλὼν ἐν χυθριδίῳ πάντα ἕψη ἀκάπνῳ πυρὶ ἕως εὔκρατον γένηται, μηδ' ὅλος δὲ βράσαι, καὶ δίδου ἐν τῇ ἐμβάσει καὶ θρυφθεὶς ὁ λίθος ἐξούρηται.

ζʹ[6]. Συγχρίσματα νεφριτικῶν, Ὀριβασίου.

Κυπρίνου ℥ γʹ, κηροῦ ℥ ϛʹ, τερεβινθίνης ℥ αʹ, ἀμαρακίνου μύρου, καὶ δαφνίνου ἀνὰ ℥ αʹ· κενταυρίου, κασlορίου, σατυρίου, σμύρνης, πεπέρεως, εὐφορβίου ἀνὰ Γοʹ γʹ· κυπέρου[7], πυρέθρου, γλήχωνος ἀνὰ Γοʹ αʹ· ἀναλαβὼν, μίγνυε ἐπὶ τῷ τέλει· καὶ ὀποβαλσάμου Γοʹ αʹ[8]. Τινὲς δὲ εὐφορβίου Γοʹ αʹ S'' βάλλουσιν. — Ἄλλο μάλαγμα Ἀρχιγένους. Μάλαγμα δέ φησιν Ἀρχιγένης, ἐξειλέχθω τοῦτο ἐφ' ὧν λιθίωσιν νεφροὶ ἢ κύσlις· οὗ οὐκ ἂν εὕροις καταλληλότερον ταῖς τοιαύταις διαθέσεσιν. Πίσσης ὑγρᾶς ἰταλικὰς κο. βʹ S'', κηροῦ, πιτυίνης θείου ἀπύρου ἀνὰ ℥ αʹ S''· νίτρου ℥ αʹ S'', πυρέθρου Γοʹ ϛʹ, τρυγὸς οἴνου κεκομμένου ℥ βʹ, καρδαμώμου ἰταλικοῦ ℥ αʹ, σlαφίδος ἀγρίας ℥ αʹ, χαλβάνης Γοʹ ϛʹ, τοῖς δὲ τηκτοῖς τακεῖσιν, ἔμπασσε τὰ ξηρὰ λεῖα.

[1] Voir la Préface, II, II, IV, III et V, III. — Le texte de ce complément a été constitué par le continuateur d'après une copie faite sur le ms. X, qu'il a revue sur le ms. C. Toutes les notes sont de lui. Ne sont mentionnées que les variantes portant sur le sens. (C. É. R.). — [2] Suite et fin du chapitre. Ce morceau manque dans la traduction latine de Cornarius. — [3] Ita C. σμήγματα *d*, X. Sauf indication contraire, toutes les variantes de *d* lui sont communes avec X. — [4] Om. C. — [5] Les mots Ἐκ τῶν ἔξωθεν à ἐξούρηται manquent dans A, C. — [6] Chap. 6 dans le ms. C. — M. Daremberg, précédemment, a suivi le numérotage des chapitres adopté par Cornarius. Nous faisons de même pour le complément. — [7] Om. C. — [8] ἐν ἄλλῳ οὐγγ. δʹ add. C.

Ἔμπλασῖρος[1] νεφριτική.

Ποιεῖ κωλικοῖς, ἰσχιαδικοῖς· ἐσῖὶ δὲ Ἀσκληπιάδου δόκιμον. Κηροῦ Γο' δ', σῖύρακος Γο' α' s'', ἀλόης Γο' α' s'', κρόκου πυρέθρου, ὀποπάνακος, χαλβάνης, λιβάνου ἀνὰ, Γο' α', ἀμμωνιάκου θυμιάματος Γο' β', ἐλαίου παλαιοῦ Γο' δ'. Σκευάσας κατ' ὀλίγον, ἀναλαβὼν, χρῶ θαῤῥῶν, καὶ θαυμάσεις, φησὶν ὁ Ἀσκληπιάδης. Ἐνίοτε δὲ τοῦ ἐλαίου Γο' β' μόνας βάλλομεν[2].

ι'[3]. Φάρμακα τῶν ἐν κύσῖει λίθων θρυπῖικὰ, καὶ διουρητικά.

Ἔσῖι δὲ καὶ φάρμακα τῶν ἐν τῇ κύσῖει λίθων θρυπῖικά· πρασίου σπέρμα, ἱππομαράθρου ῥίζα καὶ τὸ σπέρμα[4], ἀρτεμισίας, χαμαιμήλου, ἀμαράκου, ἀλθαίας ῥίζα καὶ τὸ σπέρμα, βαλσάμου καρπὸς, σίον τὸ παρὰ τὰ ὕδατα, ἀγρώσῖεως ῥίζα, ἀδίαντον, φιλεταιρίου ῥίζα, σμυρνίου σπέρμα, ὀξυμυρσίνης ῥίζα καὶ ὁ καρπὸς, μαράθρου ῥίζα, γλυκυσίδη, ῥῶγες πύρινοι ἐσθιόμενοι, κοτυλήδωνος ῥίζα, λευκάνθεμον, λίθοι οἱ ἐκ τῶν σπόγγων, ἄμωμον, τηκόλιθον, λιθόσπερμα, σκολοπένδριον βοτάνη, λίθος τῶν ἐξουρηθέντων ὑπ' αὐτῶν τῶν πασχόντων τριβεὶς καὶ ποτιζόμενος, ξανθίας ἢ φιλανθρώπου βοτάνης τὸ σπέρμα, γῆς ἔντερα πρόσφατα ἑφθὰ λεῖα μετ' οἴνου ἢ κονδίτου ἢ ἑτέρου προπόματος, παλιούρου σπέρμα, ἄμωμον. Τοῦτο καὶ τὰ λιθόγονα ὕδατα ἀποκαθαίρει. Συνεψομένων αὐτῶν, ἀμυγδάλης πίκρας τὸ κόμμι, ἀμπέλου δάκρυον, κοκκυμηλέας δάκρυον τοῦτ' ἐσῖὶ τὸ κόμμι, σῖρουθίου ῥίζα μετὰ ῥίζης πάνακος καππάρεως φλοιοῦ ἐξουρεῖν τοὺς λίθους[5] ποιεῖ. Λιβανωτοῦ χόνδρος μικρὸς μετ' οἰνομέλιτος, ἀβροτόνου σπέρμα μετὰ πεπέρεως ἴσα· δίδου μετ' οἴνου τούτων ἕκασῖον. Μετ' οἴνου δίδοται λευκοῦ ἀφεψημένον ἢ ἐμπασσόμενον ξηρὸν ἢ μετὰ μέλιτος ἢ μετὰ προπόματός τινος. Δίδου δὲ πίνειν καὶ τὰ διουρητικά. Τοῖς μὲν θερμοτέροις τὴν ἕξιν, σικύου σπέρμα, σελίνου, πετροσελίνου, ὑακίνθου βολβοῦ[6] τὸ σπέρμα, λευκοῦ ἴου σπέρμα, κρόκου ῥίζαν· καὶ τὰ παραπλήσια τὰ ἐπὶ τῶν λιθιώντων νεφρῶν εἰρημένα. Τοῖς δὲ ψυχροτέροις τὴν κρᾶσιν, τὰ τούτων θερμότερα δίδου, ὁποῖόν ἐσῖι μεῖον φοῦ, ἄκορον, βαλσάμου καρπὸς, ἶρις καὶ τὰ παραπλήσια τὰ προῤῥηθέντα ἐν τοῖς νεφριτικοῖς.

Ἄλλο Ὀριβασίου πρὸς λιθιῶντας νεφροὺς καὶ κύσῖιν.

Προσωπίδος βοτάνης, ἣν σκορδονίαν[7] κάλουσιν οἱ Ῥωμαῖοι, καὶ περσώναν, ἔτι δὲ πλατύφυλλος ὁμοία συμφύτῳ ταύτης Γο' α', πεπέρεως ∠ α', ἴρεως Γο' α'· ἀποτίθεσο λεῖα ἐν ὑέλῳ· ἡ δόσις κοχλ. πλήρωμα μεθ' ὑδρομέλιτος· πότιζε δὲ διὰ τετάρτης.

Ἄλλο Ὀριβασίου.

Φλόμου ῥίζης, φλοιοῦ ἀπόζεμα· πότιζε πλῆθος ἐφεξῆς ἡμέρας ε' καὶ διαλιπὼν ἡμέρας ι', πάλιν πότιζε ε'.

ια'. Κοινὰ βοηθήματα κύσῖεως καὶ νεφρῶν λιθιώντων.

Ὀξύμελι κιρνώμενον ὕδατι παρέχειν δεῖ ποτὸν ἅπασι τοῖς λιθιῶσιν νεφροὺς[8] ἢ

[1] Chap. 7 dans C. — [2] Ita C. γο' β' ἔβαλον. — [3] Chap. 10 pareillement dans C. — [4] καὶ τὸ σπ. om. X. Corn. — [5] τὸν λίθον X. — [6] Ita C, Corn. ὑακ. βολβοῦ (f. l. βολβὸν) ἢ τὸ σπ. X. — [7] Ita X. σκόρδιον C, Corn. Scordium dans Pline, *Hist. nat.* XXVI, 48. — [8] νεφροῖς X.

κύσῖιν, οἷάσπερ ἂν τύχωσιν ὄντες κράσεως, καὶ ὁποῖόν ποτε αἷμα γεννᾷν δυνάμενοι, πότιζε καὶ ὄξος τὸ σκιλλητικόν.

Πόμα θεόπομπον πρὸς πώρους ἐν κύσῖει ἢ νεφροῖς[1].

[Κ]ικίου τοῦ ἡμέρου ἐκλεπίσας, κώνων νεαρωτάτων, τήλεως κεκομμένης καὶ σεσησμένης καὶ ἀμυγδάλων πικρῶν γυμνῶν κοπρύτων (?) καὶ μιχθέντων ἴσων ἀλλήλοις σὺν οἴνῳ σκυβελλίτῃ ἢ γοῦν ἀπὸ Παμφυλίας, ἢ πάντως γλυκέως, καὶ λάμβανε ἐπὶ πλείσῖας ἡμέρας.

Περὶ σκολύμου ῥίζης καὶ τετῖίγων[2].

Καὶ σκόλυμον χρὴ διδόναι πυκνῶς, καθεψεῖν δὲ τὰς ῥίζας αὐτῶν ἐν οἴνῳ λευκῷ, καὶ λεπῖῷ τὴν σύσῖασιν καὶ τὴν χροιάν· προσφάτως μὲν ἐκ τῆς γῆς ἀνειρημένον, εἰ καιρὸς εἴη, ξηρὸν δὲ κατὰ τὴν ἄλλην ὥραν τοῦ ἔτους· προσφέρειν δὲ δαψιλέσῖερον τὸ πόμα· ἄγει γὰρ οὔρων πλῆθος παχέων, ἔκ τε τῶν φλεβῶν ἁπασῶν ἑλκομένων, ἔκ τε τῶν λιθιώντων μορίων. Σκόλυμος μὲν οὖν κατ' ἰδιότητά τινα τῆς ὅλης οὐσίας τῆς οἰκείας κράσεως δύναμιν ἔχει ἑλκτικὴν τῶν πεπαχυσμένων ὑγρῶν.

Ὀριϐάσιος.

Ἀγαθοὶ δὲ καὶ οἱ τέτῖιγες ξηροὶ λεῖοι τῷ ποτῷ ἐμπατῖόμενοι καθ' ἑαυτοὺς καὶ σὺν ναρδοσῖάχυι· συμμέτρως δὲ ἔχουσι ν' τέτῖιγες πρὸς δύο ς'' τῆς νάρδου ∠[3]. Δοτέον δὲ ἐφ' ἡμέρας θ' κοχλ. α', εἶτα β' κοχλ., εἶτα γ', εἶτα δύο τῆς ἡμέρας, εἶτα α', καὶ οὕτως ἀνακυκλητέον ἕως θ' δόσεις[4] γένωνται· α', β', γ', β', α', β', γ', β', α'.

Περὶ τρωγλοδύτου[5].

Ἄλλα δὲ ἄλλης τετύχηκε φύσεως δι' ἣν καὶ τὴν ἐνέργειαν ἔχει τὴν εἰρημένην, ἥνπερ δὴ ὁ τρωγλοδύτης καλούμενος κέκτηται. Στρουθίων δὲ τοῦτο σμικρότατον, κατὰ φραγμοὺς καὶ τοίχους παλαιοὺς διαιτώμενον· σμικρότατον δὲ τοῦτό ἐσῖι τὸ ζωΰφιον ἁπάντων σχεδὸν τῶν ὀρνέων, πλὴν τοῦ βασιλίσκου καλουμένου· παρέοικε δὲ τῷ βασιλίσκῳ κατὰ πολλά, ἄνευ τῶν ἐν τῷ μετώπῳ χρυσιζόντων πῖερῶν· εὐμεγεθέσῖερος δέ ἐσῖι μικρῷ ὁ τρωγλοδύτης τοῦ βασιλίσκου, καὶ μελάντερος, καὶ τὴν οὐρὰν ἐγηγερμένην ἔχων ἀεί, λευκῷ κατεσῖιγμένην ὄπισθεν χρώματι· μελάντερος δὲ καὶ λαλίσῖερός ἐσῖιν οὗτος τοῦ βασιλίσκου. Καί τις ἔτι ψαρώτερος ἐν ἄκρᾳ περιγραφῇ τῆς πῖέρυγος· βραχείας δὲ τὰς πλήσεις ποιεῖται· καὶ δύναμιν ἔχει φυσικήν, ἀξίαν θαύματος. Ταριχευθεὶς οὖν[6] καὶ ἄνεφθος δοθείς, ἐξιάσατο τὴν νόσον τελείως. Καί τινας οἶδα τῶν χρησαμένων αὐτῷ μηκέτι ὅλως, ὑπὸ τοῦ πάθους ὀχληθέντας· ταριχεύεται δὲ καλῶς τῶν πῖέρων περιαιρούμενος[7] εἶτα χωσθεὶς εἰς ἅλας δαψιλούς. Κἄπειδὰν ξηρὸς γένηται, βιβρώσκεται καὶ παύει τὸ πάθος τελείως. Ἄμεινον δὲ καὶ ἄλλως ἐσθίειν αὐτοὺς εἰ πλείονες εἶεν· ἄφθονον δέ, οἶμαι, τὸ γένος αὐτῶν ἐσῖι πανταχοῦ, κατὰ τὸν χειμῶνα φαινόμενον. Δίδοται δὲ καὶ ἄλλως. Ζῶν[8] προσήκει ἐμβαλεῖν σὺν τοῖς

[1] Recette omise dans X, Corn. et fournie par C. — [2] Commencement du chapitre 11 dans C et du chapitre 12 dans X. — [3] C aj. ἐν ἄλλῳ πρὸς α' ς'' ∠. — [4] πόσεις C. — [5] Commencement du chapitre 12 dans C et du chapitre 13 dans X. — [6] Ita X, Corn. γὰρ C. — [7] Ita C. περιαιρουμένον X. Les deux leçons peuvent se soutenir; mais C est presque toujours plus correct que d X. — [8] ζῶντα d, f. melius.

ϖ1εροῖς τὸ σ1ρουθίον εἰς μίκρον χυθρίδιον, κἄπειθ' οὕτως ϖωμάσαντα καίειν, ἐπισκοπούμενον συνεχῶς μὴ λάθῃ κόνις γενόμενος ἐπὶ τῇ καύσει· καὶ ϖρὸς τὸν ἀέρα μένον[1] ἐπὶ τῇ καύσει διαφορηθῇ ὅλον· εἴωθε γὰρ τοῦτο συμβαίνειν καὶ αὐτῷ, τῷ σ1ρουθίῳ καὶ ἄλλοις καιομένοις. Διόπερ κάλλιον μὴ καταχρίειν τὸ ϖῶμα τοῦ χυθριδίου, ἵνα ἐκ διασ1ημάτων τινῶν βασ1άζοντες τὸ ϖῶμα καθορῶμεν τὸ τῆς καύσεως μέτρον. Δίδοναι δὲ εἰς ἅπαξ ὅλην τὴν τοῦ ἑνὸς σ1ρουθίου καυθέντος τέφραν καθ' ἑαυτὴν ἢ ϖροσπλέκοντας φύλλον βραχὺ καὶ ϖεπέρι, ἡδύσματος χάριν. Τὸ μὲν οὖν καιόμενον χρήσιμον γίγνεται κατὰ τὰς ὁδοιπορίας, καὶ ἔξεσ1ι τῷ βουλομένῳ, μέλιτι ἑφθῷ ἀναλαβόντα, ἔχειν ἐν ἑτοίμῳ. Βέλτιον δέ μοι δοκεῖ τὸ τῆς ταριχείας καὶ ἔτι κάλλιον τοῖς δυναμένοις χῶσαι κατὰ τοὺς ἅλας τὸ σ1ρουθίον ζῶν ϖροεκτιλθέντων τῶν ϖ1ερῶν, ὅπερ κἀγὼ ϖοιῶ, φησὶν ὁ Φιλάγριος. Λογίζομαι γὰρ ἔχειν τι καὶ τὴν τοῦ αἵματος φύσιν οὐ τὰ τυχόντα συντελέσαι δυνάμενον, ἐχούσης τι καὶ τῆς κόπρου δρασ1ικὸν ὅπερ ἐξασθενεῖν κατὰ τὴν καύσιν ϖείθομαι. Χρήσιμον δὲ τοῖς εὐποροῦσιν καὶ ὀπ1ὸν ἐσθίειν ὁλόκληρον[2] μηδὲν ἀποβαλλομένους ἐξ αὐτοῦ ϖλὴν τῶν ϖ1ερῶν μόνων. Ταῦτα μὲν οὖν, κατ' ἰδιότητα τῆς ὅλης οὐσίας, ἐνεργεῖν εἴωθεν. Ἐπιτέμνουσι μέντοι γενναίως τὸ τῆς λιθιάσεως ἐν νεφροῖς καὶ κύσ1ει ϖάθος καὶ αἱ καυστικαὶ δυνάμεις. Πρότερον δὲ ἑνὸς μνημονεύσω ἁπλοῦ φαρμάκου λίαν ἐπαινουμένου, καὶ τελείαν ἀναίρεσιν τοῦ ϖάθους ἐπαγγελλομένου, καί ϖως ἐγγίζειν φαινομένου ϖρὸς τὰ κατ' ἰδιότητα τῆς ὅλης οὐσίας ἐνεργεῖν δυνάμενοι· ἔχει δὲ οὕτως.

Πρὸς λιθιῶντας φάρμακον ᾧ μαρτυρεῖ Μαρκιανὸς ὁ Ἄφρος ἰατρός.

Λαγωοῦ δέρμα ἐπιτίθει ἐπὶ κεραμίδος, καὶ εἰσάγαγε εἰς φοῦρνον· καὶ ὅταν καῇ ὡς δύνασθαι λειοῦσθαι καλῶς, λαβὼν καὶ λεάνας, δίδου ἐξ αὐτοῦ ϗ[3] μετ' οἴνου νήσ1ει ἐν τῇ ἐμβάσει τοῦ θερμοῦ. Εἰ δὲ βούλει, φησὶ, δοκιμὴν λαβεῖν τοῦ φαρμάκου, βάλε ἐξ αὐτοῦ εἰς οἶνον καὶ ἔμβαλε τῷ οἴνῳ, λίθον ἐκ ϖοταμοῦ, καὶ σκεπάσας ἔα ἡμέρας ὀλίγας καὶ θρυβήσεται ὁ λίθος.

Τοῦ Πρεσβύτου τοῦ Ἰνδοῦ ϖρὸς λιθιῶντας, φασὶ δέ τινες, καὶ τῶν ἔξωθεν λίθων δύνασθαι θρυβεῖν, ὡς τὸ ϖρὸ αὐτοῦ· Ἄκορου, φοῦ, ὑπερικοῦ ἀνὰ ∠ ϛ', ϖράσου σπέρματος ∠ ιβ', ναρδουσ1άχυος ∠ ι', κασίας, λινοσπέρμου, κυπέρου ἀνὰ ∠ κε'· μέλιτι ἀναλάμβανε· ἡ δόσις κυάμου[4] μέγεθος.

Ἄλλο, τάχιον ϖοιοῦν ἐξουρηθῆναι τῶν λίθων· μὴ καταφρόνει, φησὶ, τῆς εὐτελείας. Σκόρδων ὀνυχία ζ'[5], ϖεπέρεως κοκκοὺς ε'· ἅμα λεάνας ϖάνυ μετ' οἴνου λευκοῦ ϖαλαιοῦ σ1ύφοντος μιᾶς κράσεως· δίδου ϖίνειν ἐν βαλανείῳ ἐν τῷ εἰσιέναι εἰς τὰ θερμὰ καὶ ἄπονον μὲν ϖοιεῖ τὸν ϖάσχοντα· ἐνίοτε δὲ καὶ τὸν λίθον ἀπὸ μιᾶς ϖόσεως ἐκφέρει.

Ὀριβασίου νεφριτικοῖς.

Ἀκόρου, μείου, φοῦ, ἀσάρου, σαρξιφάγου, ϖεπέρεως μέλανος, ϖηγάνου σπέρματος, βετονίκης, ναρδοσ1άχυος, ϖεπέρεως λευκοῦ ἴσα· δίδου ξηρὰ ϗ σὺν οἴνῳ σ1ύφοντι ἢ ὕδατι.

Ὀριβασίου νεφριτικοῖς ὕπνον ἐμποιοῦν.

Ἀνίσου, σελίνου, ϖετροσελίνου, ναρδοσ1άχυος, ϖεπέρεως λευκοῦ καὶ μέλανος

[1] Ita X. μόνον C. — [2] X add. τοῖς μέρεσιν. — [3] Ita X; C donne toujours le mot κοχλιάριον. — [4] Ita C, Corn.; κυάθ. X. — [5] Ita X; σκορόδων σκελίδας C.

καὶ μακροῦ, ἀνὰ ∠ ι', κινναμώμου ∠ η', σμύρνης ∠ δ', ὀπίου ∠ δ', κασΊορίου, σίνονος, δαύκου ἀνὰ ∠ β', ὑοσκυάμου σπέρματος ∠ α' s''· ῥᾶ, σαρξιφάγου, βετονίκης, κασίας, κυμίνου, σικύου σπέρματος λελεπισμένου ἀνὰ ∠ α'· μέλιτι ἀναλάμβανε καὶ δίδου νήσΊει καρύου ποντικοῦ μέγεθος δι' ὕδατος θερμοῦ· ποιεῖ καὶ πρὸς ἕλκη.

Ἄλλο τοῦ αὐτοῦ ἐπαινούμενον.

Πεπέρεως μέλανος, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, σαρξιφάγου, βετονίκης, πετροσελίνου, ἀσάρου, κελτικῆς ναρδοσΊάχυος, ἴσα δίδου ∠ α', μετὰ κονδίτου θερμοῦ κεράσας.

ιβ'. Περὶ τραγείου αἵματος.

Καὶ πρὸς νεφριτικοὺς καὶ λιθιῶντας ἀπαράβατόν ἐσΊι τὸ τράγειον αἷμα εἰς τὸ τούς τε προϋπάρχοντας λύειν λίθους, καὶ οὕτως ἐξουρεῖσθαι ποιεῖν, καὶ ἄλλους οὐκ ἐᾶν γίνεσθαι· ἐσΊι δὲ ἀνώδυνον· ὅταν οὖν ἄρξηται ἡ σΊαφυλὴ περκάζειν, λάμβανε λοπάδα καινὴν[1], καὶ βαλὼν ὕδωρ ἐν αὐτῇ ἕψε· ἵνα τὸ γεῶδες ἀποβάλῃ, καὶ σφάξας τράγον ἐκ ποίμνης ἀκμαῖον περίπου δ' ἐτῶν[2], δέξαι τοῦ αἵματος τὸ μέσον, μήτε τὸ πρώτως ῥέον, μήτε τὸ ὕσΊερον δεχόμενος· εἶτα ἐάσας παγῆναι, κατάτεμε τὸ αἷμα καλάμῳ ὀξεῖ εἰς πολλὰ τμήματα ἐν τῇ λοπάδι κείμενον καὶ σκεπάσας δικτύῳ πυκνῷ ἢ ὀθόνῃ ἀραιᾷ ἢ κοσκίνῳ πυκνῷ τίθει ὕπαιθρον ἡλιοῦσθαι καὶ τῆς δρόσου μὴ μεταλαμβάνειν φυλατΊόμενος μήτε βραχῆναι, ὄμβρου γιγνομένου, ξηρανθέντος, λείωσον ἐπιμελῶς, καὶ ἔχε ἐν πυξίδι, καὶ δίδου ἐν ἀνέσει ℔ λειότατον πλῆρες, μετὰ γλυκέως κρητικοῦ. Ἐπικαλεῖται δὲ τὸ φάρμακον θεοῦ χείρ. Τοῦτο ἡμεῖς, φησὶν ὁ Φιλάγριος, ἐν ὀλίγῳ χρόνῳ πεῖραν οὐκ ἀδόκιμον εἰλήφαμεν· ἐνίοτε δὲ εὐωδίας χάριν προσπλέκομεν τούτῳ φύλλου βραχὺ, ἢ ἀμώμου, ἢ τῶν ὁμοίων. Ἐγὼ δὲ, φησὶ, τοῦτο μίξας τὸ φάρμακον τῷ τρωγλοδύτῃ κεκαυμένῳ μετὰ μεγάλας ὀδύνας, οὐδὲν ἐξουρήσαντί τινι παμμεγέθη διαθρύψας λίθον ἐξέωσα.

ιγ'. Ἀντίδοτοι διάφοροι πρὸς λιθιῶντας.

Ἀντίδοτος Ἰουλιανοῦ διακόνου, ἣν ἐπὶ ἐμοῦ, φησὶν Ἀρχιγένης, πλεισΊάκις ἐπείρασεν. ΘρύπΊει γὰρ τοὺς ἐν νεφροῖς λίθους καὶ κύσΊει, καὶ κατὰ βραχὺ ἐξουρεῖσθαι ποιεῖ. Ποιεῖ δὲ καὶ ἐπιληπΊικοῖς καλῶς· ἄγει καὶ ἔμμηνα διὰ τάχος ἢ ψυξιν ἐπισχημένα.

ὈσΊῶν ἐλαφείων κεκαυμένων Γο' γ', κασΊορίου, πεπέρεως λευκοῦ, ἀγαρικοῦ, ἀκόρου, ἄμεως, κασίας, ἀμώμου, σαρξιφάγου, καππάρεως ῥίζης, φλοιοῦ, καλαμίνθου, πάνακος ῥίζης, πυτίας[3] λαγωοῦ, ἑρπύλλου, πετροσελίνου ἀνὰ Γο' α'· μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις καρύου ποντικοῦ μέγεθος. Ἐπὶ μὲν νεφριτικῶν καὶ καταμηνίων ἀγωγῆς, μετ' οἰνομέλιτος· ἐπὶ δὲ ἐπιληπΊικῶν μεθ' ὕδατος θερμοῦ· πρὸς δὲ τὰ ἰοβόλα, μετ' οἴνου.

Ἀντίδοτος ἡ διὰ τραγείου αἵματος.

Συντίθεται δὲ πρὸς λιθιῶντας, διὰ τοῦ τραγείου αἵματος ἀντίδοτος τοιαύτη. Σίνωνος Γρ' ιβ', ναρδοσΊάχυος Γρ' ιβ', πεπέρεως κοινοῦ Γρ' ιβ', καὶ πεπέρεως μακροῦ[4] Γρ' ιη',

[1] Ita C, Corn.; κενὴν X. — [2] C : ἐτῶν et in ora : γρ. τεσσάρων. — [3] πητύας C. — [4] C add. ἐν ἄλλῳ, κοινοῦ.

κυμίνου αἰθιοπικοῦ Γρ' ς', πετροσελίνου, δαύκου, ῥᾶ ποντικοῦ, κρόκου, καρώου λυγιστικοῦ[1], σμύρνης[2], ἀκόρου, ἀνὰ Γρ' ιϐ', αἵματος τραγείου ἐξηραμένου καθὰ προείρηται, Γρ' λς', μέλιτος ἀπηφρισμένου τὸ ἱκανόν· ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος, μετὰ κράσεως κονδίτου θερμανθέντος· δίδοται δὲ ἐν τῷ βαλανείῳ, ἐν τῇ ἐμβάσει τοῦ θερμοῦ.

Ἄλλη Ἀρχιγένους.

Εὐδοκιμεῖ, φησὶν, ἐπὶ λιθιώντων καὶ τοῦτο ᾧ κέχρημαι· ταύτῃ, φησὶν, ἐχρήσατο Φιλότιμος καὶ Ἰουσῖνος. Νάρδου σάχυος ∠ι', κρόκου ∠η', σμύρνης ∠ε', καστορίου ∠δ', καὶ ὀϐ. δ'[3], κασίας, σχοίνου ἄνθους, κινναμώμου ἀνὰ ∠δ'[4], κόστου ∠β', σκορδίου πολίου ἀνὰ ∠γ'· ἀσάρου ∠α', καὶ ὀϐ. δ', μείου ∠ια', πεπέρεως λευκοῦ καὶ μακροῦ, δαύκου, πετροσελίνου, ὀποϐαλσάμου, ῥόδων ξηρῶν ἀνὰ ∠α'· καρποϐαλσάμου τετραόϐολ. Τινὲς δὲ καὶ νήσσης θηλείας αἵματος ∠β', γλυκυρίζης χυλοῦ ∠β', σὺν μέλιτι ἀπηφρισμένῳ· ἀναλαϐὼν δίδου κυάμου μέγεθος μετ' οἰνομέλιτος κεκραμένου κυάθ. β', ἢ ὕδατος θερμοῦ. Ταύτην καὶ Ὀριϐάσιος ἐπαινεῖ.

Ἄλλο Ἀρχιγένους πρὸς λιθιῶντας.

Νάρδου σάχυος, πετροσελίνου, δαύκου ἀνὰ ∠β'· συπτηρίας σχισῆς ∠β', κινναμώμου, κασίας, σχοίνου ἄνθους, ἀνὰ ∠α', κρόκου ὀϐ. γ', σμύρνης τὸ ἴσον, λεῖα ἀναλάμϐανε οἴνῳ οἰνανθίτῃ, καὶ δίδου ὀϐόλ. α'[5], μετ' οἰνομέλιτος· γενναίως, φησὶ, τούτου τοῦ φαρμάκου πεπείραμαι, καὶ οὐκ ἂν εὕροις αὐτοῦ ἄμεινον φάρμακον, οὔτε πρὸς ἀνασκευὴν τοιαύτης διαθέσεως, οὔτε πρὸς κώλυσιν συστάσεως λίθου, οὔτε πρὸς θρύψιν τοῦ συνεστῶτος λίθου, οὔτε πρὸς καθελκυσμὸν, οὔτε πρὸς ἐξαγωγὴν καὶ ἀνακάθαρσιν[6] τῆς ἰλυώδους ἐν τοῖς οὔροις, ὑποστάθμης, συνεργούσης δηλονότι τῆς διαίτης· τὸ γὰρ κυριώτατον τῆς προφυλακῆς ἐνταῦθα κεῖται.

Φιλαγρίου πρὸς λιθιῶντας τὸ διὰ τοῦ δαμασωνίου· τῆς δευτέρας δὲ ὑπαρχούσης τάξεως φησί.

Δαμασωνίου ∠ι', δαύκου σπέρματος ∠ς', δαύκου ῥίζης ∠ς', στρουθίου ῥίζης, καππάρεως ῥίζης, φλοιοῦ, κινναμώμου ἀνὰ ∠ς', κασίας ∠η', κέστρου, πεπέρεως ἀνὰ ∠η', νάρδου κελτικῆς, ἴρεως, ἀκόρου, ἀσάρου, μαράθρου σπέρματος, πετροσελίνου, καρδαμώμου, νάρδοστάχυος, κυπέρου, κόστου, σαρξιφάγου, σελίνου σπέρματος, σμύρνης, πεπέρεως λευκοῦ, σεσέλεως, πάνακος ῥίζης, ζιγγιϐέρεως, ἀνὰ ∠δ', λίθου συριακοῦ ἀῤῥένος ∠ις', καὶ τῆς θηλείας λίθου ∠ις', σμυρνίου σπέρματος, ἠλέκτρου, ἢ λιγγουρίου, ὃ κάλουσι σούγχινον ἀνὰ ∠ις', εὐζώμου σπέρματος ∠ις', μέλιτος τὸ ἀρκοῦν. Ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος σὺν ἀφεψήματι ἑλείου ἀσπαράγου ῥίζης, ἢ σχοίνου ἄνθους, ἢ γλυκυρίζης. Δίδου λουσαμένῳ.

Ἕτερον διὰ δαμασωνίου, Φιλαγρίου. Τῆς τρίτης, φησὶ, τάξεως φαρμάκων λίθων θρυπτικὸν, διουρητικόν· ποιεῖ καὶ πρὸς νεφριτικούς·

Δαμασωνίου ∠κδ', δαύκου σπέρματος, δαύκου ῥίζης, στρουθίου, καππάρεως ῥίζης, φλοιοῦ, κασίας, νάρδου κελτικῆς, ἀνὰ ∠ς'[7], ἴρεως, μείου, ἀσάρου, μαράθρου, καρ-

[1] Ita X, Corn. λιϐυστ. C. — [2] σμυρνίου C, ζιγγιϐέρεως add. d X. — [3] d X add. ἐν ἄλλῳ ∠α'. — [4] Ita C qui add. ἐν ἄλλῳ ∠α', et Corn. — [5] Ita C, Corn.; in d X: ὅσον ξια'. — [6] Ita C, ἀποκαθ. X. — [7] ἐν ἄλλῳ ∠ιβ' add. X.

δαμώμου, κυπέρου, πετροσελίνου, κόσλου, σελίνου σπέρματος, σμύρνης, κρόκου ἀνὰ ∠ β', σεσέλεως, πάνακος ῥίζης, τινὲς καὶ ζιγγιβέρεως, πεπέρεως, ἀνὰ ∠ δ', μέλιτος ἀτλικοῦ τὸ ἀρκοῦν[1]· ἀναλάμβανε καὶ χρῶ καθὰ προείρηται.

Ὀριβασίου ἐκ τῶν πρὸς Εὐσλάθιον, ἡ Ξενοφίλου ἀντίδοτος πρὸς κύσλιν καὶ νεφροὺς λιθιῶντας καὶ ἡλκωμένους[2]. (Θραύει γὰρ τοὺς λίθους καὶ ὑγιάζει τὰ ἕλκη.)

Κασίας Γο' α', σαρξιφάγου Γο' δ', βετονίκης, κυπέρου, πετροσελίνου, κόσλου, τριβόλου, ἄγνου σπέρματος, λινοσπέρμου πεφρυγμένου[3] ἀνὰ Γο' β', σελίνου σπέρματος Γο' α' S'', φύλλου[4], νάρδου σλάχυος, ἀσάρου, δικτάμνου, δαφνίδων, ὠκίμου σπέρματος ἀνὰ Γο' α', σμύρνης ∠ δ', ζιγγιβέρεως ∠ δ'[5], σλροβίλων Γο' ς', μέλιτος ℔ β'. Δίδου ἐν λούτρῳ, ἢ πρὸ λούτρου μετ' οἰνομέλιτος[6] ἢ χρυσατλικοῦ, κυάμου μέγεθος[7].

Ἀνδρομάχου πρὸς λιθιῶντας. Θραύουσα κατὰ μικρὸν καὶ ἐκκρίνουσα τοὺς λίθους μέχρις οὗ καθαρίσει τὴν κύσλιν· εἶτα διαυγὲς ἀπουρήσει· τὸ δὲ μέγισλον ἀποθεραπεύει, ὡς μηκέτι γίγνεσθαι, ἔχει δὲ οὕτως. Δαύκου σπέρματος, ἀνήσου, σικύου σπέρματος λελεπισμένου, σελίνου σπέρματος, πετροσελίνου, σμύρνης ἀνὰ ∠ α' S'', κασίας, κινναμώμου, νάρδου κελτικῆς, ἀνὰ ∠ α'· λεῖα ποιήσας ἀναλάμβανε ὕδατι ἡλίκον θέρμον σμικρὸν, καὶ δίδου νήσλεσι καθ' ἡμέραν, ἐπὶ ἡμέρας λ', σὺν ὕδατι κυάθων τριῶν, καὶ τοῦτο παρελάβομεν, φησὶ, μετά τινος θρησκείας σκευάζειν[8]· ξυλίνῳ γὰρ καὶ ὅλμῳ καὶ ὑπέρῳ κόπλεται ἕκασλα, καὶ τὸν κύπλοντα δὴ μήτε δακτυλίδιον ἔχειν σιδηροῦν, μήτε ὑποδήματα ἧλον ἔχοντα σιδηροῦν. Τοῦτο ὡς μυσλήριον ἔλαβον.

Ἀσκληπιάδου πρὸς λιθιῶντας κατάπασλον.

Βαλσάμου καρποῦ, λίθου τοῦ ἐν τοῖς σπόγγοις εὑρισκομένου, γλήχωνος χυλοῦ, μαλάχης ἀγρίας σπέρματος, νίτρου, ἕκασλον ἴσα κόψας, σήσας, ἀπόθου, καὶ δίδου κοχλιάριον α' μετ' οἴνου κεκραμένου κυάθων γ'.

Ἄλλο κατάπασλον δόκιμον.

Ἠλέκτρου ἤτοι σουγχίνου Γο' α', λίθων τῶν ἐν τοῖς σπόγγοις εὑρισκομένων Γο' α', σαρξιφάγου Γο' α'· ἡ δόσις Γρ' β'[9], ὡς βούλει.

Ἄλλο τοῦ διὰ τοῦ καρδαμίνου ξύλου πανὺ δόκιμον.

Ναρδοσλάχυος, πεπέρεως, ὑσσώπου, τηκολίθου ἀνὰ Γο' α', σμύρνης, πετροσελίνου, κόσλου, σαρξιφάγου, κυπέρου, λινοσπέρμου ἀνὰ Γρ' ιη', πεπέρεως Γο' α', Γρ' ιη', κασίας Γρ' θ', ἐλενίου Γρ' ε'[10], ῥινίσματος ἐλεφαντίνου Γρ' β', καρδαμίνου ξύλου Γρ' ιβ', μέλιτος τὸ ἀρκοῦν· ἡ δόσις τριώβολον μετὰ κονδίτου ἢ ὑδρομέλιτος.

[1] Ita C; ἱκανόν X. — [2] Cp. *Œuvres d'Oribase*, t. V, p. 152. Aétius renvoie plus bas (ci-dessous, p. 580, l. 16) à ce passage-ci comme appartenant au chap. 16. — [3] Ita C; Oribase, *l. c.* πεφωγμένου, πεφογημένου X. — [4] Le Phyllon. Cp. Pline, *Hist. nat.* XXVII, 100. — [5] ζιγγ. ∠ δ' om. X, habet C, qui om. σμ. ∠ δ' ut Corn. — [6] Ita C; ἐν οἰνομέλιτι X; διὰ οἰνομέλιτος, Orib. — [7] Vient ensuite, dans *d* X, ce texte-ci, omis dans C et dans Cornarius : Ἄλλο· [Κ]ουβαρίδας (ms. οὔβαριᐞᐞ) καύσας καὶ λεάνας ἐπιμελῶς, πότιζε μετ' οἴνου ἐν ἐμβάσει. — [8] Ita C; σκευαζόμενον X. — [9] Ita C, Corn.: γρ. α' X. — [10] ἐν ἄλλῳ θ' add. C.

Ἄλλο δόκιμον. Κράμβης σπέρματος ∠ ς', κυπέρου, πετροσελίνου, ἠλέκτρου, πεπέρεως ἀνὰ Γο' α', μέλιτος τὸ ἀρκοῦν· ἡ δόσις καρύου ποντικοῦ μετὰ κονδίτου τοῖς ἀπυρέτοις· τοῖς δὲ πυρέττουσιν, ἐν μελικράτῳ.

Ἄλλο· Κολοκύνθην ξηρὰν καύσας, δίδου τῆς τέφρας κοχλιάριον πίνειν ὡς βούλει, ἢ καταπότια ποιήσας, δίδου· καὶ τάχιον οὐρῆσαι ποιεῖ τὸν λίθον.

Ἄλλο ἐπὶ τῶν θερμοτέρων μάλιστα ποιοῦν.

Ἀνδράχνην χυλίσας ξήραινε τὸν χυλὸν καὶ καταπότια ποιήσας, δίδου ∠ α', καὶ ἐξουρήσει τὸν λίθον ὥστε θαυμάσαι.

Ἄλλο· Καρκίνους γ' ἢ ε' ἢ ζ', μόνον ἀζύγους καὶ ἐπ' ὀστράκου ζῶντας καύσας καὶ λεάνας τὴν τέφραν, δίδου κοχλ. μετὰ κονδίτου καὶ ἰάσῃ τοὺς λιθιῶντας νεφρούς.

Ἄλλο· Φοῦ ζέσας ὕδατι πότιζε, καὶ ἄγει πάντας τοὺς λίθους· εἰ δὲ εὐπορεῖς τῆς μιθριδάτου τῆς τοῦ σκίγκου δεχομένης, δίδου σὺν τῷ ἀφεψήματι· πεπείραται· χρῶ.

Ὀριβασίου[1] κονδῖτον νεφριτικὸν, ποιεῖ γὰρ πρὸς νεφρῶν χρονίους πόνους καὶ κύστεως, καὶ δυσουρίας καὶ στραγγουρίας, καὶ ἰσχουρίας καὶ ψύξεις τούτων τῶν μερῶν. Ἐκκρίνει πώρους, θρύπτει λίθους καὶ πρὸς τὰς ἄλλας διαθέσεις τὸν αὐτὸν τρόπον ποιεῖ καλῶς.

Σαρξιφάγου ∠ α', βετονίκης ∠ α', πετροσελίνου Γρ' ϐ' [2], νάρδου στάχυος Γρ' γ', φύλλου Γρ' γ', ἐρυσίμου Γρ' ς', πεπέρεως Γρ' ιβ', μέλιτος ℥ α', οἴνου καλοῦ ℥ δ'.

Ἄλλο Ὀριβασίου (παρὰ Ἀρταχίου[3] φησίν).

Οἴνου ℥ ιβ', μέλιτος ℥ β', πεπέρεως Γο' α', σαρξιφάγου, βετονίκης, μείου, φοῦ, νάρδου στάχυος, πετροσελίνου, κασίας ἀνὰ ∠ β'.

Κονδῖτον νεφριτικὸν, ποιεῖ γὰρ καὶ πρὸς τοὺς ἐν κύστει λίθους. Σαρξιφάγου, νάρδου στάχυος ἀνὰ Γρ' δ', πεπέρεως Γρ' α', καρπασίας, σμύρνης, μείου, ἀσάρου, κασίας, σίνονος, πετροσελίνου, ἀκόρου, βετονίκης, δαύκου ὁμοίως, ἀνὰ ∠ δ' [4], μέλιτος ℥ α, οἴνου ℥ δ' ἢ ε' [5].

Ἄλλο νεφριτικόν.

Νάρδου στάχυος, φοῦ, σαρξιφάγου, βετονίκης, ἀσάρου, λινοσπέρμου, πεπέρεως, ἀνὰ Γο' α', κόστου Γο' τὸ s''· κοχλ. βάλλε τοῦ ξηροῦ εἰς κονδῖτον, καὶ πινέτω πρὸ ὥρας ἀρίστου. Θρύπτει λίθους, καὶ ἀπουρεῖσθαι ποιεῖ ὡς μηκέτι συγχωρεῖν συνίστασθαι τὸν λίθον.

Ἄλλο νεφριτικὸν δόκιμον.

Ζαδὼρ, γαλαγγᾶ[6], λιβυστικοῦ, σεσέλεως, πεπέρεως λευκοῦ καὶ μακροῦ, κινναμώμου, ζιγγιβέρεως, σμυρνίου σπέρματος, καρυοφύλλου, φύλλου, στάχους, μυροβαλάνου, φοῦ, κόστου, σκορδίου, σιλφίου, ῥέου βαρβαρικοῦ, παιωνίου[7] καὶ παλιούρου σπέρματος, καὶ σαρξιφάγου, καὶ κασίας ἀνὰ ℥ β', μετὰ κονδίτου ἢ οἴνου παλαιοῦ· δίδοται καὶ εἰς λουτρὸν καὶ χωρὶς λουτροῦ καὶ ἑσπέρας καὶ πρωΐ.

[1] Recette donnée par C et Corn. après les trois suivantes. C lit *δυσουρίαις*, etc. au datif. — Sur le conditum et autres compositions analogues, voir Boissonade, *Notices des man.*, t. XI, 2e part. p. 195 et suiv. — [2] C add. ἐν ἄλλῳ ς'. — [3] Ita C, om. C; ἀταραχίου X f. melius. — [4] In X legitur : ἐν ἄλλῳ ἀνὰ γο' δ'. — [5] Ita C, Corn., ℥ε' X. — [6] Cornarius : zador, *i. e.* zaduariæ, galangiæ, etc. — [7] X add. ἐν ἄλλῳ δὲ καὶ ἰξῶν καρέας, in C : ἐν ἄ. καὶ ἰξοῦ καρέους, Corn.: arboris nucis viscum.

Ἀψινθάτον πρὸς λιθιῶντας πανὺ καλόν.

Πετροσελίνου Γο' α', σαρξιφάγου Γρ' ιβ', βετονίκης Γρ' ιβ', ἐρυσίμου σπέρματος Γο' α' s'', νάρδου σΊάχυος Γρ' ϛ', φύλλου Γρ' ϛ', ῥεοῦ ποντικοῦ Γρ' ϛ', καλάμου ἀρωματικοῦ Γρ' ε', δικτάμνου Γρ' γ', μέλιτος ξ α', οἴνου ξ ε'· δίδου κράσιν νήσΊει.

Ἄλλο θρυπΊικὸν τῶν ἐν νεφροῖς λίθων, ὥσΊε ἐν ἡμέρᾳ μίᾳ δεῖξαι τὴν ὠφέλειαν· ἀβροτόνου ∠ η', κρόκου ∠ η', ἢ ἀνθυλίδος βοτάνης ∠ ις', πηγάνου, φύλλου, χλωρῶν [ἀνὰ] ∠ ις'[1]· λεάνας καλῶς ἀναλάμβανε τροχίσκους καὶ δίδου ∠ α' μετ' ὀξυμέλιτος· χρῶ αὐτῷ, φησὶν, συνεχῶς, ἔσΊι γὰρ καλὸν ὥσΊε θαυμάσαι.

κα'[2]. Πρὸς δυσουρίαν.

Κολοκύνθης σπέρμα καθάρας ἀπόβρεξον ὕδατι· ὅταν δὲ μαλακὸν γένηται, λεάνας ἱκανῶς μετὰ τοῦ ὕδατος καὶ διηθήσας, πότιζε τὸν χυλὸν, χρῶ· πεπείραται.

κβ'[3]. Ἄλλο εὐθέως βοηθοῦν.

Ἕρπυλλον μετὰ ἐρεβίνθων ἑψήσας ἐπιπολὺ, καὶ διηθήσας, πότιζε τὸ ἀφέψημα.

Ὀριβασίου διουρητικόν.

Ἀμώμου, καρδαμώμου, σχοίνου ἄνθους ἀνὰ ∠ ϛ'[4], κόσΊου, κασΊορίου, σμύρνης ἀνὰ ∠ γ'[5], κασίας ∠ α'[6], μέλιτος τὸ ἱκανόν· ἡ δόσις καρύου ποντικοῦ ἢ κυάμου αἰγυπΊίου τὸ μέγεθος μεθ' ὑδρομέλιτος.

Ἄλλο τοῦ αὐτοῦ διουρητικοῦ.

Ἠρυγγίου λεπΊοφύλλου ῥίζας ἑψήσας εἰς ἀποτρίτωσιν δίδου ποιεῖν.

Ἄλλο τοῦ αὐτοῦ.

Πετροσελίνου, μύρτων μελάνων ἀνὰ ∠ ις', σελίνου σπέρματος ∠ λβ', ἄμμεως[7] ∠ η', κελτικοῦ ∠ δ', σμύρνης ∠ β', μέλιτος τὸ ἀρκοῦν· ἡ δόσις ∠ α', μεθ' ὑδρομέλιτος, ἢ οἴνου κεκραμένου κυ' γ'.

κγ'. Ἁπλᾶ βοηθήματα πρὸς ἰσχουρίαν καὶ δυσουρίαν διὰ πλῆθος ἢ πάχος γιγνομένην.

Δυσουρίαν καὶ σΊραγγουρίαν λύει[8] τὰ ἐντοσθίδια τοῦ χερσαίου ἐχίνου, ξηρὰ, ὑποθυμιώμενα περισκεπομένου πάντοθεν τοῦ κάμνοντος· χρὴ δὲ αὐτὰ ταριχεύειν καὶ ξηραίνειν· καὶ ἐν ποτῷ δὲ ληφθέντα μετ' οἴνου ξηρὰ, λεῖα ὅσον τοῖς τρισὶ δακτύλοις, πολλῶν οὔρων εἰσὶ κινητικά· καὶ τῆς σαρκὸς δὲ αὐτοῦ ἐν ἡλίῳ ξηραινομένης ἡ δόσις μετ' οἴνου, ὅσον ∠ α' ἄγει οὔρων πλῆθος ἀλύπως.

Ἄλλο· Ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας ἄκρως λύουσι δυσουρίας, δύο ἢ τρεῖς ἐν ὀλίγῳ γάρῳ ἑψόμενοι, καὶ πινομένου τοῦ γάρου μετὰ γ' κυ' ὕδατος.

Ἄλλο· Γῆς ἔντερα γ' ἢ ε', λεάνας[9] δίδου μετ' οἰνομέλιτος ἢ μελικράτου, καὶ ἄγει

[1] C add. ἐν ἄλλῳ ∠ λβ'. — [2] Suite et fin du chapitre. — [3] Suite et fin du chapitre. — [4] Ita X; γρ. ϛ', ἐν ἄλλῳ ∠ ϛ C. — [5] C : γρ. γ', ἐν ἄλλῳ ἀνὰ ∠ γ'. — [6] C : γρ. α', ἐν ἄ. ∠ α'. — [7] Sur l'ammi, voir Boissonade, *Notices des man.*, t. XI, 2e part. p. 267. — [8] ἴᾶται C. — [9] λειώσας C, hic et ubique.

τάχιον· ἔξωθεν δὲ φύλλον ἀρτεμισίας, λεάνας μετὰ σμύρνης, ἐπίχριε τὸν κτένα, καὶ τὸ ὑπογάσΊριον, καὶ οὐρήσῃ.

Ἄλλο· Περδίκιον βοτάνην λεάνας ἐπιβαλών τε ἔλαιον καὶ ἀναζέσας ἐπιτίθει ἐπὶ τὴν κύσΊιν, ἢ ἑψήσας τὴν βοτάνην μετ' ἐλαίου, καὶ αὐτὴν μὲν ἀποῤῥίψας, ἐρίῳ δὲ ἀναλαβὼν τὸ ἔλαιον, ἐπιτίθει, ἢ πέπονος καλλίσΊου δέρμα [1] σὺν ὀλίγῃ σαρκὶ ἐπιτίθει τῷ ὑπογασΊρίῳ καὶ ἐπίδησον, καὶ οὐρήσει ὁ πάσχων. Εἰ δὲ ξηρὸν εἴη τὸ δέρμα, πρόβρεχε αὐτὸ ὕδατι θερμῷ καὶ ἐπιτίθει, καὶ ἐπίδησον. ἘγκαθισΊέον δὲ αὐτοὺς μάλισΊα μὲν, εἰς ἀφέψημα σαμψύχου· εἰ δὲ μὴ, ἀρτεμισίας, πηγάνου καὶ ἀλθαίας.

Ἄλλο πεπειραμένον πρὸς σΊραγγουρίαν.

Λαβὼν ψωμόγαρον ὅσον κοχλ. β', βάλε αὐτὸ εἰς ἀγγεῖον μετ' ἀκατίδων πέντε ζωσῶν καὶ πηγάνων φύλλων ζ' καὶ ὀλίγου οἴνου, εἶτα βρασάντων ἐπ' ἀνθράκων, πινέτω τὸ ἀφέψημα ὁ πάσχων, καὶ θαυμάσεις [2].

κε'. Πρὸς τοὺς ἐνουροῦντας κατὰ τοὺς ὕπνους (μάλισΊα δὲ παισὶ τοῦτο συμβαίνει).

Ἐρίφειος πνεύμων μετρίως ὀπΊηθεὶς, καὶ χωρὶς ἄρτου λειφθεὶς, ὡς πλεῖσΊος, ἐφ' ἡμέρας γ' τοῦ ἐνουροῦντος ταῖς κοίταις διορθοῦται.

Ἄλλο· Λαγωοῦ ἐγκέφαλος ξηρὸς πινόμενος ἐν οἴνῳ παύει τοὺς ἐνουροῦντας.

Ἄλλο· Ὄρχιν λαγωοῦ ξηρὰν ἐπιξύσας οἴνῳ πότιζε· τινὲς δὲ τὸν ἐγκέφαλον τοῦ λαγωοῦ ἐν χοιρείᾳ φύσῃ ἐμβαλόντες καὶ ὀπΊήσαντες, διδόασιν ἐσθίειν, μετὰ τῆς φύσης· καὶ γὰρ αὐτὴ καθ' αὑτὴν ἡ χοιρεία φύσα, καιομένη καὶ διδομένη ἐν ποτῷ ὠφελεῖ. Παραπλησίως δὲ ποιεῖ καὶ ἡ προβατεία φύσα. Δίδου δὲ τὴν τέφραν μετ' ὀξυκράτου.

Ἄλλο· Στέαρ χήνειον ὅσον ∠ α' μετὰ πυτίας λαγωοῦ, ὅσον ὀβολόν· μίξας μετὰ ἀλφίτων δίδου μετὰ τὸ ἀνακλισθῆναι αὐτοὺς ἐν τῇ κοίτῃ.

Ἄλλο· Γλῶσσαν χηνείαν ἑφθὴν διδόναι, ἐφ' ἡμέρας γ'· καὶ ἰᾶται τὸ πάθος· τινὲς δὲ ὀπΊὴν δίδουσιν.

Ἄλλο καὶ αὐτὸ Ἀρχιγένους· Σμύρνης, καλαμίνθου, ἀνὰ ℥ α', λεάνας μετ' οἴνου εὐώδους, δίδου πρὸ δείπνου πίνειν.

Ἄλλο τοῦ αὐτοῦ· Ῥαφανίδα θαλασσίαν καύσας, δίδου τὴν σποδὸν αὐτῆς ὅλην πίνειν.

Ἄλλο· Πηγάνου μάλισΊα ἀγρίου σπέρμα φρύξας, δίδου πίνειν.

Ἄλλο· ΚασΊορίου ∠ α' πότιζε· εἰ δὲ δριμύτερα καὶ δηκτικώτερα εἴη τὰ οὖρα, πότιζε θρίδακος σπέρματος ∠ α'.

Ἄλλο· Ἀλέκτορος λάρυγγα καύσας καὶ λεάνας δίδου πίνειν σὺν ὕδατος ℔ νήσΊει.

Ἄλλο· Γνάφαλα ἢ τὴν ἀνθήλην, ἐν οἷς οὔρησεν πολλάκις ὁ κάμνων ξηράνας, καύσας, δίδου σὺν τῷ ποτῷ· καταχριέσθωσαν δὲ τὸ αἰδοῖον ἐν τῷ καθεύδειν κιμωλίαν μετὰ περδικίου χυλοῦ, περιδεσμείτωσαν δὲ καὶ τὸν μηρὸν ὡς ἀπὸ παλαισΊοῦ ἑνὸς τοῦ βουβῶνος ἐν τῷ καθεύδειν ἄγνου ῥάβδον· διψῶντες δὲ πάντως κοιμάσθωσαν· ἄθετος γὰρ ἡ πολυποσία τῷ πάθει. Τοὺς δὲ ἤδη χρονίζοντας θεράπευε, ὡς τοὺς διὰ παράλυσιν κύσΊεως οὐροῦντας ἀπροαιρετῶς. Διαφέρουσι δὲ οὗτοι ἐκείνων τῷ ἐπὶ τούτων ἐν τῷ καθεύδειν μόνον γίγνεσθαι τὸ σύμπΊωμα, ἐπὶ δὲ τῶν διὰ παράλυσιν τοῦ μυὸς, τοῦ τραχήλου, τῆς κύσΊεως, καὶ ἐν τῷ ἐγρηγορέναι τοῦτο πάσχειν.

[1] Ita C, Corn., σπέρμα X. — [2] Vient ensuite, dans le ms. C, comme chapitre 22, le morceau publié ci-dessus (p. 108) comme chapitre 24.

κθ'. Περὶ τῶν τῆς κύσΊεως ἑλκῶν [1].

Ἐγὼ δὲ, φησὶν Ἀρχιγένης, ἐπὶ τῶν παλαιοτέρων ἑλκώσεων τούτῳ χρώμενος οὐκέτι ἐδεήθην ποικιλοτέρου φαρμάκου, τῷ ὑποκειμένῳ χρώμενος ὃ καὶ ἔχει οὕτως· Χαμαίδρυος, χαμαιπίτυος, ἀνὰ ∠ κα', ἀσάρου ∠ ζ', πεπέρεως λευκοῦ ∠ ζ', κινναμώμου ∠ α', ὡς λειότατα ποιήσας [2] ἀποτίθημι· δίδωμι δὲ κοχλ. β' μετὰ γλύκεως κεκραμένου· ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ' ὕδατος κυαθ. β' ἀνέσας δίδωμι. Δήξεως δὲ ἑλκώδους ὑπαρχούσης καὶ ἀμύλλου κοχλ. β' καὶ σικύου σπέρματος ιε' βαλὼν τοῦ δέοντος ἐφικόμην. Ἤρκει μὲν οὖν τοῖς βουλομένοις ἐμμεθόδως χρῆσθαι τοῖς βοηθήμασι τὰ προγραφέντα ὑπὸ Ῥούφου καὶ Ἀρχιγένους γεγραμμένα φάρμακα, παραθήσομαι δὲ ὅμως καὶ ἕτερα παραπλήσια καὶ ὑπὸ τῶν ἀρχαίων ἀναγραφέντα· ἔσΊωσαν δέ σοι εἰς τὴν χρῆσιν τὰ προγραφέντα ὑποδείγματα τῶν γραφησομένων.

Ἀνδρομάχου πρὸς τὰ ἐν νεφροῖς καὶ κύσΊει ἕλκη.

Λινοσπέρμου, μήκωνος λευκοῦ σπέρματος, σικύου κεκαθαρμένου, τραγακάνθης ἀνὰ ∠ β' [3], ἀμύλου ∠ δ', λείου ὕδατι καὶ ἀναλαβὼν τροχίσκους καρύου ποντικοῦ τὸ μέγεθος, καὶ δίδου ∠ α' μετὰ γλυκέως κεκραμένου.

Ἀσκληπιάδης δὲ οὕτως καὶ Ἥρας [4] ἄλλο ποιεῖ πρὸς τὰς συνεχεῖς ἐπιδήξεις καὶ τὰς ἀπὸ κύσΊεως αἱμοῤῥαγίας.

Λινοσπέρμου πεφρυγμένου [5], σικύου σπέρματος κεκαθαρμένου, μήκωνος λευκοῦ σπέρματος, τραγακάνθης ἀνὰ ∠ ϛ', γλυκέως ὅσον ἐξάρκει· σκεύαζε καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ γλυκέως κεκραμένου κυ' β', ἐπὶ δὲ τῶν αἱμοῤῥαγούντων, μεθ' ὕδατος.

Ὀριβασίου πρὸς ἑλκώσεις κύσΊεως (ποιεῖ μὲν καὶ [πρὸς] τὰ νεφριτικὰ, ἰδίως δὲ ποτιζόμενα)· Ἀνδράχνης χυλὸς σὺν γλύκει, ἀγρώσΊεως ἀφέψημα, γάλα, οἶνος γλυκὺς, κυπαρίσσου κόμη μετὰ σμύρνης, ὀρόβου μέγεθος.

Πρὸς ἀλγήματα κύσΊεως· Λινοσπέρμου κοχλ. α' μετὰ γλυκέως, σήσαμον, ὁρμίνου σπέρμα, ὀξυσχοίνου καρπὸς, λώτου καρπὸς, μήκωνος σπέρμα ἀνὰ ∠ α' σὺν ὑδρομέλιτι, κωδωνίων ἄνθους ἀφέψημα.

Τοῦ αὐτοῦ πρὸς ἕλκωσιν νεφρῶν ἢ κύσΊεως.

Στροβίλων, ἡμίναν ἰταλικὴν, φυσαλίδας ι', κάρυα βασιλικὰ η' (ἐν ἄλλῳ ι'), κρόκου ∠ ι', λαπάθου σπέρματος ∠ η', ὀπίου ∠ γ', σικύου σπέρματος λελεπισμένου ∠ γ', σελίνου σπέρματος ∠ γ', μέλιτος ἀπέφθου τὸ ἀρκοῦν· ἡ δόσις τριώβολον.

Ἄλλο Ἀνδρομάχου πρὸς κύσΊιν ἡλκουμένην καὶ δυσουρίαν.

Στροβίλια λ', ἀμύγδαλα κεκαθαρμένα κ', φοινίκων ιε' τὰς σάρκας, τραγακάνθης ∠ δ', γλυκυρίζης χυλοῦ ∠ β', κρόκου ὀβολον α', σμύρνης τὸ ἴσον· ἀναλαβὼν γλυκὺ χρῶ ὡς εἴρηται.

[1] Suite et fin du chapitre. — [2] ἐνώσας C, f. melius. — [3] C add. ἐν ἄλλῳ ∠ ιβ'. — [4] Probablement Héras de Cappadoce cité souvent par Galien, et non Héras, médecin de Frontin, nommé dans Aétius, l. XII, Cp Fabric. *B. gr.* anc. éd. t. XIII, *elenchus medicorum*. — [5] Ita C, πεφωγμ. d

Ἄλλο πρὸς τὰ ἐν τῇ κύστει ἕλκη καὶ Φλεγμονάς.

Στροβίλια η', σικύου σπέρματος κόκκοι μ', ἀμύλου τριώβολον, νάρδου σταχυος ∠ α', σελίνου σπέρματος ∠ β', ἐν ὕδατος ℥ α'· ἕψε νάρδου στάχυν, σέλινον, εἶτα τῷ ἀφεψήματι μίγνυται τὰ προειρημένα· δίδου κυ' β', θερμάνας πρὸς τὰς ἐπιτεταμένας δήξεις.

Ἄλλο· Ἀμύλου ∠ η', μύρτων μελάνων πεπείρων τῆς σαρκὸς ∠ η', μήκωνος σπέρματος ∠ ις', γλυκέως προτρόπου ὅσον ἐξαρκεῖ· σκεύαζε καὶ δίδου καρύου ποντικοῦ μέγεθος, μετὰ γλυκέως.

Τροχίσκος ὁ διὰ Φυσαλίδων ὡς Ἥρας, πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει διαθέσεις. Κἂν πῦον ἀπούρηται ἢ αἷμα ἢ μυξώδη σώματα ἢ ἰνώδη ἢ παχέα, ποιεῖ καὶ πρὸς τὰς ψωρώδεις διαθέσεις καὶ στραγγουρίας τὰς δυσεπουλώτους ἑλκώσεις. Τὸ αὐτὸ καὶ πίνεται καὶ ἐνίεται εἰς τὴν κύστιν. Φυσαλίδος βοτάνης τῶν κόκκων ἀριθμῷ κε' (ἐοίκασι δὲ[1] ἁλικακάβῳ, μείζονες[2] μέντοι), ἀμυγδάλων θασίων λελεπισμένων, κρόκου, στροβίλων πεφωγμένων, λαπάθου ἡμέρου σπέρματος λελεπισμένου ἀνὰ ∠ γ'[3], κωνείου σπέρματος, ὀπίου, μαραθροῦ σπέρματος, ἀνὰ ∠ γ', ὑοσκυάμου λευκοῦ σπέρματος, σελίνου σπέρματος, ἀνὰ ∠ ς', σικύου ἡμέρου σπέρματος λελεπισμένου ∠ ιβ'· ἀναλάμβανε γλυκεῖ καὶ δίδου ∠ α', ἀπυρέτοις μετὰ γλυκέως κεκραμένου κυ. γ', πυρέττουσι δὲ μεθ' ὕδατος· ὅταν δὲ σφοδραὶ ὦσιν αἱ περιωδυνίαι[4], δίδου καὶ εἰς τὴν κοίτην, ἔνιε δὲ καὶ διὰ καθετῆρος· χρῶ ὡς ἐνεργεστάτῳ. Ἔνιοι καὶ καρύων ποντικῶν πεφωγμένων ∠ γ' ἐμβάλλουσιν.

Πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει ἑλκώσεις καὶ πᾶσαν δυσουρίαν καὶ ἕλκωσιν καὶ λιθίασιν· Ἀνδράχνην χυλίσας ξήραινε τὸν χυλὸν, καὶ ἀνάπλασσε τροχίσκους, καὶ δίδου ∠ α' πίνειν μεθ' ὕδατος θερμοῦ.

Τροχίσκος ὁ διὰ τραγημάτων πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει ἑλκώσεις[5]·

Σταφίδων κεκαθαρμένων Γο' β', στροβίλων Γο' β', σικύου ἡμέρου σπέρματος λελεπισμένου, μύρτων χωρὶς τῶν γιγάρτων, ἀμυγδάλων πικρῶν λελεπισμένων, ἀμύλου, Φοινίκων λιπαρῶν, σελίνου σπέρματος ἀνὰ Γο' α'[6], μήκωνος σπέρματος ∠ δ', τραγακάνθης, κρόκου, γλυκυρίζης ἀνὰ ∠ δ', σμύρνης ∠ β'· ἀναλάμβανε τροχίσκους μετὰ γλυκέως κρητικοῦ, καὶ δίδου ∠ α', μετὰ γλυκέως κυ. β'.

Ἄλλο διὰ πεῖραν Ὀλυμπίου σοφίστου, πρὸς κύστιν ἡλκωμένην.

Ῥᾶ ποντικοῦ ∠ δ', σικύου σπέρματος κεκαθαρμένου ∠ γ', ὑοσκυάμου σπέρματος ∠ β', μαλάχης σπέρματος ∠ ε', στροβίλων πεφωγμένων ∠ ς', σελίνου σπέρματος ∠ α', ἀμυγδάλων πικρῶν λελεπισμένων θ'[7], ἑψήματι ἀναλάμβανε καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μετὰ γλυκέως κεκραμένου κυ. γ'.

Ἀσκληπιάδου Φάρμακον ἐπιτετευγμένον.

Τούτῳ ἴσμεν πολλοὺς χρησαμένους νεφριτικοὺς καὶ τῆς ὅλης ἀπαλλαγέντας δια-

[1] Ita C; ἔοικε d. — [2] μείζονα d. — [3] ἀνὰ ∠ γ' om. C, f. melius. — [4] Ita C; αἱ πεπλυμέναι ὀδύναι d. — [5] X et le prototype de Corn. omettent le paragraphe précédent et à la place des mots τροχίσκος ὁ, lisent ici οὐγγ. β'. — [6] C ajoute : ἐν ἄλλῳ ἀνὰ οὐγγ. β'. — [7] Ita X; ο' C, Corn.

θέσεως· δεῖ δὲ ἐπὶ πολλὰς ἡμέρας ἐπιμένειν τῷ Φαρμάκῳ. Θεραπεύει καὶ τὰς περὶ κύστιν διαθέσεις· δίδοται δὲ καὶ λιθιῶσιν, ἴᾶται δὲ καὶ κωλικούς· ἔχει δὲ οὕτως·

Καρύων ποντικῶν κεκαθαρμένων, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, σικύου σπέρματος κεκαθαρμένου, καρώου σπέρματος[1] ἀνὰ ∠ γ', μήκωνος λευκοῦ σπέρματος· εἰ δὲ μήγε, κωνείου σπέρματος ∠ ς', κρόκου, μαλάχης σπέρματος, ὀπίου ἀνὰ ∠ ς', ὑοσκυάμου λευκοῦ σπέρματος ∠ ιβ', σελίνου σπέρματος ∠ ιβ'· ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ ἀνάπλασσε τροχίσκους, καὶ δίδου τριώβολον μετὰ μελικράτου κυ. γ'.

Ἄλλο Γαληνοῦ.

Σικύου σπέρματος ∠ ιβ', ὑοσκυάμου ∠ ς', κωνείου σπέρματος, ὀπίου, μαράθρου, κρόκου ἀνὰ ∠ γ', σελίνου σπέρματος ∠ ς', μαλάχης σπέρματος ∠ γ', κασίας ∠ δ', ἀμύγδαλα ι', κάρυα ποντικὰ ι'· γλυκεῖ κρητικῷ ἀναλάμβανε καὶ δίδου τριώβολον[2].

Ἕτερον πρὸς ἕλκωσιν[3] νεφρῶν καὶ κύστεως.

Δαμασωνίου ∠ β', Φοινίκων ∠ ι', στροβίλων ∠ η', σικύου σπέρματος ∠ δ', ἀνίσου ∠ β', ἀμυγδάλων πικρῶν ∠ β', κρόκου ∠ α', πότιζε ὀβολοὺς ζ'[4], μετὰ γλυκέως κεκραμένου νήστει· μὴ παρόντος δὲ δαμασωνίου ἠρύγγιον ἔμβαλε· χρῶ δὲ καὶ τῇ Ξενοφίλου[5] ἀντιδότῳ τῇ προγεγραμμένῃ πρὸς λιθιῶντας ἐν τῷ ις' κεφαλαίῳ· ποιεῖ δὲ ἡ Ξενοφίλου καὶ αἱ παραπλήσιοι αὐτῇ πρὸς τοὺς ἡλκομένους τὴν κύστιν καὶ νεφροὺς μετὰ τοῦ καὶ ψαμμία ἀπουρεῖν. Καὶ τοσαῦτα μὲν περὶ Φαρμάκων εἰρήσθω[6].

λε'[7]. Σύνθετον ἐντατικὸν ποιοῦν καὶ πρὸς πάρεσιν τῶν μορίων.

Νάπυος, πάνακος ῥίζης, εὐζώμου σπέρματος ἀνὰ ∠ η', καρδάμου σπέρματος ∠ δ', πεπέρεως κοκκοὺς κ'· ἀναλάμβανε τροχίσκοις μετὰ χυλοῦ εὐζώμου, καὶ δίδου ∠ α' νήστει μετ' οἴνου στύφοντος παλαιοῦ.

Ἄλλο· Κισσοῦ μέλανος σπέρματος, χαμαιμήλου ἄνθους, ὀξυσχοίνου σπέρματος ἀνὰ ∠ δ', εὐζώμου σπέρματος, πεπέρεως λευκοῦ, σινάπεως ἀνὰ ∠ β', πυρέθρου ∠ δ'. μέλιτι ἀναλαβὼν ὡς ἔχειν ῥύπου πάχος, δίδου ἀπὸ βαλανείου καρύου ποντικοῦ τὸ μέγεθος.

Ἄλλο· Αἰδοῖον ἐλάφου ξηρὸν καύσας δίδου ∠ α' μετ' οἴνου ἀκράτου. Πεπείραται.

Ἄλλο, ᾧ καὶ αὐτὸς κέχρημαι· Ὁρμίνου σπέρματος, σησάμου, πεπέρεως εὐζώμου σπέρματος, σινάπεως, στροβίλων, σκίγκου οὐρᾶς, σατυρίου, σχοίνου ἄνθους, στύρακος πράσσου σπέρματος, σταφίδων ἴσα, μέλιτος τὸ ἀρκοῦν· δίδου ∠ α'.

Ἄλλο, ᾧ καὶ αὐτὸς[8] κέχρημαι[9]· Ἁλῶν κοινῶν πεφρυγμένων ξ α' ἰταλικὸν[10], τοῦτ' ἐστὶ Γο' λς', ὁρμίνου σπέρματος Γρ. ιβ', νάρδου στάχυος Γο' α', σκίγκου ἁλῶν Γο' α', σκίγκου οὐρᾶς ∠ δ', ἄμμεως[11] Γρ. ιβ', σατυρίου Γο' β', πεπέρεως Γο' α', καρδάμου σπέρματος Γο' α', μαράθρου σπέρματος Γο' α', ζιγγιβέρεως ἀνὰ[12] Γο' α', περιστερεῶνος ὑπτίου σπέρματος ξηροῦ ∠ γ', πολυγόνου σπέρματος ξηροῦ ∠ β', στροβίλων Γο' α',

[1] C : *ἐν ἄλλῳ καὶ καρώου σπ. ἀνὰ ∠ γ', ἐν ἄλλῳ οὐγγ. γ'.* — [2] Cette recette manque dans X. — [3] *ἑλκώσεις* C, f. melius. — [4] Ita C, Corn.; *δύο* X. — [5] Ita Corn.; *ξινοφύλλου* X; *Ζηνοφίλου* C. Cp. ci-dessus, p. 574, l. 5, le passage visé ici. — [6] Phrase omise dans X, *d.* — [7] Suite du chapitre 3, à intercaler p. 126, l. 6, après les mots *τὴν ἔκτασιν.* — [8] *αὐτῷ* C. — [9] X, *d* om. ces cinq derniers mots. — [10] Cornarius, *sesquisextarium.* — [11] Les mss. écrivent généralement *ἄμεως.* — [12] *ἀνὰ* ne peut être conservé qu'autant que l'on supprimera les mesures identiques *Γο' α'* qui précèdent.

εὐζώμου σπέρματος ∠ ϛ', φυσαλίδων ∠ δ', ὑπερικοῦ σπέρματος ∠ δ'· κόψας, σήσας, δίδου εἰς ἑσπέραν κοχλιάριον ὡς βούλει.

Ἄλλο δραστικὸν σφόδρα· Σμύρνης, πεπέρεως, νάρδου στάχυος, τραγακάνθης, ἀνὰ ∠ α', λιβάνου ∠ α' C'', κρόκου ∠ α', στύρακος, χαλβάνης, δαύκου, ὁρμίνου σπέρματος ἀνὰ ∠ β', κέγχρυος, μαράθρου σπέρματος, λινοσπέρμου, κνίδης σπέρματος, σεσέλεως, κυμίνου αἰθιοπικοῦ, ἀνίσου, εὐζώμου σπέρματος ἀνὰ ∠ ϛ', ὀρόβου λευκοῦ πεφρυγμένου ∠ ϛ', σελίνου σπέρματος ∠ γ', σησάμου ἀπλύτου ∠ ι', ἀμύγδαλα πικρὰ λελεπισμένα ιε', ἀμύγδαλα γλυκέα λ', στροβίλια ρ' [1], βολβοὺς ὠμοὺς μεγάλους ϛ' [2], μέλιτος τὸ ἀρκοῦν ὡς ἔχειν κηρωτῆς πάχος· δίδου ∠ α' πρὸ δείπνου, μάλιστα μετ' οἰνομέλιτος ἢ οἴνου αὐστηροῦ. Ποιεῖ πρὸς ἔντασιν [3] καὶ πλεονασμὸν ἀφροδισίων, καὶ μάλιστα ἐπὶ τῶν πρεσβυτέρων καὶ ἀσθενῶν· ποιεῖ καὶ πρὸς παιδοποιΐαν.

Ἄλειμμα ἐνεργέστατον.

Ἐλαίου παλαιοτάτου ℔ α', σκώληκας τιθυμάλλου ℥ϛ'· λάμβανε δὲ τὰς καμπὰς ἐν τῷ θέρει [4], ὅταν ἀκμάζῃ ἡ βοτάνη· καὶ ἐμβαλὼν τὸ ἔλαιον τίθει ἐν ἡλίῳ ἡμέρας ζ' καὶ χρῶ τῷ ἐλαίῳ, τρίβων τὸ περίναιον καὶ τὴν ὀσφῦν. Τὸ αὐτὸ ποιοῦσιν καὶ αἱ ἐπὶ ταῖς πιτύαις κάμπαι μετὰ πολλῆς ἐπιτάσεως.

Ὀριβασίου σατυριακή.

Ζιγγιβέρεως, σατυρίου τῆς ἀνωτέρας ῥίζης, ἀνὰ ∠ η', σκίγκου τῆς οὐρᾶς, μείου, ἀσάρου, πετροσελίνου, καρδαμώμου, σεσέλεως, ἀνὰ ∠ δ', εὐζώμου σπέρματος ∠ γ', κινναμώμου ∠ γ', ὁρμίνου σπέρματος, κνίδης σπέρματος, ἀνὰ ∠ β', σχοίνου ἄνθους ∠ α', νάρδου στάχυος ∠ α', αἵματος τραγείου ξηροῦ κοχλ. μεστὸν, δίδου ∠ α' μετ' οἴνου, τοῖς δὲ ἀσθενεστέροις μετὰ γάλακτος.

Ἄλλο Ὀριβασίου πρὸς πάρεσιν αἰδοίου, μάλιστα γερόντων.

Εὐζώμου σπέρματος ∠ β', κυμίνου Γο α', ἀνδράχνης Γο α'· ἀναλάμβανε μέλιτι, καὶ δίδου ὀψὲ καὶ πρωῒ κοχλ. Πρὸς συνουσίαν δὲ, φησὶν, ὁρμᾷ τρωγλίτης στροῦθος [5] ἐσθιόμενος.

[Πρὸς] τοὺς δὲ ἀπὸ περιεργείας δεδεμένους· Αἰγὸς θηλείας οὖρον πότιζε.

Ὀριβασίου ἐντατικόν.

Πεπέρεως, πετροσελίνου, ἐλαφείου αἰδοίου ῥινίσματος ξηροῦ, τερεβινθίνης ἴσα [6]· μέλιτι ἀναλάμβανε καὶ δίδου πίνειν μετ' οἴνου.

Ἄλλο· Ἀσκαλαβώτην καύσας, λεάνας, εἶτα ἐπιβαλὼν ἔλαιον, χρῖσον τοῦ δεξιοῦ ποδὸς τὸν μεγαδάκτυλον καὶ συγγίνου· εἰ δὲ βούλει παύσασθαι, ἀπόπλυνε τὸν δάκτυλον.

Ἄλλο τοῦ αὐτοῦ.

Λαγωοῦ πιτύαν ἢ λέοντος στέαρ χρίε τὸ αἰδοῖον· εἶτα τρία ἅμα πεπέρεα μετὰ χυλοῦ τραγακάνθης, χρίε τοὺς διδύμους καὶ περίναιον καὶ ὀσφῦν.

(Voir la suite et la fin ci-dessus, p. 126, l. 7.)

[1] Ita X; στροβ. s', ἐν ἄλλῳ ρ' C; centum Cornarius. — [2] C ajoute ici : ἐν ἄλλῳ καὶ στύρακος, χαλβάνης, δαύκου, ὁρμίνου σπέρματος ἀνὰ ∠ β'. — [3] ἐντάσεις X. — [4] Ita C; τὰς κόλυκας ἐν τ. θ. τουτέστι κάμβας X. — [5] Ita C; στροῦθος τρωγλίτις X. — [6] Ita C ubique; ἴσα ubique d, X.

SECTION IV.

EXTRAITS INÉDITS DES ÉPHODES, D'ABU DJAFAR,

TRADUITS EN GREC AU Xe SIÈCLE[1].

N. B. Ms. de Paris 2239 = A; ms. 2224 = B; ms. bodléien 708 = O; ms. du Vatican 300 = V. — Nous adoptons la division par paragraphes telle qu'elle existe dans le ms. A.

ΛΌΓΟΥ Α' ΠΎΛΗ Κ'.

μϛ'. Περὶ ἔρωτος.

Ὁ μὲν ἔρως ὑπάρχει νοῦσος γεγεννημένη ἐν τῷ ἐγκεφάλῳ· ἔσΊι δὲ ὑπερβολὴ ἔρωτος, μετὰ συλλογισμοῦ καὶ ἀγρυπνίας, καὶ διὰ τοῦτο παρακολουθοῦσιν[2] αὐτῷ μεγισΊότεροι πόνοι τῆς ψυχῆς, φημὶ, ὁ συλλογισμὸς καὶ ἡ ἀγρυπνία. Εἶπε δέ τις τῶν φιλοσόφων ὅτι ὁ ἔρως ὠνόμασΊαι ἀγάπης ἐπίτασις[3]· πολλάκις δὲ γίνεται ἡ αἰτία τοῦ ἔρωτος ἐξ ἀναγκαίας χρείας τῆς φύσεως εἰς τὸ ἀπώσασθαι τὸ περιτΊὸν[4] ἐκ τοῦ σώματος· ὁ δὲ σοφώτατος Ῥοῦφος ἔφη ὅτι ἡ συνουσία ὀνίνησιν εἰς τοὺς ὑπερνικῶντας[5] αὐτοὺς ἡ μελαίνα χολὴ[6], ἢ ἡ ἀφροσύνη· ἐπισΊρέφει γὰρ πρὸς ἑαυτὴν τὴν τούτων φρόνησιν, καὶ διαλύει τὴν ἰσχυρότητα τοῦ ἔρωτος[7], κἂν τάχα εἰ συνουσιάσει τὸν μὴ ἐρώμενον, καὶ μαλάσσει αὖθις τὴν σκληρίαν, καὶ πολλάκις γίνεται ἡ αἰτία τοῦ ἔρωτος, ὅταν ἐρᾶται ἡ ψυχὴ πλησιάσαι θέας εὐειδεσΊάτης καὶ χαρακτῆρος, ἢ μορφῆς ὑπερφυεσΊάτης, διότι εἴωθεν ἡ ψυχὴ τοῦ θεραπεύεσθαι[8] καὶ θαυμάζειν ἐπὶ παντὶ καλλίσΊῳ πράγματι, ἀπό τε μαργάρων καὶ οἴκων ἢ ἑτέρων ὁμοίων· ἐὰν δὲ ἔσονται τὰ τοιαῦτα κάλλισΊα ἔν τινι πράγματι, ὑπάρχουσιν ὡς εἰς τὸ γένος τὸ ἀνθρώπινον ὁ ἔρως οὗτος καὶ ἡ φυσικὴ ἀγάπη, τότε κινεῖται ἡ ἐπιθυμία σπεύδουσα καὶ ἡ ψυχὴ πρὸς συνουσίαν ἐκείνου τοῦ πράγματος[9], καὶ ὁμιλῆσαι καὶ πληρῶσαι[10]· διὰ τὸ δὲ παρέπεσθαι τῷ ἔρωτι ἀεὶ τὰ ἰσχυρότερα εἴδη τῶν συμβαινόντων τῆς λογικῆς ψυχῆς, φημὶ δὴ, ὁ δυνατὸς συλλογισμὸς, γίνονται οἱ ὀφθαλμοὶ αὐτῶν κοῖλοι καὶ ταχυκίνητοι, διὰ τὸ ταράτΊεσθαι ἡ ψυχὴ ἀπὸ τῶν διαλογισμῶν, καὶ τῆς ἐφέσεως τῆς θεωρίας ἧς ἐρᾷ· ἐπιβαροῦνται δὴ καὶ τὰ βλέφαρα αὐτῶν· αἱ δὲ χροιαὶ αὐτῶν ὠχραὶ διὰ τὴν κίνησιν τῆς ξανθῆς χολῆς, ἀπὸ τῆς ἐγρηγόρσεως· | ὁ δὲ σφυγμὸς αὐτῶν δυνατὸς μὴ ἔχων ἁπλότητα τοῦ φυσικοῦ σφυγμοῦ, μὴ δὲ φυλάτΊων τὸν σφυγμὸν τοῦτ' ἐσΊὶ πεφυρμένος[11]. Ἐὰν δὲ καταποθῇ

Ms. A. fol. 16 r°. — 16 v°.

[1] Voir la Préface, V, IV. — Les notes rédigées par M. Daremberg sont suivies de ses initiales. Nous ne donnons que les variantes portant sur le sens. — [2] πακαλουθῶν A, παρακολουθεῖ B. Corrigo. — [3] ἀπόσΊασις B. — [4] περίτΊωμα B. — [5] B : ὀνίνησι τοὺς ἡτΊωμένοις καὶ ὑπερνικῶν τοὺς αὐτούς. — [6] Ce texte me paraît inintelligible. Cp. ci-dessus le fragment 60, § 14 et le fragment 302, § 1. — [7] B : τὴν ἰσχυροτάτην ἐξέωσιν (legend. ἔξωσιν?). — [8] τρέπεσθαι B. — [9] B : ἐκείνῳ τῷ πράγματι. — [10] καὶ πλησιασμὸν A qui om. ὁμιλ. — [11] πεπυρωμένος B.

ἡ ψυχὴ ἀπὸ τῶν διαλογισμῶν, δηλονότι αἱ ψυχαὶ καὶ ἐνέργειαι Φθείρονται καὶ αἱ ἐνέργειαι παντὸς τοῦ σώματος ἅμα, παρέπεται δὲ τὸ σῶμα τῇ ψυχῇ εἰς τὰς ἐνεργείας αὐτῆς, ὁμοίως καὶ ἡ ψυχὴ τοῦ σώματος εἰς τὴν τούτου ἐντελέχειαν, ἤγουν πλήρωσιν, ὡσαύτως δὲ ἔλεξεν ὁ Γαληνὸς ὅτι αἱ δυνάμεις τῆς ψυχῆς παρέπονται τῇ κράσει τοῦ σώματος. Καὶ εἰ μὴ ἰατρευθῇ ὁ ἔρως εἰς τὸ περιποιηθῆναι αὐτὸν[1] τὰ κωλύοντα τὸν διαλογισμὸν αὐτοῦ, καὶ ἡδύνοντα τὴν ψυχὴν αὐτοῦ, καὶ περικόπτοντα τὴν συνέχειαν τῆς διανοίας αὐτοῦ διὰ τῶν μετεωριζόντων, καὶ ἀεὶ ἐξέρχεται ἡ ἔξω χίλη[2], εἰς τὸ πάθος τὸ γνωστὸν, τὴν μελαγχολίαν[3] καὶ καθὼ ὑπὸ τοῦ κόπου τοῦ σώματος, ἐπεγείρονται νοῦσοι ἀνίατοι, ὡσαύτως καὶ ἀπὸ τοῦ ψυχικοῦ κόπου ἐπεγείρονται νοῦσοι δυσίατοι καὶ ἰσχυρότεραι ἀῤῥωστίας καὶ πάνδειναι, ὡς ἔστιν ἡ μελαγχολία, ἀμεινότερος δὲ μετεωρισμὸς ὑπάρχει τοῦ συνεχομένου νοῦ ὑπὸ ἐννοιῶν. Καὶ διαλογισμῶν ἐξαίρεται τὸ οἰνοποτεῖν μετὰ τραγῳδίας καὶ μουσουργίας καὶ διηγήμασι Φίλων καὶ ἀκοντίζεσθαι μέλος ἰαμβικόν· καὶ βλέπειν περιβόλαια χλοερά, καὶ πρόσωπα ἀνθηρὰ καὶ εὐθαλῆ· Φησὶ γὰρ ὁ Ῥοῦφος ὅτι ὁ οἶνος Φάρμακον μέγιστόν ἐστι τῶν Φοβουμένων καὶ ἐρώντων. Εἶπε δὲ ὁ Γαληνὸς ὡς ἐξ ἄλλου τινὸς ὅτι ὁ χυλὸς τῆς σταφυλῆς εὐφραίνει τὴν ψυχὴν τὴν θλιβερὰν ἢ λυπηρὰν καὶ χαροποιεῖ[4], ὡς ἀπ' ἀνδρὸς περιβοήτου καὶ σοφωτάτου ἔφησε καὶ ὡς ἀπὸ τοῦ Ζήνωνος λέγων ἐκεῖνος· ὥσπερ γὰρ τὰ θέρμια τὰ πικρὰ ὅταν δεύωνται ἐν τῷ ὕδατι γίνονται γλυκύτατα, οὕτω καὶ ὁ οἶνος[5] ἀποδιώκει τὴν πικρότητα τῆς ψυχῆς καὶ τὴν λύπην. Ἔφη δὲ καὶ ὁ Ῥοῦφος ὅτι οὐ μόνον ὁ οἶνος πινόμενος συμμέτρως ἐξαπλοῖ τὴν ψυχὴν, καὶ ἀποδιώκει ἐξ αὐτῆς[6] τὴν λύπην, ἀλλὰ[7] καὶ ἕτερα πάλιν ποιοῦσι τὰ τοιαῦτα, ὡς τὰ εὔκρατα λουτρὰ καὶ θερμὰ[8], καὶ ἐπὶ τούτων[9] ἐγείρει αὐτοὺς ἡ ψυχὴ αὐτῶν, ὅταν εἰσέρχωνται ἐν τῷ βαλανίῳ συμμέτρως μελῳδεῖν καὶ τραγῳδεῖν. Φασὶ δέ τινες τῶν Φιλοσόφων ὅτι ἡ μελῳδία ἐστὶν ὡς ἡ πνοὴ, ὁ δὲ οἶνος ὡς σῶμα· συναδόντων δὲ αὐτῶν τοῦτ' ἔστιν ἑνουμένων ἑνοῦνται καὶ τὰ κάλλιστα προτερήματα. Διηγήσατο δὲ καὶ Ἰσαὰκ ὁ Κάνδης ὅτι ὁ Ὀρφεὺς ὁ μουσουργὸς εἶπεν· οἱ μὲν βασιλεῖς ἄγουσί με εἰς τὰς αὐλὰς καὶ καθέδρας αὐτῶν, τοῦ ἡδύνεσθαι [ἕνεκα] ὑπ' ἐμοῦ καὶ μετεωρίζεσθαι· ἐγὼ δὲ μετεωρίζομαι καὶ ἡδύνομαι, διότι δύναμαι ἀλλοιῶσαι τὰ ἤθη αὐτῶν καὶ τὰς γνώμας, ἀπό τε θυμοῦ εἰς ἱλαρότητα, καὶ ἀπὸ λύπης εἰς χαρὰν καὶ ἀπὸ συστολῆς εἰς ἁπλότητα, καὶ ἀπὸ στυγνότητος εἰς εὐθυμίαν, καὶ τὸν Φειδωλὸν ποιῶ εὐμετάδοτον καὶ τὸν δειλὸν ἀνδρεῖον. Ἐν τούτοις οὖν καταντᾷ[10] ἡ πρᾶξις τῆς στάθμης τῶν μελισμάτων καὶ ἡ οἰνοποσία ὡς τὸ ῥωννύειν τὰ συμβαίνοντα αὐτῇ τῇ ψυχῇ καὶ θεραπεύειν τὰ πάθη[11]. Καὶ τοῦτο οὖν τελειοῦνται ὅπερ ἔφημεν ἐὰν συγκαθείδωνται[12] μετὰ αὐτῶν πρόσωπα[13] εὐπρόσδεκτα. Καὶ ταῦτα ἃ ὁ Δημιουργὸς ἐντέχνως ἐῤῥύθμησεν καὶ κατεσκεύασεν εἰς τέλειον κάλλος καὶ ὡραιότητα, δεικνύουσα ἐν τούτοις ἡ ψυχὴ τὴν αὐτῆς Φαεινότητα καὶ λαμπρότητα καὶ τὸ κάλλος, μετὰ ἠθῶν ἀρίστων καὶ καρδιῶν καθαρῶν καὶ ἀμολύντων. Καὶ διὰ τοῦτο εἶπον ἔνιοι· ἡδονή ἐστι ἡ οἰνοποσία καὶ τὸ διαλέγεσθαι καὶ τὸ ὁμιλεῖν μετὰ τῶν εὐφυεστάτων καὶ Φρονίμων. Ὁ δὲ Γαληνός Φησί

1. ἐντοσθίδιον AFOV, cum L.

Page 187, l. 4. ἰσθμοειδὲς X pr. m., P; ἰθμ. TOV.

11. σπόνδυλος sic omnes codd., at supra σφόνδυλος.

Page 188, l. 10-11. συνεμπέφυκε (leçon de Cl.) doit être remplacé par συνεκπεφ. que fournissent LAFXP.

Page 189, l. 2. μὲν add. APLX.

14. *δυσὶν*] *τρισίν* A (altération de *τρισίν*).

Page 190, l. 4. Lire *τοῖς σπλάγχνοις* avec AF.

Page 191, l. 6. *κοτύλαι... οἱ δὲ*]. Ces onze mots sont omis par X pr. m., P.

Page 193, l. 1, Lire *σιγματοειδές*. — Les notes visées dans la traduction française (l. 11) ne se sont pas retrouvées.

SECTION VI.

PREMIER TEXTE ANONYME INÉDIT.

DÉNOMINATIONS DE LA NATURE DE L'HOMME[1].

ΟΝΟΜΑΤΟΠΟΙΙΑ ΤΗΣ ΑΝΘΡΩΠΟΥ ΦΥΣΕΩΣ.

(Cod. Palat. = A ; cod. Col. = B.)

Τὸ ἁπαλὸν, βρέγμα· τὸ ἀνώτερον καὶ ἐξογκώτερον τοῦ ὀπισθολάκου, ἰνίον[2]· τὸ ἄνω τῆς κεφαλῆς, κορυφή[3]· τοὺς μηνίγγας, κροτάφους· μήνιγξ, ἡ τοῦ ἐγκεφάλου ὑμήν[4]· τὸ πρόσωπον τὸ ὑπὸ τὸ βρέγμα, μέτωπον· αἱ περὶ τοὺς κροτάφους ἐκφυεῖσαι τρίχες, ἴουλοι· τὰς καλυπτούσας τοὺς ὀφθαλμοὺς δορὰς, βλέφαρα[5], τὰς δὲ[6] ἐν αὐταῖς τρίχας, τάρσους καὶ βλεφαρίδας· τὰς δύο γωνίας τῶν ὀφθαλμῶν, κανθούς· τὸ τῶν ὀφθαλμῶν μεσώτατον ἤγουν[7] τὸ εἴδωλον, γλήνην· τὸ μετ' αὐτὴν[8] κἂν ὁποίου χρώματος τύχῃ, ὄψιν καὶ κόρην· τὴν κύκλῳ τούτου γραμμὴν τὴν χωρίζουσαν, τὴν ὄψιν, καὶ τὸ λευκὸν, ἶριν· τὰ ὑποκάτω τῶν ὀφθαλμῶν ἀνεστηκότα ὀστᾶ, ὑποφθάλμια, ὑπώπια καὶ μῆλα. Τὰ τρυπήματα τῆς ῥινὸς, μυκτῆρας, καὶ ῥωθώνας· τὸ μέσον τούτων τῶν τρυπημάτων, διάφραγμα· τὸ ἔνθεν καὶ ἔνθεν τῶν μυκτήρων, πτερύγια· τὸ ἄκρον τῆς ῥινὸς, σφαιρίον. Τὸν λάκκον τοῦ ἄνω χείλους, φίλτερον[9]· τὸ κοῖλον τοῦ κάτω χείλους, νύμφην. Τοῦ ὠτίου τὸ ἐπικλινὲς, πτερύγιον· τὸ ἐντεῦθεν, ἕλικα καὶ λοβόν· τὰ μάγουλα, παρείας καὶ[10] γνάθους, καὶ σιαγόνας· τὸ κατώτερον τούτων, γένειον, καὶ ἀνθερεῶνα. Τοῦ ἄνω χείλους τὰς τρίχας, μύστακας· τὰ δύο ἄκρα τοῦ μύστακος, ἤγουν[11] τὰ ἐν τοῖς δυσὶν[12] γωνίαις τῶν χειλέων, καὶ τοῦ λάκκου τοῦ κάτω χείλους, πάππον· τὰς τοῦ πώγωνος τρίχας, ὑπήνην. Τοὺς τέσσαρας ἔμπροσθεν[13] ὀδόντας, τομεῖς· μύλους δὲ καὶ γομφίους[14] καὶ τραπέζας καὶ κρατῆρας τοὺς λοιπούς· τοῦ ἐσω-

[1] Voir la préface, V, vi. Revoir aussi la p. 236. Nous avons dû constituer le texte, que M. Daremberg avait laissé dans la forme présentée par les manuscrits. — [2] *ἰνίου* A. — [3] Phrase placée dans A après la suivante. — [4] Phrase omise dans A. — [5] *βλεφαρίδες* B. — [6] Om. B. — [7] *οἷον* B. — [8] *μετ' αὐτοῦ* B. — [9] Fort. legend. *φίλτρον*. A om. *φίλτ... χείλους*. — [10] *καὶ bis* om. A. — [11] *οἷον* B. — [12] *δύο* codd. — [13] *ἐμπροσθίους* A. — [14] *γομ. φίας* B.

τάτους πάντων καὶ ὑσΊεροφυεῖς, σωφρονισΊῆρας· τὰς παρὰ τοὺς ὀδόντας σάρκας, οὖλα. Τὸ ὄπισθεν τοῦ τραχήλου, τένοντα· τὸ ἔμπροσθεν, σφαγήν, γλαυκονίαν καὶ ἀντικάρδιον· ἡ κεφαλή, τὸ ἄνω[1]. Ἡ μέση τοῦ βραχίονος, ὦμος· τὸ ὑποκάτω τούτου κοῖλον, μασχάλη· τὸ ἐφεξῆς τοῦ ὤμου, βραχίονα· τὸ μετὰ τοῦτον ὀξὺ, ὑφ' οὗ σΊηριζόμεθα κλινόμενοι[2], ἀγκῶνα, ὠλέκρανον καὶ κίβυτον (sc. cubitum)· τὰ μετὰ τὸν ἀγκῶνα ὀσΊᾶ, τὸ μὲν ὑποκείμενον, πῆχυν, τὸ ἐπικείμενον, κερκίδα[3]· τὸ δὲ ἐφεξῆς πλατὺ καὶ συμφυὲς, καρπὸν· τὸ ὄπισθεν τούτου, μετάκαρπον, καὶ ταρσόν· εἶτα δάκτυλοι[4], ὁ ἐφεσΊηκὼς μὲν τῶν ἄλλων, ὁ μέγας, ὁ δὲ πρῶτος τῶν τεσσάρων, λιχανὸς, ὁ δὲ μέσος καὶ ἀντίχειρ[5], καὶ ὁ μετ' αὐτοὺς[6] παράμεσος, καὶ ὁ μικρός[7]· τὰ ὀσΊᾶ αὐτῶν, σκυταλίδες, καὶ φάλαγγες· καὶ ἄλλως ὁ μέγισΊος[8] πάντων λέγεται ἀντίχειρ καὶ μείζων ὁ μετ' αὐτὸν λιχανὸς, ὁ μετ' αὐτὸν μέσος, καὶ ἐπιβάτης, ὁ μετ' αὐτὸν παράμεσος καί σφάκελος καὶ ἄλλως. Τὰ πρῶτα ἄρθρα, προκόνδυλοι· τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου καὶ τοῦ λιχανοῦ, θέναρ· τὰ μέσα τῶν δακτύλων, ὑπόνεθρα. Τὸ ἔμπροσθεν καὶ τὸ κάτωθεν[9] τῆς σφαγῆς, σΊέρνον· τὸ ἐξόπισθεν τούτου, νῶτον· τὰ ἐφεξῆς καὶ ἕως τῶν τελευταίων τῆς ῥάχεως, μετάφρενα[10]· τὸ δὲ τελευταῖον τῆς ῥάχεως, ὀσφύς· τὸ κάτω τοῦ ὀμφάλου, κοιλία, γασΊὴρ, ὑπογάσΊριον, καὶ ἦτρον[11]· τὸ ποιοῦν μάλια γύρωθεν τῶν αἰδοίων, ἐπίσειον[12], καὶ ἥβην, καὶ ἐφήβαιον· τὸ ἐκκρεμὲς τοῦ ἄῤῥενος, καυλὸς, καὶ σΊῆμα· τὸ πέρας τοῦ καυλοῦ, βάλανον[13], καὶ τὸ δέρμα τούτου, πόσθην· τὸ δέρμα τῶν διδύμων, ὄρχιν, οἱ ὄρχεις, καὶ δίδυμοι καὶ παιδογόνοι· τὸ τελευταῖον ὀσΊοῦν τοῦ σπονδύλου τῆς ῥάχεως, ἱερὸν ὀσΊοῦν καὶ ὑποσπόνδυλον· τὸ ὑπὸ ταῖς πλευραῖς[14] μαλακὰ, λαπάραν καὶ κένωσιν· εἶτα τὰ ἐντεῦθεν ὀσΊᾶ, ληγόνας. Τοῦ μηροῦ ὀσΊᾶ δύο, τὸ μὲν πρῶτον, μηρὸν, τὸ δὲ ἄλλὸ, παραμήριον· τὸ ἐπάνω ὀσΊοῦν τούτων, ἤγουν τὸ ἐγχωρίως λεγόμενον παπάδιον[15], ἐπιγονατίς, καὶ ἐπιμηρίς· τὸ ἄκρον τοῦ μηροῦ τὸ πρὸς τὴν κνήμην, γόνυ· τὸ ὄπισθεν, ἐν ᾧ καὶ κάμπΊομεν τὸ γόνυ, ἰγνύη· τῆς κνήμης ὀσΊᾶ δύο, ὧν τὸ ἔμπροσθεν, ἀντικνήμιον, τὸ δὲ ἄλλο, κνήμη καὶ κερκίς· τὰ ἄκρα τῶν αὐτῶν ὀσΊῶν, σφυρὰ καλεῖται[16]· τὸ μέσον τῶν αὐτῶν ὀσΊῶν, ψαχνὸν (?), μῦς καὶ γασΊροκνήμη· τὸ ἔμπροσθεν τοῦ ποδὸς, ταρσὸς, πλατὺ πεδίον. Στῆθος δὲ τὸ κάτω μετὰ τὸ κοῖλον, ἀφ' οὗ οἱ δάκτυλοι, οἱ δὲ τοῦ ποδὸς δάκτυλοι, ὡς καὶ τῆς χειρός· πέλμα[17] δὲ τὸ ὑπὸ κάτω τοῦ ποδός.

[1] Phrase omise dans A. — [2] Om. A. — [3] κερκίς A. — [4] δάκτυλον A. — [5] κ. ἀντ. om. A. — [6] μετ' αὐτὰ B; corrigo; om. A. — [7] Pro καὶ ὁ μ. quod habet A, legit B : σφάκελος, ὁ δὲ μετ' αὐτὸν τελευταῖος καὶ μύωψ.—[8] ὁ μέγισΊος. . jusqu'à καὶ ἄλλως, addition de B qui paraît être une variante introduite dans le texte. — [9] καὶ κάτω B.
[10] μετάφρονα A; corrigo; om. B μετάφρ. . . . . τὸ δ. τελ. τ. ῥ. — [11] λῆτρον A; νῆτρον B. — [12] πίσιον codd. — [13] A met partout le nominatif comme ci-dessus, p. 235, l. 26. — [14] λαθραῖς A. — [15] παπάδιον n'est pas dans le *Thesaurus l. gr.* Ce passage ne pourrait-il pas indiquer le point de la Grèce dont l'auteur de ce texte était originaire? — [16] Om. A. — [17] Ce mot et les suivants sont ajoutés par B.

SECTION VII.

SECOND TEXTE ANONYME INÉDIT.

SUR LES VARIÉTÉS DE FIÈVRES,

PUBLIÉ D'APRÈS LE MANUSCRIT 2260 DE LA BIBLIOTHÈQUE NATIONALE[1].

8 r°. *Σκοπὸν ἔχομεν ἐν τῷ παρόντι [συγ]γράμματι[2] περὶ τῆς τῶν πυρετῶν διαφορᾶς... εἴπωμεν τί ἐσῖι διαφορά.*

Διαφορά ἐσῖι τὸ κατὰ πλείονων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ ὁποῖον τί ἐσῖι κατηγορούμενον. Ποσαχῶς ἡ διαφορά; τριχῶς, κοινῶς, καὶ ἰδίως, καὶ ἰδιαίτατα. Τίς ὁ σκοπὸς τῆς ὅλης πραγματείας, καὶ πόσοι θεραπευτικοὶ σκοποί; τέσσαρες εἰσὶ θεραπευτικοὶ σκοποί· ὁ ἀπὸ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ, καὶ τοῦ καιροῦ, καὶ τοῦ τρόπου τῆς χρήσεως. Ποσαχῶς ἡ ἔνδειξις τῶν θεραπευτικῶν σκοπῶν; πενταχῶς· πρώτη μὲν ἡ ἔνδειξις ἀπὸ τῆς τοῦ πεπονθότος τόπου κράσεως ἐσῖὶ, τὸ μέτρον ὁρίζουσα τοῦ θερμαίνειν ἢ ψύχειν, ἢ ξηραίνειν ἢ ὑγραίνειν· ὃ κατὰ συζυγίαν πράτῖειν αὐτά· δευτέρα δὲ, τοῦ κοινὸν εἶναι τὸ ἔργον ἅπασι τοῦ ζώου μορίοις, ἢ κοινὴν τὴν δύναμιν εἶναι χορηγεῖ· τρίτη, ἡ παρὰ τὴν διάπλασιν αὐτοῦ· τετάρτη, ἡ παρὰ τὴν θέσιν, ἧς μέρος ἐσῖὶν, ἡ πρὸς τὰ πλησιάζοντα τοῦ ζώου μόρια κοινωνία· καὶ πρὸς τούτοις ἅπασιν ἡ τοῦ τῆς αἰσθήσεως ποσοῦ.

Πόσα ὄργανα ἔχει ὁ πυρετός; δύο ὄργανα ἔχει ὁ πυρετὸς, καὶ κέχρηται τούτοις πρὸς λύμην παντὸς τοῦ σώματος· καρδίαν φημὶ καὶ ἧπαρ· καρδίαν μὲν, ἀνάπῖουσαν αὐτὸν· ἧπαρ δὲ, τὴν τῶν χυμῶν ὕλην αὐτῷ χορηγοῦν. Ὁρμᾷ οὖν ὁ πυρετὸς ἀπὸ καρδίας καὶ ἥπατος. Φείδεται οὖν ὁ πυρετὸς χόνδρων, ὀσῖέων, νεύρων καὶ τῶν λοι-
v°. *πῶν, ἢ οὔ; Οὐ φείδεται οὐ χόνδρων, οὐκ ὀσῖέων, οὐκ ἄλλου τινὸς μορίου, ἀλλὰ συντήκει μὲν ἀρτηρίαν, καταναλίσκει δὲ σάρκας, ἐκδαπανᾷ δὲ πᾶσαν τὴν ὑγρότητα τῶν μορίων.*

Τί ἐσῖι σκοπός; τὸ προϋπονοούμενον τέλος· καὶ ἄλλως· σκοπός ἐσῖι πρόσληψις ψυχῆς, καὶ προτύπωσις προτεθεῖσα ἐκ μεταφορᾶς τοῦ τοξότου[3], τοῦ πρῶτον μὲν σῖοχαζομένου τὸν τόπον, εἶθ' οὕτως ἐπιπέμποντος τὸ βέλος.

Πόσαι διαφοραὶ τῆς θερμασίας; δύο· ἡ γὰρ ἀνειμένη[4] ἐσῖὶν, ἢ ἐπιτεταμένη, τοῦτ' ἔσῖιν ἢ ἧτῖον ἢ μᾶλλον. Οὐκοῦν καὶ τοῦ πυρετοῦ διαφοραὶ δύο, οὐσιώδης καὶ ἐπουσιώδης, καὶ ἐπὶ τὸ ἧτῖον καὶ μᾶλλον ὑπάρχουσι. Τί ἐσῖι τὸ προϋπονοούμενον τέλος ὃ ἀποτετέλεσῖαι τοῦ σκοποῦ; ἡ ἀρχὴ καὶ τὸ τέλος. Καὶ τί ἡ ἀρχὴ καὶ τὸ τέλος; τὸ ἄρξασθαι καὶ τελειῶσαι.

[1] Voir la préface, V, VII. Ce texte, comme l'*Ὀνοματοποιία*, était à constituer lorsqu'il nous a été confié. (C. É. R.) — [2] *συντάγματι*, plus bas (fin du fol. 139, r°). — [3] In textu *τόξου*, in margine *τοῦ τοξότου*. — [4] *ἀμένη* ms. Corrigo.

Τίς τυγχάνει ἡ οὐσία τοῦ πυρετοῦ; παρὰ Φύσιν θερμασία· τῆς δὲ θερμασίας ταύτης ἡ μὲν μᾶλλόν ἐσ7ιν, ἡ δὲ ἧτ7ον. Καὶ αὗται μὲν οὖν εἰσιν αἱ κυριώταται διαφοραὶ τοῦ πυρετοῦ· αἱ δὲ ἄλλαι κατὰ συμβεβηκός· τούτων αἱ μὲν ἀχώρισ7οι, ὅσαι παρὰ τὴν Φύσιν, ὡς εἰρήκαμεν, ἐπὶ σ7ερεοῖς καὶ ὑγροῖς καὶ πνεύμασι συνίσ7ανται· αἱ δὲ χωρισ7αὶ, ὅσοι παρὰ τὴν κίνησιν, καθὰ Φαμὲν, τοὺς μὲν ὀξεῖς, τοὺς δὲ χρονίους, καὶ τοὺς μὲν τεταγμένους, τοὺς δὲ ἀτάκτους· ἀλλὰ καὶ ἀπὸ χρωμάτων μὲν, ὡς ἂν εἴπωμεν, τοὺς μὲν ξανθοὺς, τοὺς δὲ ἐρυθροὺς, τοὺς δὲ πελιδνοὺς, ἀπὸ μορίων δὲ, ὡς ἂν Φήσωμεν[1], τοὺς μὲν περιπνευμονικοὺς, τοὺς δὲ πλευριτικοὺς εἶναι πυρετούς. Αὗται γὰρ κατὰ συμβεβηκός εἰσι διαφοραὶ, καὶ χωρισ7αί· οὐ γὰρ ἀεί ἐσ7ιν ὁ πυρετὸς, F. 139 r°
περιπνευμονικὸς δὲ ἐσ7ὶ μεταλαμβανόμενος εἰς ἄλληλα τῶν παθῶν· καὶ ἐπὶ τῶν ὀξέων δὲ, τὸ αὐτό· δύναται γὰρ ἀπὸ τῶν ὀξέων εἰς χρόνιον πεσεῖν. Εἰκότως οὖν αὗται λέγονται χωρισ7αὶ διὰ τὸ μεταπίπ7ειν αὐτὰς [καὶ] μεταβαίνειν ὡσαύτως ἀεί.

Πόσαι διαφοραὶ τῶν πυρετῶν; Καὶ λέγομεν ὅτι τῶν πυρετῶν διαφοραὶ διτ7αὶ, αἱ μὲν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις. Καὶ ποίας καλεῖ οὐσιώδεις, καὶ ποίας ἐπουσιώδεις; Καὶ οὐσιώδεις, καὶ οἰκειοτάτας καὶ πρώτας διαφορὰς καλεῖ ὁ Γαληνὸς τὰς ἀπὸ τοῦ εἴδους τοῦ παρὰ τὸ μᾶλλον καὶ ἧτ7ον. Τῶν γὰρ πυρετῶν οἱ μέν εἰσιν οὐσιώδεις, οἱ δὲ κατὰ συμβεβηκός· καὶ τῶν οὐσιωδῶν, οἱ μὲν περὶ τὸ εἶδος, οἱ δὲ περὶ τὴν ὕλην. Καὶ ἡ[2] μὲν περὶ τὸ εἶδος διαφορὰ, τὸ μᾶλλον καὶ ἧτ7ον· ἡ γὰρ θερμασία, ἢ μᾶλλόν ἐσ7ιν ἢ ἧτ7ον· ἡ δὲ περὶ τὴν ὕλην[3] ἢ ἐπὶ πνεύμασιν ἢ ἐφ' ὑγροῖς, ἢ ἐπὶ σ7ερεοῖς. Καὶ ἡ μὲν ἐπὶ πνεύμασιν, ἢ ζωτικὴ, ἢ ψυχικὴ, ἢ Φυσική· ἡ δὲ ἐφ' ὑγροῖς, ἢ ἐπὶ Φλέγμασιν, ἢ ἐφ' αἵματι, ἢ ἐπὶ χολῇ, ἢ ἐπὶ μελαγχολίᾳ· ἡ δὲ ἐπὶ σ7ερεοῖς, ἢ ἐπὶ παρεσπαρμένῃ ὑγρότητι, ἢ ἐπὶ νεοπαγεῖ, ἢ ἐπὶ συνεκτικῷ[4]. Καὶ αὕτη μὲν ἡ οὐσιώδης διαφορὰ τῶν πυρετῶν, ποίας καλεῖ οὐσιώδεις, καὶ ποίας ἐπουσιώδεις; τὰς κυριωτάτας καὶ πρώτας, καὶ τὰ παρὰ τὸ μᾶλλον καὶ ἧτ7ον, οὐσιώδεις καλεῖ[5]· τὰς δὲ ἀπὸ τῆς ὕλης καλεῖ ἐπουσιώδεις. Ποῖαι οὖν εἰσιν αἱ οὐσιώδεις, ἢ δηλονότι αἱ τῆς οὐσίας αὐτῆς· τίς δὲ ἡ οὐσία τοῦ πυρετοῦ; ἡ παρὰ Φύσιν θερμασία, καὶ ταύτης τοίνυν αἱ διαφοραὶ τῶν πυρετῶν τυγχάνουσι. Πόσαι διαφοραὶ τῶν πυρετῶν; δύο εἰσὶν αἱ διαφοραὶ τῶν πυρετῶν, αἱ οἰκειόταται καὶ κυριώταται, αἵτινες καὶ διαιροῦνται ἐν τῷ παρόντι συντάγματι. Καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περὶ τῶν ὁμογενῶν πυρετῶν, Φημὶ δὲ περὶ ἐφη- v°.
μέρων, καὶ ἑκτικῶν. Ἀλλ' εὐθέως ἀπορῶν τις ἐπανίσ7αται καὶ λέγει· Τί Φῇς; ὁμογενεῖς ὑπάρχουσιν ὅ τε ἐφήμερος καὶ ὁ ἑκτικός; Παραδέδωκάς μοι τὸν ἐφήμερον εὐηθέσ7ατον ὄντα, καὶ ἐν μιᾷ ἡμέρᾳ γινόμενόν τε καὶ παυόμενον, τὸν δὲ ἑκτικὸν τοῦτον δυσίατον καὶ κακοήθη; Ὁμογενεῖς δ' ἀναγορεύεις τοὺς ἐφημέρους; Καὶ λέγομεν οὖν ὅτι ὁμογενεῖς αὐτοὺς ἔφη εἶναι ὡς ἀμφοτέρους ἐκ προκαταρκτικῆς αἰτίας ἡνωμένους. Ὅτι τῶν πυρετῶν, οἱ μέν εἰσιν ἐπὶ πνεύμασιν, οἱ δὲ ἐφ' ὑγροῖς, οἱ δὲ ἐπὶ σ7ερεοῖς· καὶ πάλιν τῶν πυρετῶν, οἱ μὲν ἐπὶ τῷ πεπονθότι, οἱ δὲ ἄνευ τόπου· καὶ πάλιν οἱ μὲν ἁπλοῖ, οἱ δὲ σύνθετοι. Ὅτι τῶν νοσημάτων, τὰ μέν εἰσιν ὁμοιομερῆ, τὰ δὲ ὀργανικὰ, τὰ δὲ κοινὰ, καὶ τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ τὰ μὲν μεθ' ὕλης, τὰ δὲ ἄνευ ὕλης, καὶ ἢ ἐν παντὶ τῷ σώματι, ἢ ἑνὶ μορίῳ, ἢ ἐπὶ κυρίῳ ἢ ἀκύρῳ. Ζητοῦμεν οὖν τὴν οὐσίαν τοῦ πυρετοῦ· ὁ μὲν γὰρ πυρετὸς, συμβεβηκός ἐσ7ι, ἡ δὲ ὕλη οὐ συνδιαιρεῖται. Ὁ πυρετὸς γὰρ οὐσία ἐσ7ὶν, ἐπειδὴ καὶ τὰ πνεύματα καὶ τὰ λοιπὰ οὐσίαι εἰσίν. Οὐσία δέ ἐσ7ιν αὐτοῦ ἡ παρὰ Φύσιν θερμασία. Τί οὖν; ἐάν τις συγγράφων, ἢ ἐνεργῶν, ἢ ὁδοιπορῶν, θερμανθεὶς τὰς χεῖρας ἢ τοὺς πόδας, πυρέτ7ειν αὐτὸν λέγομεν; Οὐδαμῶς· ἐπειδὴ αὕτη ἡ θερ-

[1] Φήσομεν ms. — [2] εἰ ms. — [3] Le ms. ajoute : Εἰ δὲ περὶ τὴν ὕλην, répétition probablement fautive des mots précédents. — [4] συνεκτικοῦ ms. — [5] Sc. Γαληνός.

μασία ἐν μέρει γίνεται, ὁ δὲ πυρετὸς ἐν ὅλῳ τῷ σώματι. Ἀλλὰ πάλιν ἐροῦσι τινές· Τί οὖν; ἐάν τις λουσάμενος, ἢ οἶνον πιὼν, ἢ ἄλλως πως[1] διαθερμανθῇ ὅλον τὸ σῶμα, τότε πυρέττειν φήσομεν τὸν ἄνθρωπον; Καὶ λέγομεν· Οὐχί, ἐπειδὴ οὐ βλάπτει τὰς ἐνεργείας ἡ τοῦ λουτροῦ θερμασία. Τί δέ ἐστι πυρετός; ἐροῦμεν πάλιν ὅτι πυρετός ἐστι θερμασία παρὰ φύσιν ἐν ὅλῳ τῷ σώματι γινομένη καὶ βλάπτει τὰς ἐνεργείας. Ἰστέον οὖν ὅτι ἡ καρδία οἷον πηγή τίς ἐστι τοῦ ἐμφύτου θερμοῦ· ἐκπεφύκασι δὲ ταύτης ἀρτηρίαι, οἷον σωλῆνές τινες, καὶ δι' αὐτῶν ἐν τῷ παντὶ σώματι χορηγεῖται ἡ θερμότης. Ἐὰν οὖν τις ὁδοιπορῶν θερμανθῇ, τὴν κεφαλὴν ἐκκαυθεὶς, πάσχουσιν
o r°. αἱ ἀρτηρίαι καὶ τῇ συγγενείᾳ ἀπαγγέλουσι τῇ καρδίᾳ τὸ πάθος, καὶ οὕτως αὕτη μεταλαμβάνουσα ἀνάπτει τὸν πυρετόν. Τὸ γὰρ ἐν αὐτῇ πνεῦμα ἑτοίμως ὑπὸ τοῦ ὁμοίου θερμοῦ πάσχει. Μεμαθήκατε γὰρ πολλάκις ὅτι τὸ ἡμέτερον σῶμα, ἐκ τριῶν οὐσιῶν συνεστηκὸς, ἐκ πνευμάτων, ἐξ ὑγρῶν, ἐκ στερεῶν, ἐν αὐτῷ συνιστάμενον ἔχει τὸν πυρετόν. Καλεῖ δὲ ὁ Ἱπποκράτης πρέπουσαν ἐν λέξεσι τὴν ὀνομασίαν.

Τίς ἐστι συμβεβηκὼς πυρετός; συμβεβηκώς πυρετός ἐστιν ὃς γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Καὶ πῶς ὁρῶμεν ἐπὶ τὸν περιφρυγῆ μαρασμὸν, ὅτι γίνεται μὲν, οὐκ ἀπογίνεται δέ; Καὶ λέγομεν ὅτι ὁ περιφρυγὴς μαρασμὸς οὐκ ἀποχωρεῖται τῆς τοῦ ὑποκειμένου φθορᾶς. Ἐροῦμεν δὲ ὅτι πρῶτον μὲν οὐκ ἔστιν ἀληθὴς ἐπὶ πάντων τῶν συμβεβηκότων ὁ ἀποδεδομένος λόγος, ἀλλ' ἐπὶ μόνων τῶν χωριστῶν. Ἐπὶ δὲ τῶν ἀχωρίστων, οὐκ ἔστιν. Ὁ δὲ κατὰ συμβεβηκὸς τοιοῦτός ἐστιν· ἢ ἐν τόπῳ πεπονθότι ἐστὶν ὁ πυρετὸς, ἢ ἄνευ τόπου πεπονθότος· καὶ εἰ μὲν ἐν τόπῳ πεπονθότι ἐστὶν, ἢ ἐν σπληνὶ, ἢ ἐν ἥπατι, ἢ ἐν πλευρῷ καὶ τοῖς τοιούτοις. Καὶ γὰρ ὁ πυρετὸς εἰ φθείρει τὸ ὑποκείμενον, οὐκέτι συμβεβηκός ἐστιν, ἀλλ' ἢ κακόηθες νόσημα. Εἰ γὰρ ὁ πυρετὸς ἔφθειρε τὸ ὑποκείμενον, ἔδει πᾶν συμβεβηκὸς φθείρειν τὸ ὑποκείμενον. Ἀλλὰ μὴν οὔτε οἱ ἐπὶ πνεύμασιν, οὔτε οἱ ἐπὶ χυμοῖς πυρετοὶ, οὔτε οἱ ἐκτικοὶ ἀρχόμενοι τοῦτο ποιοῦσιν, ἀλλὰ μόνοι οἱ μαρασμώδεις. Ὅτι οὐκέτι ὁ πυρετὸς φθείρει τὸ ὑποκείμενον, ἀλλὰ τὸ κακόηθες νόσημα.

Καὶ οὗτοι οἱ πυρετοὶ, ἢ συνεχεῖς εἰσὶν, ἢ διαλείποντες, ἢ ὀξεῖς, ἢ χρόνιοι. Εἰ δὲ ἄνευ τόπου πεπονθότος, ἢ ὁ πυρετὸς ἐπ' ἐμφράξει ἐστὶ, καὶ αὕτη ἡ ἔμφραξις περὶ
v°. τὰ διάφορα μόριά ἐστι. Καὶ μὴ θαυμάσῃς ὅτι μία οὐσία[2] ἐστὶ, πολλαὶ δὲ κατὰ συμβεβηκός· οὕτω δὲ καὶ ἐν κατηγορίαις καὶ ἐν παντὶ πράγματι.

Ἀποροῦσι δέ τινες πρὸς τὴν οὐσιώδη διαφορὰν τῶν πυρετῶν τὴν παρὰ τὸ εἶδος· φασὶ γὰρ τὸ μᾶλλον καὶ ἧττόν τινος λέγεται διαφορὰ, τῆς ἁπλῆς θερμασίας, ἢ τῆς πυρεκτικῆς. Καὶ φαμὲν ὅτι διττὸν τὸ οὐσιῶδες· οὐσιῶδες γάρ ἐστι τὸ ἀπὸ τῆς οὐσίας ὁρμώμενον, καὶ τὸ ἀμέσως ἄγον ἡμᾶς ἐπὶ τὴν οὐσίαν. Ἐνταῦθα οὖν οὐσιώδη διαφορὰν λέγομεν τὸ μᾶλλον καὶ ἧττον, ὡς ἀμέσως ἄγον ἡμᾶς ἐπὶ τὴν θερμασίαν. Σημειοῦται δὲ ὁ Γαληνὸς τὸ ἀπὸ τριχῶν καὶ χροιᾶς· οὐσιώδη δὲ καλεῖ τὴν ἀφὴν, ὡς ἄγουσαν ἡμᾶς εἰς κατάληψιν τοῦ καθαπτομένου, καὶ ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων. Ἐπὶ μὲν τῶν κακοχύμων ἄρχεται ἀπὸ τῶν ὑγρῶν· ἐπὶ δὲ τῶν ἀχωρίστων, τὴν ἀρχὴν ποιεῖται ἀπὸ τῶν στερεῶν.

Τί ἐστι συμβεβηκός; ὃ γίνεται καὶ ἀπογίνεται, χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τὸ δὲ συμβεβηκὸς ἐν σώματί ἐστι; ναί. Καὶ ὁ πυρετὸς ἄρα ἐν σώματι; ναί. Καὶ πόσαι διαφοραὶ τῶν σωμάτων; τρεῖς· καὶ ἐπειδὴ τῶν σωμάτων τρεῖς εἰσι διαφοραί· ἢ γὰρ πνεύματά εἰσιν, ἢ ὑγρὰ ἢ στερεὰ, καὶ ὁ πυρετὸς ἄρα ἐν πνεύμασιν ἐστὶν, ἢ ἐν ὑγροῖς, ἢ ἐν στερεοῖς. Αἱ μὲν κατὰ γένος διαφοραὶ τῶν πυρετῶν, τρεῖς εἰσι γινόμεναι, κατ'

[1] πῶς ms. — [2] F. legend. οὐσίᾳ.

εἶδος δὲ ϖλεῖσ7αι. Εἰς ϖόσα διαιρεῖται ὁ ἐν ϖνεύματι ϖυρετός; εἰς δύο· ἢ γὰρ ἐφήμερός ἐσ7ι μονοήμερος, ἢ ἐφήμερος ϖολυήμερος· ἐπειδὴ γὰρ οὗτος ἢ ἐν ἀπερίτ7ῳ γίνεται σώματι, ἢ ϖεριτ7ωματικῷ. Καὶ εἰ γένηται ἐν ἀπερίτ7ῳ σώματι, τί ϖοιεῖ; μονοήμερον. Εἰ δὲ ἐν ϖεριτ7ωματικῷ, ἐφήμερον ϖολυήμερον. Πῶς; μηκέτι ἀρκούμενος ὁ ϖυρετὸς τῷ ϖνεύματι, ἀλλ' ἐπινεμόμενος τῷ αἵματι, ϖαρεκτείνεται εἰς γ' ἢ δ' ἡμέρας[1], καὶ γίνεται ἐφήμερος ϖολυήμερος. Διὰ τί καλοῦμεν τὸν ἐφήμερον ϖολυήμερον; διὰ τὰ Φθάσαντα λεχθῆναι· ἐνιότε γὰρ καλοῦμεν ἐφήμερον μὲν διὰ τὸ ϖνεῦμα, καὶ τὴν ἰδίαν Φύσιν αὐτοῦ, ϖολυήμερον δὲ, διὰ τὴν ὑποκειμένην ὕλην. Διὰ τί τρεῖς δια- F. 141 r°.
Φορὰς εἶπε τεσσάρων ὄντων χυμῶν. Ἀλλὰ τοὺς μὲν ἐπὶ χολῇ καὶ Φλέγματι καὶ μελαγχολίᾳ ϖυρετοὺς ἔφησεν, ἐφ' αἵματι δὲ οὐκέτι. Ἐπειδὴ ϖᾶς ϖυρετὸς ἐπὶ χυμῷ γινόμενος ἐπὶ σήψει τούτου γίνεται. Τὸ δὲ αἷμα σαπὲν καὶ ϖοιοῦν ϖυρετὸν, οὐκέτι μὲν αἷμα, ἀλλὰ χολὴ γίνεται καὶ οὐχ αἷμα, καὶ λύεται τὸ ζητούμενον, καὶ τεσσάρων ὄντων χυμῶν, οὐδὲν ἄτοπον τρεῖς εἶναι διαφορὰς ϖυρετῶν. Καὶ ϖῶς ἐπὶ ἀσήπ7ῳ αἵματι ϖυρετὸς γίνεται; καὶ Φαμὲν, ὅτι ἡμεῖς ϖερὶ τῶν ἐπὶ σήψει λέγομεν, οὗτοι δὲ ϖερὶ τῶν ἀσήπ7ων. Ἄλλως τε καὶ ὁ ἐπὶ ἀσήπ7ῳ αἵματι γινόμενος ϖυρετὸς ἐπὶ τοὺς ϖολυημέρους ἐφημέρους ἀνάγεται. Ὅθεν καὶ ὁ Γαληνὸς, ἐν τῷ ὀγδόῳ λόγῳ, τοὺς συνόχους ἐφημέρους ϖολυημέρους καλεῖ ἐπὶ ἀσήπ7ῳ αἵματι γινομένους ἐντὸς τῶν ἀγγείων· οἱ δὲ διαλείποντες ἐκτὸς τῶν ἀγγείων σηπομένου τούτου γίνονται, καὶ οὐκέτι ὡς αἷμά ἐσ7ιν, ἀλλ' ὡς ξανθὴ χολή.

Διὰ τί τεσσάρων ὄντων χυμῶν, τέσσαρες ὄγκοι γίνονται, διαφοραὶ δὲ ϖυρετῶν μόναι τρεῖς, ἐπειδὴ ὄγκος συνίσ7αται καὶ χωρὶς σήψεως χυμῶν; δύναται γὰρ καὶ τὸ αἷμα χωρὶς σήψεως ὄγκον ϖοιῆσαι. Πόσαι διαφοραὶ τῶν ἁπλῶν ὄγκων, καὶ ϖόθεν ἕκασ7ος γίνεται; τῶν ἁπλῶν ὄγκων τέσσαρές εἰσι διαφοραί· Φλεγμονὴ, σκίῤῥος, οὐριοίδημα, καὶ ἐρυσίπελας. Πόσαι διαφοραὶ τῶν ϖυρετῶν; δύο μέν εἰσιν αἱ οὐσιώδεις. Καὶ ϖοίας καλεῖ οὐσιώδεις, καὶ ϖοίας ἐπουσιώδεις; τὰς κυριωτάτας καὶ ϖρώτας, καὶ τὰς ϖαρὰ τὸ μᾶλλον καὶ ἧτ7ον, οὐσιώδεις καλεῖ· τὰς δὲ ἀπὸ τῆς ὕλης, καλεῖ ἐπουσιώδεις. Καὶ ϖοῖαί εἰσι κατὰ συμβεβηκὸς ἀχώρισ7οι, ϖοῖαι δὲ χωρισ7αί; Χωρισ7ὰ μὲν ὡς ἄν τις εἴπῃ τοῦ ζώου, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον. Αὗται αἱ διαφοραὶ οὐσιώδεις ὑπάρχουσιν. Ἐὰν δὲ Φήσωμεν τοῦ ζώου, τὰ μὲν λευκὰ ὡς κύκνοι, τὰ δὲ μέλανα ὡς χελιδόνες καὶ τὰ ὅμοια καλοῦνται κατὰ συμβεβηκός· ἀπὸ γὰρ τῶν χρωμάτων ἐλείφθησαν. Διὰ τί καλοῦνται ἀχώρισ7α; ἀχώρισ7α δὲ καλοῦνται, διὰ τὸ μὴ χωρίζεσθαι τῆς οὐσίας· τοῦ γὰρ κύκνου τὸ λευκὸν οὐ χωρίζεται, ὡς οὐδὲ τῆς κορώνης ἢ τῆς χελιδόνος τὸ μέλαν. Ἐὰν δὲ εἴπωμεν τὰ μὲν ϖεριπατεῖ, τὰ δὲ οὐ ϖεριπατεῖ, τὰ δὲ ἵσ7αται, τὰ δὲ κάθηται, τῶν ἐμψύχων εἰσὶ ταῦτα κατὰ συμβεβηκὸς χωρισ7ά. Εἰ τοίνυν ἐπὶ ϖαντὸς ϖράγματος αἱ διαφοραὶ, αἱ μέν εἰσιν οὐσιώδεις, αἱ δὲ ἐπουσιώδεις, καὶ αἱ μὲν ἀχώρισ7οι, αἱ δὲ χωρισ7αί. Καὶ ἐπὶ τοῦ ϖυρετοῦ ἄρα τὸ αὐτὸ Φυλαχθήσεται, καὶ γὰρ τὸ ἀληθὲς σώζεται. Εἰ γὰρ ὁ ϖυρετὸς ϖρᾶγμά ἐσ7ι, ϖαντὸς δὲ ϖράγματος οὐσιώδεις διαφοραὶ αἱ εἰρημέναι εἰσὶ, καὶ τοῦ ϖυρετοῦ ἄρα αὗται διαφοραί. Τούτου γὰρ αἱ μέν εἰσιν οὐσιώδεις, αἱ δὲ κατὰ συμβεβηκὸς, καὶ αἱ μὲν ἀχώρισ7αι, αἱ δὲ χωρισ7αί. Τινὲς λέγουσιν ὅτι τὸ μᾶλλον καὶ ἧτ7ον ἐν τῇ ὕλῃ εὑρίσκεται, τὸ μὲν γὰρ μᾶλλον ἐν συνόχῳ, τὸ δὲ ἧτ7ον ἐν ἀμφημερινῷ[2] καὶ ἑκτικῷ. Λύσις τούτου ῥᾳδία ἐσ7ὶ, μετασχηματισθείσης τῆς λέξεως, μᾶλλον δὲ ϖροσ7εθείσης. Ἐν γὰρ τῷ λέγειν «αἱ οὐσιώδεις

[1] εἰς τρία ἢ δι' ἡμ. ms. Corr. — [2] ἀφημ. ms. Corrigo hic et ubique. — Cp. ci-dessus, p. 437, fragment 113. Voir Boissonade, *Anecdota græca*, t. III, p. 371, et *Thesaurus*, *l. gr.* éd. Didot, *voc.* ἀμφημερινός.

κατὰ συμβεβηκός,» ἐσ̓τι προσ̓τεθὲν «τὸ ἐν τοῖς κατὰ συμβεβηκός,» λύει τὸ ζητούμενον. Εἰ μὲν γὰρ οὐσιώδεις αὗται, οὐκ εἰσὶ κατὰ συμβεβηκός. Εἰ δ' ἐν τοῖς κατὰ συμβεβηκὸς ὑπάρχουσιν, οὐδὲν ἄτοπον εἶναι καὶ αὐτὰς ἐπουσιώδεις. Καὶ γὰρ ἡμεῖς οὐσίαι[1] *μὲν ὑπάρχομεν, ἀλλ' ἐν τόπῳ συμβεβηκότι ἔσμεν. Οὕτως οὖν καὶ αἱ παρὰ τὸ μᾶλλον καὶ ἧτ̓τον οὐσιώδεις οὖσαι ἐν τοῖς κατὰ συμβεβηκὸς ὑπάρχουσι· κἂν τοῦτο μᾶλλον, οὐσιώδεις ἂν εἶεν τῷ πᾶσι παρακολουθεῖν πυρετοῖς. Πῶς ἀναδέχονται τὰ σ̓τερεὰ τὸν πυρετὸν, πρὶν τῶν ὑγρῶν, ὅταν τινὲς, ἠθρηκότες*[2] *ὠμοὺς χυμοὺς καὶ ψυχροὺς ἐν ταῖς κοιλίαις τῆς καρδίας, ἐπειδὰν θυμωθῶσιν, ἢ ἀγρυπνήσωσιν, ἢ φρον-*
3 r°. *τίσωσιν, τότε κατ' ἀνάγκην μήτε χυμοὺς δυναμένης ἀποδέξασθαι τῆς θερμότητος; ψυχροὶ γὰρ εἰσὶ λοιπὸν τῶν ὑγρῶν ξηρανθέντων τὸ πάθος ὑποδέχονται τὰ σ̓τερεὰ, διότι ἀμέσως ἄγει ἐπ' αὐτὰ τὴν οὐσίαν τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ.*

Τοῦ γὰρ πυρετοῦ οὐσιώδης ἐσ̓τὶ διαφορὰ, ἡ περὶ τὴν ὕλην καὶ τὸ εἶδος ἐκ δύο μερῶν σύνθετος. Ὁ γὰρ πυρετὸς σύνθετόν ἐσ̓τι πρᾶγμα ἐξ ὕλης καὶ εἴδους· ὕλης μὲν, τῆς θερμῆς δυσκρασίας· εἴδους δὲ, τῆς τοϊᾶσδε θερμασίας· ἡ δὲ ὕλη καὶ τὸ εἶδος οὐσιώδεις εἰσὶ διαφοραί. Ὁ δὲ τρόπος τῆς κινήσεως συμβεβηκυῖα ἐσ̓τὶ τοῦ πυρετοῦ διαφορά. Τὸ δὲ πλῆθος ἀεὶ τῆς πυρετώδους οὐσίας ἐν τῷ πλήθει κεῖται τῆς ἀποῤῥοῆς τῶν περιτ̓τωμάτων . . . .

. . . .

3 v°. *Πλεονάσαν ἢ σαπὲν τὸ αἷμα τίνα ποιεῖ παθήματα; Ὁπηνίκα δὲ πλεονάσῃ τὸ αἷμα, καὶ παρασπαρῇ ἐν τοῖς ἀγγείοις καὶ ἔσ̓τιν ἀσαπὲς, ποιεῖ πληθώραν, ἢ σύνοχον τὸν ἐπισηπῆ*[3]*. Εἰ δέ γε σαπῇ, εἰ μὲν ἐπὶ τοῖς ἀγγείοις, ποιεῖ τὸν σύνοχον τὸν ἐπισηπῆ· εἰ δὲ ἑνὶ μορίῳ πλεονάσῃ, καὶ ἔσ̓τιν ἀσαπὲς, ποιεῖ ἐρυθήματα· εἰ δὲ καὶ σαπῇ, ποιεῖ ἀπόσ̓τημα.*

Πλεονάσασα ἢ σαπεῖσα ἡ χολὴ τίνα ποιεῖ παθήματα; εἰ μὲν πλεόνασῃ ἐν τοῖς ἀγγείοις καὶ ἀναχυθῇ ἐν ὅλῳ τῷ σώματι, καὶ ἔσ̓τι ἀσαπὴς, ποιεῖ ἴκτερον. Εἰ δὲ πλεονάσασα σαπῇ, εἰ μὲν ἔσω τῶν ἀγγείων, ποιεῖ καῦσον[4] *· εἰ δὲ ἔξω τῶν ἀγγείων, ποιεῖ τριταῖον διαλείποντα. Εἰ δὲ ἐν ἑνὶ μορίῳ πλεονάσῃ, καὶ διασαπῇ, ποιεῖ τὸν λεγόμενον ἕρπητα· εἰ δὲ σαπῇ, ἕρπητα τὸν μετὰ ἀναβρώσεως.*

Τίνα σημεῖα τῆς μελαγχολίας; ὁμοίως καὶ ἐπὶ τῆς μελαγχολίας, σημαίνει τὸ ἀνιαρὸν, τὸ ἀλγεινὸν, τὸ ὀδυνηρὸν, τὸ ἐπίπονον, καὶ τὸ διαβρωτικόν. Ποῖον τὸ ἐν ἡμῖν χυμῶν ἀποτελεῖ[5] *τὰ ἀτμώδη; ποῖον δὲ τὰ λιγνυώδη, καὶ ποῖον τὰ αἰθαλώδη καὶ ποῖον τὰ καπνώδη; ἰσ̓τέον ὅτι, ἐκ μὲν τοῦ αἵματος, οἱ ἀτμοὶ, ἐκ δὲ τῆς χολῆς τῆς ξανθῆς, τὰ λιγνυώδη, ἐκ δὲ τῆς μελαίνης, τὰ αἰθαλώδη, ἐκ δὲ τοῦ φλέγματος, τὰ καπνώδη. Ποῖον καλοῦμεν λυπηρίαν*[6] *πυρετόν; Ὁ δὲ λυπηρίας καῦσος μέν ἐσ̓τι καὶ οὗτος. Ἐπὶ δὲ φλεγμονῇ γασ̓τρὸς ἀναπ̓τόμενος, πλεονάσας ἢ σαπεὶς ὁ χυμὸς ὁ μελαγχολικὸς, τίνα ποιεῖ πάθη; εἰ μὲν ἐν ὅλῳ τῷ σώματι πλεονάσει ὁ μελαγχολικὸς*
4 r°. *χυμὸς καὶ ἔσ̓τιν ἀσαπὴς, ποιεῖ τὸν μελανιήτερον*[7]*. Εἰ δὲ πλεονάσας σαπῇ*[8]*, εἰ μὲν ἔξω τῶν ἀγγείων, ποιεῖ τεταρταῖον, εἰ δ' ἑνὶ μορίῳ πλεονάσῃ, καὶ ἔσ̓τιν ἀσαπὴς, ποιεῖ σκίῤῥον· εἰ δὲ σαπῇ, ποιεῖ καρκινώματα, ἢ φαγεδαινώματα*[9]*.*

Πόσα ἀγγεῖα τοῦ αἵματος; Ἰσ̓τέον ὅτι δύο ἀγγεῖά εἰσιν ἐν ἡμῖν τοῦ αἵματος, ἀρτηρίαι καὶ φλέβες· ἡ μὲν τὸ πνεῦμα περιέχουσα, ἡ δὲ τὸ αἷμα. Μεμαθήκαμεν δὲ ὅτι

[1] *οὐσίαν* ms. Corrigo. — [2] *ἠθρικότες* correction conjecturale. — [3] *ἐπιτεσῆ* ms. Conj. du copiste de M. Daremberg. — [4] *καῦσιν* ms. — [5] Fort. legend. *ἀποτελεῖν*. — [6] Manque dans les lexiques. — [7] Manque dans les lexiques. — [8] Il vaudrait mieux lire *ἐσάπη*, et, plus loin, *ἐπλεόνασε*. — [9] Manque dans les lexiques.

ταῦτα τὰ ἀγγεῖα, ἢ ἐν τῷ πέρατι συναναστομοῦνται ἀλλήλοις, ἢ ἐν μέσῳ. Πῶς γίνεται ὁ πυρετός; Ὅταν πλεονάσῃ τὸ αἷμα ἐν ταῖς Φλεψὶ, τοῦτο μὴ δυνάμενον στέγεσθαι ἐν αὐταῖς, τῇ συνεχείᾳ κατέρχεται εἰς τὰς ἀρτηρίας· καὶ εἰ μὲν ᾖ μεγάλη ἡ κοιλότης τῶν ἀρτηρίων, μένει ἐκεῖσε στεγόμενον, καὶ μηδὲν παρεμποδὼν[1] γινόμενον τῷ πνεύματι· εἰ δὲ στενὴ εἴη ἡ ἀρτηρία, καὶ τὸ αἷμα πολὺ, τότε τῇ ῥώμῃ τοῦ πνεύματος τοῦτο ἐξωθούμενον Φέρεται περὶ τὰ πέρατα ἅτινα στενότατά εἰσι· καί τοι πᾶν[2] ἐκεῖ σΦηνοῦται καὶ κώλυμα γίνεται τοῦ πνεύματος.

. . . .

Πόθεν καὶ πῶς γίνονται τὰ λοιμικὰ νοσήματα, καὶ τίς ἡ αἰτία τούτων; Τῶν δὲ F. 148 v°. λοιμικῶν νοσημάτων, ἡ εἰσπνοὴ μάλιστα αἰτία· γίνεται δὲ ποτὲ καὶ διὰ τοὺς ἐν τῷ σώματι χυμοὺς ἐπιτηδείους πρὸς σήψεις ὑπάρχοντας, ὅταν ἀΦορμήν τέ τινα ταχεῖαν ἐκ τοῦ περιέχοντος πυρετοῦ λάβῃ τὸ ζῶον· ὡς τὰ πολλὰ δὲ, ἐκ τῆς ἀναπνοῆς γάρ τοι τοῦ περὶ ἀέρος ὑπὸ σηπεδονώδους[3] ἀναθυμιάσεως μιανθέντος. Τίς ἡ τῆς σηπεδόνος ἀρχή; ἡ δὲ ἀρχὴ τῆς σηπεδόνος ἤτοι πλῆθος τι νεκρῶν ἐστι μὴ καυθέντων ἐν πολέμῳ, ἢ ἐκ τέλματος, ἢ λιμνῶν, ἢ βαράθρου τινὸς παρακειμένου καὶ ἀναθυμίασιν δηλητηριώδη καὶ πονηρὰν παραπέμποντος ὥρᾳ θέρους. Τὸ δ' εἶναι καὶ τοὺς κατὰ τὸ σῶμα χυμοὺς ἐκ πονηρᾶς διαίτης ἐπιτηδείους πρὸς σῆψιν, ἀρχὴ τοῦ λοιμώδους γίνονται πυρετοῦ. Οὐδὲν γὰρ τῶν αἰτίων ἄνευ τῆς τοῦ πάσχοντος ἐπιτηδειότητος ἐνεργεῖν πέΦυκε. Καὶ ψύξις πολλάκις ἤνεγκε λοιμικὰ νοσήματα· πυκνοῖ γὰρ τὴν ἐπιΦάνειαν, καὶ ἀδιαπνευστοῦσιν οἱ χυμοὶ, καὶ τῇ σήψει ποιοῦσι πυρετόν. Ἀλλὰ καὶ F. 149 r°. ἐπὶ ξηρότητι λοιμικὰ νοσήματα γίνονται, καθὼς Φησιν Ὅμηρος κύνας ἀργοὺς[4] ὡς ξηρότερον πάθος πρῶτον, ὥσπερ καὶ αἱ θερμότεραι τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις· οἷα περὶ κυνὸς ἐπιτολὴν ἄρτι. Διὰ μὲν τῆς εἰσπνοῆς θερμαίνουσι τὴν καρδίαν, ἔξωθεν δὲ περικεχυμένου τῷ σώματι σύμπαντος τοῦ θερμοῦ, ἀποΦαίνουσι καὶ μάλιστα τὰς ἀρτηρίας ὡς ἀνελκούσας τι τοῦ περιέχοντος ἀέρος· συνδιατίθεσθαι δὲ τὴν καρδίαν καὶ τὸ ἐν αὐτῇ ἔμΦυτον θερμὸν καὶ θέρμης ἀμέτρου γινομένης τὴν πυρετώδη διάθεσιν ἰσχεῖν.

Κατὰ πόσους τρόπους γίνονται τὰ λοιμικὰ νοσήματα; κατὰ δύο, ἢ κατὰ τροπὴν τοῦ ἀέρος, ἢ κατὰ ἀναθυμίασιν τῆς γῆς, γίνεται πτῶσις τῶν τετραπόδων. Τί διαΦέρει τὰ ἐπίδημα νοσήματα τῶν λοιμικῶν; τὰ μὲν ἐπίδημα ποιότητι βλάπτει, τὰ δὲ λοιμικὰ τῇ σήψει. Καὶ τὰ μὲν ἐπίδημα ὀλίγους βλάπτει καὶ τοὺς ἐπιτηδείους· τὰ δὲ λοιμικὰ, πολλοὺς· ὥστε καὶ τοὺς ἀνεπιτηδείους, καὶ τὰ Φλεγμήναντα μέλη τῷ λόγῳ τῆς σήψεως ἀνάπτει τὸν πυρετόν. Διὰ τί καὶ ἐν τοῖς λοιμοῖς ὡς ἐπὶ τὸ πλεῖστον ὀΦθαλμίαι προκατάρχονται; ὅτι[5] τὸ πνεῦμα ἐν ᾧ ἐστιν ὁ λοιμὸς τροπῆς περὶ αὐτῆς γινομένης ἄνω Φερόμενον τὴν ὅρασιν ταράσσει· καὶ γὰρ μᾶλλόν ἐστι λεπτὸν καὶ κυριώτερον. Πῶς διὰ σῆψιν γίνεται πυρετός; διὰ σῆψιν, ὅταν οἱ χυμοὶ σαπῶσιν ἐν τῷ βάθει, καὶ ἀναδοθῇ τούτων ἡ σῆψις ἐν τῇ καρδίᾳ, καὶ μολύνει αὐτῆς τὸ ἔμΦυτον θερμὸν, ἀνάπτει πυρετόν. . . . .

Ποσαχῶς γίνεται ὁ σύνοχος, καὶ ποῖον καλεῖ ὁμότονον, καὶ ποίους ἀκμαστικοὺς, F. 151 v°. καὶ ποίους ἐπακμαστικούς; ὁ σύνοχος ἢ ἐπὶ ζέσει αἵματος γίνεται, καὶ ἀνάγεται ὑπὸ τοὺς πολυημέρους ἐΦημέρους, ἢ ἐπὶ σήψει αὐτοῦ, καὶ ἀναΦέρεται μεταϐληθέντος εἰς χολὴν, ὑπὸ τοῦ ἐπὶ σήψει. Καὶ κατὰ τί διαΦέρουσιν οἱ διαλείποντες τῶν συνόχων, καὶ διὰ τί ἐπὶ τῶν διαλειπόντων γίνονται ῥίγη, καὶ Φρίκαι, ἐπὶ δὲ τῶν συνόχων,

[1] παρεμποδῶν ms. — [2] Fort. legend. Καὶ τὸ πᾶν. — [3] ὑποσηπεδωνώδους. — [4] Cp. *Il.* I, 50 et XXII, 29. — [5] τί ms. Correction conjecturale.

οὐδαμῶς; οἱ διαλείποντες καὶ διὰ τὸ σχῆμα τῶν τοιούτων, ἀλλὰ διὰ ἀντίθεσιν, διαφέρουσι τῶν συνόχων. Ὅπου γὰρ ἡ ὕλη ἔξω τῶν ἀγγείων ἤτοι καὶ τῶν σαρκωδῶν μορίων σαπῇ διαλείποντα τὸν πυρετὸν ἀπεργάζεται. Καὶ πόσαι διαφοραὶ τοῦ συνόχου· ὁ μὲν γάρ ἐστιν ἐπιδοτικὸς, ὁ δὲ ὁμότονος, ὁ δὲ παρακμαστικός. Πόθεν γίνονται οἱ σύνοχοι πυρετοὶ, καὶ οἱ συνεχεῖς; γίνονται πάντες ἔσω τῶν ἀγγείων τῆς ὕλης σηπομένης καὶ ζεούσης. Καὶ πόσα εἴδη συνόχου; εἴδη δὲ τοῦ συνόχου τρία, ἀκμαστικὸς, παρακμαστικὸς, καὶ ἐπακμαστικός· ἔστι δὲ ὁ μὲν ἀκμαστικὸς[1] ὁ ταύτην ἀεὶ ἔχων τὴν θερμασίαν, ἀπ' ἀρχῆς ἕως πέρατος· παρακμαστικὸς δὲ, ὁ ἀεὶ ἔχων μειουμένην τὴν θερμασίαν· ἐπακμαστικὸς δὲ, ὁ ἀεὶ αὐξανόμενος.

Ποίαν λέγομεν οὐσίαν τοῦ πυρετοῦ; οὐσίαν δὲ λέγομεν τοῦ πυρετοῦ, τὴν ὕπαρξιν αὐτοῦ, καὶ τὴν ὑπόστασιν καὶ τὴν φύσιν.

. . . .

5 v°. Πῶς γίνονται οἱ ἐφήμεροι πυρετοί; ἰστέον οὖν ὅτι τοῦδε τοῦ ἐπὶ πνεύμασι γένους ἡ κυρίως διαίρεσις ἥδε ἐστίν· ἢ γὰρ ἐπὶ κόποις, ἢ μέθαις, ἢ ὀργαῖς ἢ λύπαις, ἢ φροντίσιν οἱ κυρίως καὶ οὐσιώδεις τῶν ἐφημέρων συνίστανται· οἱ γὰρ ἐπὶ στεγνώσει καὶ πυκνώσει τοῦ δέρματος συνιστάμενοι πυρετοὶ, ἀπὸ τοῦ αὐτοῦ μὲν γένους εἰσὶν, πλὴν οὐ κυρίως· ἐπειδὴ γὰρ ταυτί τὰ αἴτια, πῆ μὲν τὸν ἐφήμερον ποιεῖ πυρετὸν, πῆ δὲ τὸν ἐπὶ σῆψει. Ἡ γὰρ στέγνωσις καὶ ἡ πύκνωσις ἐν ἀπεριττώ μὲν σώματι καὶ μηδὲν τῆς ἀπὸ τῶν χυμῶν μοχθηρίας περίττωμα κεκτημένῳ τὸν ἐφήμερον ἐργάζεται πυρετόν. Ἐν περιττωματικῷ δὲ σώματι, καὶ πλείστην ὡς εἴρηται μοχθηρίαν χυμῶν κεκτημένῳ τοὺς ἀπὸ τοῦ ἑτέρου γένους πυρετοὺς ἀπεργάζεται, ὁποτέρως ἂν τύχοιεν τῶν χυμῶν ἄθροισιν γενέσθαι, εἰ μὲν ἐπὶ τοὐκτὸς, τοὺς διαλείποντας, εἰ δ' ἐπὶ τὰ ἐντὸς, τοὺς συνεχεῖς ἀπεργαζομένη. Καὶ πῶς γίνονται οἱ ἐπὶ βουβῶσι πυρετοί; τριῶν οὖν ἀρχῶν οὐσῶν ἐν τῷ σώματι, λέγω δὴ ἐγκεφάλου[2], καρδίας καὶ ἥπατος, ἑκάστην τῶν ἀρχῶν τούτων ἡ φύσις ἀδέσι τετίμηκε. Δέδωκε γὰρ τούτοις τοῖς μορίοις εἰς τὴν τῶν οἰκείων περιττωμάτων ἀπόθεσιν τοὺς προεισηγμένους ἀδένας, ὡς συμπαρακειμένους τούτοις καὶ πλησιάζοντας. Τοὺς μὲν παρὰ τὰ ὦτα ἀδένας ὁ ἐγκέφαλος κέκτηται, τοὺς δὲ παρὰ τὰς μασχάλας, ἡ καρδία· τοὺς δὲ περὶ τοὺς βουβῶνας, τὸ ἧπαρ. Ὁπόταν οὖν ἀθροισθῇ τι τῶν χυμῶν περίττωμα μοχθηρὸν ἔν τινι τῶν κυρίων μορίων, κατακρατῆσαν καὶ ἀσθενῆσαν τοῦτο ποιήσει, τηνικαῦτα ἡ φύσις ἐλευθερῶσαι ζητοῦσα τὰ κύρια μόρια, ἐπὶ ταῖς ἑαυτῆς δυνάμεσι παραγίνεται κατὰ ἀπόστασιν, τὸ ἐνὸν ἐν τούτοις περίττωμα ἀποδιῶξαι σπουδάζουσα, μὴ δυναμένη δὲ, τελείαν ἐλευθερίαν τοῖς κυρίοις παρασχεῖν μορίοις, διὰ τὴν ἐν τούτοις προγεγονυῖαν ἀσθένειαν κατὰ μετάδοσιν ἀπογαλακτίσασα μέρος τι τῆς ὕλης ἐνσκῆψαι τοῖς ἀδέσι ποιεῖ, οἵτινες ὡς ἀραιοὶ καὶ σομφώδεις, ἑτοιμότατα δέχονται. Ὅθεν καὶ Ἱπποκράτης τοὺς τοιούτους πάντας, κακούς φησιν εἶναι, ὡς μὴ κατὰ ἀπόστασιν τῆς ὕλης ἔξω φερομένης, ἀλλὰ
6 r°. κατὰ μετάδοσιν τοὺς βουβῶνας ἐξαίρουσα. Καὶ οὐδεμίαν ἀπὸ τῶν ἔξωθεν ἔμφασιν προκαταρκτικῆς τινὸς αἰτίας τῷ ἰατρῷ παρέχουσα, πρὸς διάγνωσιν τῶν τὸν κυρίως ἐφήμερον πυρετὸν ἀπεργαζομένων.

Περὶ τῶν δι' ἔρωτα πυρεσσόντων.

Ἔστι δέ τις καὶ ἕτερος πυρετὸς, ἐκ τοῦ τοιοῦδε γένους, ὅστις ἐπὶ συντόνοις τῆς ψυχῆς φροντίσι συνίσταται· λέγω δὲ, ὅσοι ὥρᾳ κάλλους, ἁλωτοὶ τῷ ἔρωτι γεγόνα-

[1] παρακμαστικὸς ms. Correction de M. Weil, correcteur de l'Imprimerie nationale. — [2] ἐγκεφάλῳ ms.

σιν, ἀποτυχόντες ἀπολαῦσαι τοῦ ἐρωμένου· ὥσπερ που καὶ Ἐρασίστρατος ἐφώρασε δι' ἔρωτα τὸν τοῦ Σελεύκου ἀῤῥωσΊοῦντα Ἀντίοχον· οὐ καλῶς δ' οὖν ὅμως οἱ πολλοὶ τῶν παλαιῶν ἰατρῶν ἀπειλήφασιν, ἀπὸ τοιᾶσδε ψυχικῆς Φροντίδος, τὸν ἐφήμερον πυρετὸν συνίσΊασθαι, μὴ προσδιορισμῷ τινὶ κατὰ λόγον χρησάμενοι· ὁ γὰρ ἔρωτι τινὶ κάτοχος γεγονὼς, εἰ μὲν ἀδυνάτως ἔχει ἀπολαύειν τοῦ ἐρωμένου, ἐπύρεξέ τε Φροντίσας, καθ' ὃν χρόνον τῆς τοῦ ἐρωμένου ἀπέτυχεν ὁμιλίας, εἴγε καὶ πολλῶν ἡμερῶν ἀριθμὸς, εἰς ἑξήκοντά που ἦ, καὶ τούτων πλείους διέλθοι· καί τινες ἐξ αὐτῶν, οὐκ ἐφημέρῳ, ἀλλ' ἑκτικῷ πυρετῷ, εἰς τέλος ἑάλωσαν· εἰ δέ γε τοῦ ἐρωμένου οὐκ εἰς μακρὸν ἀπολαῦσαιεν, ἧκον οὗτοι τῆς τε Φροντίδος καὶ τοῦ πυρετοῦ ἀπαλλάτΊοντες[1]. Εἰσὶ δέ τινες καὶ ἄλλαι ψυχικαὶ Φροντίδες, μετὰ συντονίας γινόμεναι τοῖς Φιλοπλούτοις τε καὶ Φιλοχρύσοις καὶ ἐπὶ σωμάτων ἀεὶ χαίρουσιν ὁμιλίαις· οὗτοι γὰρ τῇ τούτων ἀποτυχίᾳ πεπόνθασι. Καὶ ἐφημέρῳ μὲν πυρετῷ οἱ τοιοῦτοι ἁλίσκονται, ὁπόταν πρὸς ἡμέραν ἀποτυχόντες Φροντίσωσιν· ἄμφω γὰρ καὶ οὗτοι τῆς Φροντίδος καὶ τοῦ πυρετοῦ λύονται τῇ τῶν ἐλπιζομένων ἐπιτυχίᾳ.

Διὰ τί ἁπάντων μὲν τῶν ἀπὸ τοῦ αὐτοῦ γένους ἐφημέρων πυρετῶν ἡ ἀρχὴ, ἀπό τινος προκαταρχούσης τε καὶ Φανερᾶς αἰτίας γέγονεν[2], οἷον ἀγρυπνίας, ἢ λύπης, ἢ Φόβου, ἢ θυμοῦ, ἢ ἐγκαύσεως, ἢ μέθης, ἢ κόπου, ἢ ψύξεως, εἴτε τινὸς ἄλλης προφάσεως Φανερᾶς, εἰ καὶ μὴ ἴδια ταῦτα τοῖς τοιοῖσδέ εἰσι πυρετοῖς, ἀχώρισΊα δέ γε παντάπασιν; Οἱ δ' ἐπὶ συντόνοις τῆς ψυχῆς Φροντίσι γινόμενοι πυρετοὶ, εἰ μὴ προκαταρκτικῆς τινὸς αἰτίας ὑπαρχούσης ἐν τούτοις, πῶς ἂν γνωρισθεῖεν, καὶ πόθεν τῷ ἰατρῷ ἡ ἔνδειξις τῶν τοιούτων γενήσεται πυρετῶν; ....

Ἀποροῦσι δέ τινες λέγοντες ὅτι ἐσΊὶ δυνατὸν τὸν ἐφήμερον[3] ὥρας δεκαοκτὼ κατέχειν, συνεχῆ ὄντα καὶ τῶν ἀγγείων ἐντὸς, καὶ μηδόλως διαλείμματι ποιούμενον· F. 160 r°. πρὸς οὓς Φαμὲν ὅτι εἰ καὶ συνεχής ἐσΊιν, ἀλλ' οὖν τὰ τοῦ διαλείποντος κέκτηται ἰδιώματα. Καὶ γὰρ καὶ ὁ συνεχὴς ὁμοίως τῷ διαλείποντι τὴν εἰσβολὴν ποιήσεται πλὴν τοῦ ῥίγους, καὶ τῆς περιψύξεως, καὶ τὰς ὥρας τεταγμένας Φυλάξει. Καὶ γὰρ καθέκασΊον παροξυσμὸν, καὶ ἀρχὴν λήψει καὶ ἀνάβασιν, καὶ ἀκμὴν, καὶ παρακμήν. Καὶ ὥσπέρ ἐσΊιν ἐν ἐκείνοις τὸ διάλειμμα, οὕτως ἐν τούτοις ἡ ἔνδοσις καὶ ἡ μυοπυρεξία[4]. Ἐν τούτῳ γὰρ διαφέρει τοῦ συνόχου, καὶ γὰρ ὁ σύνοχος, ἀπ' ἀρχῆς ἄχρι τέλους, ἴσος ἐσΊὶν, ἢ ἐπακμασΊικός, ἢ παρακμασΊικός· τοῦτο δὲ γίνεται τῇ σήψει καὶ διαφορήσει· ὁ δέ γε ἀμφημερινὸς, ἐνδίδων ὁρᾶται καὶ παροξύνεται, καὶ τὰ οἰκεῖα τοῦ εἴδους ΦυλάτΊων ἰδιώματα, ὡς ἐδείχθη ἐν τῇ περὶ διαφορᾶς πυρετῶν Γαληνοῦ ἐξηγήσει.

Περὶ νόθου ἀμφημερινοῦ ἤτοι συμβεβηκότος.

ἘσΊι δέ τις ἐν τούτῳ τῷ γένει καὶ ἕτερος πυρετὸς οὐ κυρίως ἀλλὰ κατὰ συμβεβηκὸς, ὅσΊις τὸ τοῦ νόθου κεκλήρωται ὄνομα· νόθος γὰρ καὶ ὁ τοιοῦτος ὁμοίως τῷ v°. τριταίῳ ἐφήμερος[5] ὀνομάζεται· περιτΊώματι δὲ καὶ οὗτος, οὐ Φλεγματικῷ μόνῳ, ἀλλὰ καὶ ξανθοχολικῷ τὴν ὕπαρξιν ἔσχηκε, καὶ ἡ μὲν τοῦ Φλέγματος μᾶλλον, ἧτΊον δὲ ἡ τῆς χολῆς ποιότης ἐπικρατεῖ ἐν τούτῳ· καὶ διὰ τοῦτο, πραέσΊερος μὲν οὗτος τοῦ ὁμογενοῦς ἑαυτῷ[6] καὶ ἀκριβοῦς γεγένηται.

[1] ἀπαλλάτΊονται ms. Fort. legend. ἀπαλλατΊόμενοι. — [2] In marg. γρ. γίνεται. — [3] Ms. ἀφήμερον. — [4] Manque dans les lexiques. — [5] ἀφ. ms. — [6] ἑαυτοῦ ms.

Περὶ πεμπ7αίου πυρετοῦ διάγνωσις.

Φασὶ δὲ τῶν παλαιῶν οὐκ ὀλίγοι ὡς καὶ πεμπ7αίου πυρετοῦ γεγένηται σύσ7ασις· καὶ τινὲς τούτων ὧν εἷς ἐσ7ὶ καὶ ὁ Ῥοῦφος ἐν τῷ περὶ τεταρταίου[1] οἰκείῳ λόγῳ γενόμενος, ἱσ7ορίαν τινὰ παραδίδωσι θεατὴς γενέσθαι· καὶ οὕτως αὐτὸς λέγων. Φησὶ γάρ· γυνή τις μετὰ μῆνας τοῦ τοκετοῦ τρεῖς, τεταρταίῳ ἑάλωκε. Μήπω δὲ τούτου ἀκμάσαντος, ἀλλ' ἔτι περὶ τὰς ἀρχὰς ἀνασ7ρεφομένου, διὰ πέμπ7ης παρώξυνε τὸ γύναιον. Λέγω δὴ τοῦ τεταρταίου δύο διαλείποντος, οὗτος μετὰ τρεῖς εἰσϐάλλων ἐφαίνετο, καὶ τοῦτο ἐπὶ τρισὶ περιόδοις ἐφάνη γινόμενον. Μετὰ δὲ ταῦτα ὁ πρῶτος τὴν οἰκείαν φυλάτ7ων τάξιν ἐφαίνετο. Ἀλλὰ καὶ ἑϐδομαῖον ὁ τοιοῦτος ὑποτίθεται γίνεσθαι, καὶ ἐνναταῖον ῥωμαίῳ σ7ρατηγῷ Συμμάντῳ· ὁ δέ γε Γαληνὸς, οὐ μόνον [οὐχ[2]] ἱσ7ορῆσαί ποτέ φάσκει, ἀλλὰ οὐδὲ ὅλως γενέσθαι τοῦτο ὑποτίθεται.

SUR LA FIÈVRE QUINTANE. DIAGNOSTIC.

Beaucoup de médecins anciens affirment qu'il existe aussi une fièvre quintane, et l'un d'entre eux, *Rufus*, dans son livre relatif à la fièvre quarte, rapporte un fait dont il dit avoir été témoin oculaire. Voici comment il s'exprime. «Une femme, trois mois après son accouchement, fut prise de la fièvre quarte. Lorsque cette fièvre n'avait pas encore atteint son acmé et ne faisait que commencer ses évolutions, la malade éprouvait tous les cinq jours une recrudescence de fièvre. J'entends par là que la fièvre quarte ayant une interruption de deux jours, réapparaissait après trois autres jours, et ce fait eut lieu par trois périodes successives. Ensuite on vit la première fièvre [reprendre et] garder son cours propre.» Le même médecin suppose qu'il existe aussi une fièvre septime et même une fièvre nonane, dont fut atteint le général romain Symmantus[3]. Quant à *Galien*, non-seulement il dit n'avoir jamais connu ce fait, mais il ajoute qu'il n'a jamais dû se produire.

Περὶ τεταρταίου νόθου.

Νόθον δὲ τεταρταῖον ὁμολογοῦσιν ἅπαντες γίνεσθαι διὰ τὸ ἄκρατον ἐν τούτοις τὸν μελαγχολικὸν τυγχάνειν χυμὸν, ἀλλ' ἀναμεμίχθαι καὶ τούτῳ καὶ χολῶδές τι περίτ7ωμα, κἂν τούτῳ νοθεύεσθαι ὅσ7ις τοῦ ἀκριϐῶς ῥᾷον πεπέφθαι δύναται. Δύο δέ γε καὶ τρεῖς τεταρταῖοι ἐν τῷ ἀνθρωπίνῳ σώματι, κατὰ τὸν αὐτὸν χρόνον πεφύκασι γενέσθαι, τοῦ περιτ7ώματος δηλονότι τοῦτον ἕνα γεννήσαντος, τισσουμένου κατά τε τὸ ποιὸν καὶ τὸ ποσόν. Ἀλλ' ἡ μὲν δύναμις τοῦ ποιοῦ ἡ ἐν τῷ νοσήματι καὶ ἐν τῇ ὕλῃ φαινομένη οὐχ ὁμοίως τοῖς τρισὶ πεπεράτωται. Ἀλλὰ μᾶλλον μὲν ἐν τῷ προκατάρξαντι φαίνεται, ἧτ7ον δ' ἐν τοῖς δυσὶ, καὶ διὰ τοῦτο σφοδροτέροις μὲν ὁ πρῶτος τὴν εἰσϐολὴν ποιησάμενος φαίνεται, ἧτ7ον δ' ἐν τοῖς δυσὶ, οἱ λοιποί. Καθ' ἑκάσ7ην μὲν γαρ ὁ τοῖσδε τοῖς πυρετοῖς ἁλοὺς, παροξυνόμενος τοῖς πολλοῖς τῶν ἰατρῶν, ἐφημέρῳ[4] ἑαλωκέναι κριθήσεται, καὶ τούτων μᾶλλον ὅσοις ἡ πεῖρα τοῦ λόγου

[1] περι τεταρταίῳ ms. — [2] οὐχ supplendum censeo. — [3] Sur les fièvres quintane, septime et nonane, voir le *Dictionnaire des sciences médicales*, t. XV, 1816, p. 308-309. Cp. Canon d'Avicenne, IV, 67, trad. lat. Venise, 1608, in-fol. t. II, p. 60. Voir aussi Hippocrate, *Epidem.*, I, 3, et Galien, *in Epidem. comment.*, III, éd. Chart. t. IX, p. 87. — [4] ἀφημ. ms.

διὰ σπουδῆς ἔχειν νενόμισῖαι. Οὐ μήν γε ἴασιν ἀκριϐῶς, ὡς οὐδ' αὐτῇ τῇ τριϐῇ ἀκριϐέσῖερον ἐπεμϐάλλουσιν, ἀλλὰ δοκοῦντες εἰδέναι, μηδὲν εἰδότες εὑρίσκονται.

Ποῖαι τῶν πυρετῶν ἐπιπλοκαὶ, καὶ ποῖαι ἑτερογενεῖς, καὶ ποῖαι ὁμοειδεῖς, καὶ ἑτεροειδεῖς τῶν πυρετῶν ἐπιπλοκαί; Τῶν ἐπὶ σήψει, αἱ μέν εἰσιν ὁμογενεῖς, αἱ δὲ ἑτερογενεῖς, καὶ αἱ μὲν ὁμοειδεῖς τυγχάνουσιν, αἱ δὲ ἑτεροειδεῖς. Ὁμογενεῖς μὲν οὖν εἰσιν, αἱ ἀπὸ τῆς αὐτῆς ὕλης συνισῖάμεναι, τουτέσῖιν δύο τριταῖοι, καὶ πάλιν δύο ἀμφημερινοὶ, καὶ τρεῖς ἀμφημερινοὶ, καὶ δύο τεταρταῖοι, καὶ τρεῖς τεταρταῖοι· ἑτερογενεῖς δὲ, οἱ ἀπ' ἄλλης καὶ ἄλλης ὕλης συνισῖάμενοι, ὡς τρεῖς ἀμφημερινοὶ, καὶ τριταῖοι, ἢ τεταρταῖοι· ὁμοειδεῖς δέ εἰσιν οἱ διαλείποντες τοῖς διαλείπουσι, καὶ οἱ συνεχεῖς τοῖς συνεχέσι, καὶ οἱ συνεχεῖς τοῖς διαλείπουσιν. Ὅταν οὖν γένηται τριταῖος διαλείπων, καὶ ἀμφημερινὸς συνεχὴς, εὔδηλον ὅτι δύο γεγόνασι πυρετοί· καὶ οὗτοι τυγχάνουσιν ἑτεροειδεῖς, καὶ ἑτερογενεῖς· ἑτερογενεῖς μὲν, ὅτι ἀπὸ ἑτέρας καὶ ἑτέρας ὕλης ἐγένοντο· ἑτεροειδεῖς δὲ, ὅτι ὃς μὲν διαλείπων, ὃς δὲ συνεχής ἐσῖιν. Ἐὰν δὲ ἀμφημερινὸς καὶ τριταῖος διαλείποντες λέγωνται, δῆλον ὡς ἑτερογενεῖς μέν εἰσιν, ὅτι ἐκ διαφόρων ἐγένοντο χυμῶν· ὁμοειδεῖς δὲ, ἀμφότεροι διαλείποντες, ἐγένοντο. Τὰ ῥίγη πως[1] προηγοῦνται καὶ τοῖσιν ἵσῖανται, καὶ τοῖσιν ἕπονται. Προηγοῦνται μὲν ἐπὶ τῶν διαλειπόντων.

Καὶ διὰ τί μὴ παντὶ ῥίγει ἕπεται πυρετός; ὅτι τὰ τοιαῦτα ῥίγη διαίταις ἕπεται μοχθηραῖς, ἐμπιπλωμένων τῶν ἀνθρώπων καὶ διαιτωμένων ἀργῶς, πολλάκις δὲ καὶ λουομένων ἐπὶ τροφαῖς· ὅτε δὲ καὶ τῶν ἐδεσμάτων αἱ ποιότητες ἐκ τῆς ψυχροτέρας τε καὶ φλεγματωδεσῖέρας ὦσι κράσεως, ἑτοιμοτάτοις ῥίγεσιν ἀνεκθερμάντοις ἁλίσκονται. Διὰ τί ἐπὶ τῶν ὀξέων πυρετῶν φλύκταιναι ἀνὰ τὰ χείλη γίνονται; ἰσῖέον ὅτι περιήλυσις[2] αὕτη ῥαδία ἐσῖι· καὶ γὰρ ἐν τοῖς πεμφιγώδεσι πυρετοῖς γίνονται, καὶ οὐκ ἐπὶ πάντων τῶν πυρετῶν τῶν ὀξέων· καί γε[3] διὰ τὴν ἐπίτασιν τῆς θερμασίας αὗται γίνονται. Τέλος.

[1] πῶς ms. — [2] Fort. legend. περίληψις. — [3] Lire καὶ γὰρ?

SECTION VIII.

SYNOPSIS OU TRAITÉ ABRÉGÉ SUR LE POULS

PUBLIÉ PAGES 219 ET SUIVANTES.

ANCIENNE NOTICE PRÉLIMINAIRE, COMMENTAIRE, NOTES ADDITIONNELLES[1].

DE L'ORIGINE DE LA SYNOPSIS.

Dans le *Rapport* que j'ai eu l'honneur d'adresser à M. le Ministre de l'instruc-

[1] Voir la Préface, V, VIII.

tion publique, sur une mission médico-littéraire en Allemagne[1], j'annonce la publication de ce petit traité. J'accomplis aujourd'hui cette promesse d'autant plus volontiers que je donnerai ainsi le spécimen d'un travail particulier dont M. le Ministre a bien voulu me charger, sur les manuscrits de médecine grecs et latins qui se trouvent à la Bibliothèque royale[2]. Ce travail contribuera, je l'espère, à faire mieux ressortir l'importance de la littérature médicale ancienne et à inspirer pour elle le même intérêt qui s'est attaché à la littérature classique, objet de tant de soins et d'encouragements.

L'existence de la *Synopsis* m'a été révélée par le catalogue des papiers de Dietz; elle y est mentionnée sous le n° X, *Florentina; fasc. 17-21*; 2; *Rufi Ephesii, περὶ σφυγμῶν συνόψεως* (*sic*); texte d'après le *cod. VII, plut. 75*[3]; variantes d'après le *cod. Paris. 2193*[4]. J'avais d'abord regardé ce traité comme tout à fait inconnu, mais je me suis bientôt aperçu qu'il se trouve en latin sous le titre de : *Galeno ascriptus liber, Compendium pulsuum*, dans l'édition des œuvres de Galien, imprimée à Venise par les Junte (ed. sep^a; *lib. spur.*, fol. 66) et dans celle de Chartier (t. VIII, p. 330). Je crois néanmoins devoir publier le texte grec, qui est certainement inédit; d'ailleurs la traduction latine, écrite dans un langage barbare[5], et presque entièrement oubliée, a été si peu lue, qu'Ackermann, ordinairement très-exact, l'a regardée comme l'œuvre originale de quelque arabiste. (*Not. lit. Gal.*, éd. Kühn, t. I, p. CLXVI.) Enfin la *Synopsis* est, par elle-même, assez curieuse pour mériter l'attention des amis de l'érudition médicale; elle fournit, du reste, des documents que je puis dire nouveaux pour l'histoire de la sphygmologie; cette seule considération suffira, je l'espère, pour me justifier.

N'ayant pu obtenir les papiers de Dietz qui renferment cet opuscule, je l'ai copié sur notre manuscrit 2193; le texte est en général assez correct, mais il présente

[1] Ce *Rapport* a été inséré dans les n°s 33 et 34 du *Journal de l'instruction publique*, avril 1845 *.

[2] Cette notice date de 1846.

[3] Codex græcus papyraceus ms. f. S.XIV, Joannicii manu exaratus; constat foliis 244, continens : 1° Aetii, *Tetrabiblon*; 2° *Synopsis de pulsibus*; 3° *Quos quando et quibus purgare debemus*; 4° Rufi, *De medicamentis purgantibus*; 5° Antylli, *E libro secundo de victus ratione*; 6° Ejusdem, *De clysteribus* (publié par Dietz); 7° Severi iatrosophistæ, *De clysteribus* (*id.*); 8° Galeni, *De consuetudinibus* (*id.*). Cf. Bandini, *Catal. cod. græc.* t. III, p. 151.

[4] Le ms. 2193 n'est pas décrit dans le catalogue, il n'y est qu'indiqué. Il est du XVe siècle, contient *Aétius*, notre *Synopsis* et un traité *Sur les poids et mesures*; j'aurai occasion de revenir ailleurs sur ce manuscrit, qui paraît assez correct, et qui est écrit par une belle main.

[5] Voici quelques échantillons de cette traduction. La première phrase est inintelligible : *Hoc ei quod de pulsibus possibile est competentem modum circuit.* — Le titre du deuxième paragraphe fait partie de la fin du préambule. — Les mots Τελευταῖον δὲ τοὺς παρὰ τοῖς ἀρχαίοις κατονομασθέντας (§ 4, *initio*) sont rendus de la manière suivante : *In fine vero pulsus qui* ablati sunt *denominati*. Les termes techniques et d'autres mots encore sont latinisés et non traduits : *alogon*, *pericardion*, *palmon*, *hemioliam* (ἡμιόλιον), *diacenus* (διάκενος), etc. Enfin, γραμματικῆς ποδισμοῦ (§ 4, *in medio*) est traduit par *grammatica* manuductio. On trouvera encore d'autres exemples dans les notes que j'ai jointes à ce traité.

* A moins d'indication spéciale, toutes les notes contenues dans cette section sont, comme le texte, de M. Daremberg lui-même. (C. É. R.)

çà et là quelques leçons douteuses et quelques fautes véritables. J'ai dû suppléer à la collation du manuscrit de Florence[1] par mes propres conjectures, et aussi par l'examen attentif de la traduction latine, qui m'a fourni d'excellentes restitutions. Ces vieilles traductions, souvent incompréhensibles, si on les lit seules, rendent de véritables services quand on les compare à l'original, et qu'on en use avec discernement et discrétion; souvent elles représentent un texte fort ancien et même elles le représentent d'autant plus fidèlement qu'elles sont l'œuvre d'écrivains peu habiles, qui, s'attachant servilement à la lettre, la reproduisent par un calque plutôt encore que par une véritable traduction. J'ai eu souvent l'occasion de vérifier l'exactitude de cette remarque à propos des traductions latines de Galien et d'autres auteurs, de Moschion en particulier.

Il serait assurément très-intéressant de savoir à quelle époque, sinon à quel homme on peut rapporter la rédaction de la *Synopsis* : mes recherches, à cet égard, n'ont pu me conduire à un résultat bien satisfaisant. L'auteur a une certaine originalité de détails et parle quelquefois d'autorité; mais il se montre particulièrement éclectique : tantôt pour Hérophile qu'il cite, et sur lequel il nous fournit des renseignements nouveaux, tantôt pour Érasistrate, qu'il ne nomme pas, il ne paraît point avoir de doctrine bien arrêtée. Tout ce qui n'appartient pas à ces deux auteurs est en quelque sorte du domaine public, ou du moins aucune particularité saillante ne vient révéler une époque ou marquer un progrès dans la sphygmologie. Cette considération même me fait moins regretter de ne pouvoir assigner une date plus ou moins précise à cet opuscule, car il est très-embarrassant, pour un historien, d'avoir un fait important dont il ignore l'origine et qu'il ne peut faire rentrer avec assurance dans l'ordre chronologique.

La *Synopsis* a été rapportée à trois sources différentes, mais, comme on va le voir, sans aucune espèce de critique : à Rufus et à Galien par des copistes, à un arabiste par Ackermann. Elle n'est certainement pas de Galien, les notions les plus superficielles en littérature médicale suffisent pour établir cette assertion; elle n'est pas non plus l'œuvre d'un arabiste, d'abord parce que les arabistes n'écrivaient pas en grec; en second lieu, et pour ne s'en tenir qu'au point de vue d'Ackermann, dans la *Synopsis*, les doctrines sont toutes grecques et, pour ainsi parler, de pur sang; d'ailleurs, Galien eût été cité, copié ou abrégé dans un traité sortant de la main d'un arabiste. Tout au plus pourrait-on supposer, avec moins d'invraisemblance, une origine byzantine, mais la méthode et le style de notre auteur me semblent fort éloignés du style et de la méthode des Byzantins; ces derniers d'ailleurs s'attachaient à Galien plus servilement encore peut-être que les arabistes; on pourra s'en convaincre en jetant les yeux sur ce qu'Actuarius a écrit touchant le pouls (*De morb. diagn.*, I, 9, ed. Ideler, dans *Med. et phys. græci minores*, t. II, p. 363 sq.; Berolini, 1842). Quant à Rufus, si rien ne repousse, rien n'établit non plus la conjecture du copiste[2]. Aucun auteur ancien ne lui at-

[1] Bandini, dans son catalogue, rapporte le préambule et quelques mots de la fin; je ne saurais, d'après le peu de variantes que ces citations m'ont fournies, juger de la valeur du manuscrit de Florence. [M. Daremberg a obtenu depuis une collation de ce manuscrit et a profité des variantes dans la présente édition du *Περὶ σφυγμῶν*. C. É. R.]

[2] Voici l'observation à laquelle il est fait allusion ici : *Ἐγὼ* (c'est le copiste qui parle) *προσέθηκα τοῦτο τὸ περὶ σφυγμῶν μονόβιβλον· νομίζω δ' αὐτὸ μὴ εἶναι Γαλη-*

tribue un traité sur le pouls, et, dans celui qui nous occupe, rien ne rappelle avec évidence son style, ses idées et sa méthode. J'ai particulièrement comparé la description du cœur et des poumons, qui se trouve au paragraphe 4 de la *Synopsis*, avec celle que Rufus donne dans son traité *De appellationibus partium corporis humani* (éd. de Clinch, p. 37, 57, 59). On trouve bien quelques analogies de rédaction, mais que prouvent-elles? sinon que les auteurs se rencontrent, souvent même pour les expressions et pour les phrases, en traitant le même sujet[1].

Voici maintenant quelques éléments d'une détermination bien vague, il est vrai, mais raisonnable puisqu'elle ne va pas au delà de ce que prouve le contexte lui-même en dehors de tout témoignage extérieur. Non-seulement Galien n'est pas cité dans la *Synopsis*, et cet argument négatif est déjà considérable, mais rien n'y rappelle les doctrines particulières si étendues et si subtiles du médecin de Pergame; les connaissances de notre auteur sont comparativement très-bornées et beaucoup moins méthodiques. Les opinions d'Hérophile et d'Érasistrate dominent dans ce traité; la distinction des diverses catégories du pouls est restreinte et assez confuse; les espèces qui ont reçu des noms spéciaux sont peu nombreuses[2]; les définitions sont peu précises, les distinctions peu nettes; certains mots ne sont pas pris dans le sens que Galien et ses prédécesseurs immédiats leur donnaient; les caractères assignés au pouls dans les diverses maladies ne sont pas toujours ceux que Galien a cru reconnaître; tout, en un mot, me porte à regarder la *Synopsis* comme appartenant à un auteur qui a précédé Galien même d'assez loin. Mais dans quelles limites resserrer cette distance? C'est ce qu'il ne m'est pas possible de préciser. Voici les seuls résultats auxquels j'ai pu arriver.

